« Dominus (1) et Salvator noster Jesus Christus, fidei doctrinam discipulis confirmans, *Pacem*, inquit, *meam do vobis, pacem meam relinquo vobis* [1], ut nemo a veræ pietatis dogmatibus dissonet, sed ex æquo omnes veritatis doctrinam prædicent. » Et postea sancto Nicæno Symbolo, et centum atque quinquaginta sanctorum Patrum decreto lecto, intulerunt : « Satis igitur ad perfectam veræ pietatis cognitionem et confirmationem esset, sapienter conceptum et salutare istud divinæ gratiæ Symbolum. De Patre etenim et Filio et Spiritu sancto absolutam doctrinam continet, et inhumationem Domini cum fide eam recipientibus astruit. Quandoquidem autem veritatis inimici, qui abolere per hæreses suas prædicationem contendunt, inaniloquentiam peperere, **595** et nonnulli sacrosanctam Domini nostra gratia susceptam dispensationem adulterare, et vocem hanc Θεοτόκος, Dei Genitrix, pernegare ausi sunt, aliqui vero confusionem mistionemque inducentes, unam esse carnis et divinitatis naturam inconsiderate fingunt, divinamque Unigeniti naturam per confusionem perpessioni obnoxiam prodigiose asserunt : hæc ipsa nunc sancta et magna universalis synodus, omnem illis fraudem et machinationem adversus veritatem præcludere volens, et integritatem infirmitatemque veteris doctrinæ vindicans, in primis statuit, ut sanctorum trecentorum Patrum fides inviolata constet. Deinde et eorum qui in urbe imperante adversus Spiritus sancti hostes posterioribus temporibus convenerunt, centum quinquaginta Patrum, de Spiritus essentia doctrinam auctoritate sua confirmat : quam illi Patres omnibus notam esse voluerunt, non ut aliquid quod majoribus ignotum fuisset, inducerent, sed ut Spiritus sancti naturam, quædam de illius potestate obtinere volentes, testimoniis in scriptum relatis, clarius promulgarent. Propter eos vero qui œconomiæ et dispensationis mysterium depravare audent, et qui ex Maria Virgine natus est, merum hominem esse impudenter et conviciose dicunt, beati Cyrilli, qui Alexandrinæ Ecclesiæ pastor fuit, synodales epistolas ad Nestorium et Orientales episcopos datas, quod recte scriptæ sint, cum ad Nestorii vesanam dementiam refutandam, tum ad sententiam salutaris Symboli, eis qui eam pio ardore requirunt, declarandam, recepit : quibus epistolam quoque maximæ urbis veteris Romæ antistitis, beatissimi et sanctissimi ar-

[1] Joan. XIV, 27.

σει καὶ νεύμασι τοῦ κρατοῦντος ἀναχλήτως ἔτυχον. Πολλῶν δὲ καὶ ἄλλων πεπραγμένων, ὅρος τῇ συνόδῳ ἐξεφωνήθη, τάδε κατὰ ῥῆμα διεξιών·

ΚΕΦΑΛ. ϛ'.

Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου τῆς πίστεως.

« Ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ Ἰησοῦς Χριστὸς, τῆς πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς βεβαιῶν, ἔφη· *Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν·* ὡς μηδένα διαφωνεῖν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας, ἀλλ' ἐπίσης τὸ τῆς ἀληθείας ἐνδείκνυσθαι κήρυγμα. » Καὶ ἀναγνωσθέντος τοῦ θείου συμβόλου, καὶ πρός γε τὸ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων, ἐπήγαγον· « Ἦρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσιν καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ Κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν· ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἐχθροὶ ἀθετεῖν ἐπιχειροῦσι τὸ κήρυγμα, διὰ τῶν οἰκείων αἱρέσεων κενοφωνίας ἀπέτεκον· οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ Κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμήσαντες, καὶ τὴν *Θεοτόκος* ἐπὶ τῆς Παρθένου φωνὴν ἀπαρνούμενοι· οἱ δὲ σύγχυσιν καὶ πρᾶσιν εἰσάγοντες, καὶ μίαν εἶναι τὴν φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀνοήτως ἀναπλάττοντες, καὶ παθητὴν τὴν θείαν τοῦ Μονογενοῦς τῇ συγχύσει τερατευόμενοι. Διὰ τοῦτο πᾶσαν αὐτοῖς κατὰ τῆς ἀληθείας ἀποκλεῖσαι μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία καὶ μεγάλη οἰκουμενικὴ σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδικοῦσα, ὥρισε προηγουμένως τῶν τριακοσίων ιη' ἁγίων Πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον. Καὶ μὲν δὴ καὶ τοὺς τῷ Πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνους ὕστερον παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως ρν' συνελθόντων Πατέρων περὶ τῆς τοῦ Πνεύματος οὐσίας παραδοθείσης κυροῖ, ἣν ἐκεῖνοι πᾶσιν ἐγνώρισαν οὐχ ὡς τι λεῖπον τοῖς προλαβοῦσιν ἐπεισάγοντες, ἀλλὰ τὴν παρὰ τοῦ ἁγίου Πνεύματος αὐτοῦ, ἵνα κατὰ τὴν αὐτοῦ δεσποτείαν αὐθεντεῖν πειρώμενοι, γραφικαῖς μαρτυρίαις τρανώσαντες. Διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραφθεῖραι τολμῶντας μυστήριον, καὶ ψιλὸν ἄνθρωπον τὸν παρὰ τῆς ἁγίας Παρθένου τεχθέντα Μαρίας ἀναιδῶς λοιδοροῦντας, τὰς τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων Ἐκκλησίας γενομένου ποιμένος συνοδικὰς ἐπιστολὰς πρός γε Νεστόριον καὶ πρὸς τοὺς τῆς Ἀκατολῆς ἐπισκόπους ἁρμοδίους οὔσας, ἐδέξατο, εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν ἐν εὐσεβεῖ ζήλῳ τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μείζονος καὶ πρεσβυτέρας Ῥώμης προέδρου τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκό-

(1) L. *Quoniam venerabilis* (C. De episc. et cleric. L. *Quicunque in hac*, C. De hæret. et Manich.)

που Λέοντος, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἀρχιεπίσκοπον Φλαβιανὸν, ἐπ' ἀναιρέσει τῆς Εὐτυχοῦς κακονοίας· ἥντινα τῇ τοῦ μεγάλου Πέτρου ὁμολογίᾳ συμβαίνουσαν, κοινήν τινα στήλην ὑπάρχουσαν κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρμοσε πρὸς τὴν τῶν ὀρθῶν δογμάτων βεβαίωσιν. Τοῖς τε γὰρ εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπᾶν ἐπιχειροῦσι μυστήριον παρατάττεται, καὶ τοὺς παθητὴν λέγειν τολμῶντας τοῦ Μονογενοῦς τὴν θεότητα τῶν ἱερῶν ἀπωθεῖται συλλόγων· καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται· καὶ τοὺς οὐράνιον ἢ ἑτέρας τινὸς οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῷ τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει. Καὶ δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας, ἀναθεματίζει. Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις Πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦμεν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· καὶ συμφώνως ἅπαντες ἐκδιδάσκομεν τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς, τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου καὶ Θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν Υἱὸν καὶ Κύριον μονογενῆ ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων ἀνῃρημένης διαφορᾶς διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐχ ὡς εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν μονογενῆ Θεὸν Λόγον Κύριον Ἰησοῦν Χριστόν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ καὶ αὐτὸς ἡμᾶς ὁ Κύριος ἐξεπαίδευσε, καὶ τὸ τῶν Πατέρων ἡμῖν παραδέδωκε σύμβολον. »

chiepiscopi Leonis, ad eum qui in sanctis est archiepiscopum Flavianum, refellendæ Eutychetis malevolentiæ gratia scriptam, quæ beati Petri confessioni convenit, et adversus perperam et male sentientes, quasi quædam communis et publica columna est, ad dogmata recta confirmanda, merito conjunxit. Nam adversus eos qui dispensationis mysterium, in duos filios distrahere conantur, pugnat : et eos qui Unigeniti divinitatem perpessioni obnoxiam esse dicere audent, sacris conventibus excludit. **596** Tum autem eis quoque qui in duabus Christi naturis mistionem et confusionem comminiscuntur, resistit. Eos præterea qui cœlestis aut alterius cujusquam essentiæ esse delirant quam ex nobis sibi assumpsit servi formam, proscribit. Eos denique, qui duas quidem ante unionem Domini naturas profitentur, unam autem post unionem faciunt, anathemati subjicit. Itaque Patrum vestigiis insistentes, unum atque eumdem profitemur esse Filium, Dominum nostrum Jesum Christum : et una voce omnes deprædicamus perfectum eumdem in divinitate, et perfectum eumdem in humanitate, Deum verum et hominem verum, eumdem ex rationali anima et corpore consubstantialem Patri secundum divinitatem, et consubstantialem nobis secundum humanitatem, per omnia nobis æqualem absque peccato, ante sæcula quidem ex Patre secundum divinitatem, in extremis autem diebus eumdem, propter nos et propter nostram salutem, ex Maria Virgine et Dei Genitrice secundum humanitatem genitum, unum et eumdem Jesum Christum Filium et Dominum unigenitum in duabus naturis inconfuse, immutabiliter, indivise, insegregabiliter cognitum atque deprædicatum : haudquaquam naturarum differentiam unione tollente, sed proprietatem potius utriusque naturæ conservante, quæ in personam unam concurrit : non veluti in duas personas dispertitum aut divisum, sed unum et eumdem Filium unigenitum Deum Verbum Dominum nostrum Jesum Christum : quemadmodum antiquitus prophetæ, et ipse de seipso nos docuit Christus, et Symbolum Patrum nobis tradidit. »

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῶν ἄλλων ἃ ἡ σύνοδος διετάξατο.

Τούτων τοίνυν μετὰ πάσης ἀκριβείας τε καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, εἶτ' οὖν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρους· τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ γοῦν προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς βούλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀληθείας ἐξ Ἑλληνισμοῦ καὶ Ἰουδαϊσμοῦ, ἢ ἐξ ἑτέρας αἱρέσεως οἵας δή ποτε, τούτους, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. Μετὰ

597 CAPUT VII.

De reliquis rebus, quas synodus statuit.

His igitur cum cura et diligentia omni a nobis constitutis, sancta et universalis synodus decrevit, ut nemini liceat aliter sentire, aut fidem aliam proferre, vel conscribere, vel componere, vel alios docere. Quicunque autem ausi fuerint fidem aliam componere, aut proferre, aut docere, aut symbolum aliud eis tradere qui ex Græca superstitione et Judaismo, vel alia quacunque hæresi convertere se ad veritatis cognitionem voluerint, eos, siquidem episcopi aut clerici fuerint, ab episcopatu et clero alienos, sin autem monachi aut laici fuerint, anathemati subjectos esse debere. Post hæc imperator Marcianus, qui synodo interfuit, ubi ea quæ par erat,

pro concione dixit, in imperialem est reversus aulam. Synodus autem controversiam quoque quæ Maximo Domni in ecclesia Antiochena successori, et Juvenali Hierosolymitano episcopo, de provinciarum finibus intercessit, rite et ordine decidit. Adhæc et Theodoretus et Ibas thronos suos receperunt. Constitutum etiam ibi, ut sedes novæ Romæ secundas a veteri Roma, ab aliis autem thronis primas ferret. Plurima insuper alia in concilio hoc acta, quæ omnia initio altius repetito, in fine hujus tomi, pro eo atque potero oratione persequar, ut quivis clarius res ibi gestas cognoscat. Importunum namque quodammodo esse duxi, si in præsentia eas referrem, ne historiam perpetuam interpolarem. Qua etiam de causa fusius ea nunc tractare nolui. Proinde qui exacte synodi istius res cognoscere cupit, compendiosam illam narrationem, quæ ad finem quindecimi hujus libri adjecta est, legat. Nunc porro ad historiam continuandam progrediar.

Ἐκ τούτου καὶ βασιλεὺς αὐτὸς Μαρκιανὸς ἀνὰ τὴν σύνοδον γεγονὼς, τὰ εἰκότα δημηγορήσας, ἐπανῆκεν αὖθις ἐς τὰ βασίλεια. Ἡ δὲ συνόδος καὶ περὶ τῶν συμβάντων Μαξίμῳ τε τῷ Ἀντιοχείας, ὃς διάδοχος Δόμνου καθίστατο, καὶ Ἰουβεναλίῳ τῷ Ἱεροσολύμων, περὶ ὅρων ἐπαρχιῶν, καλῶς καὶ ὡς ἐχρῆν διῳκήσατο. Ἐπὶ δὴ τούτοις καὶ Θεοδώρητος καὶ Ἴβας τοὺς οἰκείους θρόνους ἀπέλαβον. Ἔδόκει δὲ ταύτῃ καὶ τὸν θρόνον τῆς νέας Ῥώμης ἐκ τῶν δευτερείων τῆς πρεσβυτέρας Ῥώμης τῶν ἄλλων φέρεσθαι τὰ πρωτεῖα. Καὶ ἕτερα δὲ πλεῖστα τῇ συνόδῳ κεκίνηται, ἃ δὴ πάντα ἄνωθεν ἀναλαβὼν, ὡς οἷόν τε ἐπιδραμοῦμαι τῷ λόγῳ μετὰ τὴν τοῦ παρόντος τόμου συμπλήρωσιν· ἵν' ἐξῇ τῷ βουλομένῳ γινώσκειν τῶν πραχθέντων τὴν δήλωσιν. Ἄκαιρον γάρ πως ᾠήθην ἐπὶ τοῦ παρόντος θεῖναι, ἵνα μὴ τὸ τῆς ἱστορίας συνεχὲς διακόψω. Τοῦδε γὰρ εἵνεκα οὐδ' ἐς πλάτος ἐπεξελθεῖν ἐπὶ τοῦ παρόντος δεῖν ἔγνων. Ὅθεν ὁ τἀκριβὲς τῆς συνόδου μαθεῖν ὀριγνώμενος κατ' ἐκεῖνο τῆς ἐπιτομῆς ἴτω, πρὸς τῷ τέλει τοῦ παρόντος πεντεκαιδεκάτου τόμου, ἧπερ μοι εἴρηται, κείμενον. Ἐγὼ δ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας πορεύσομαι.

598 CAPUT VIII.

De seditione Alexandriæ, propter Proterii successoris Dioscori ordinationem coorta.

Synodo huic interfuere ex veteri Roma Pascasinus, Lucentius, et Bonifacius, Leonis Romani antistitis locum obtinentes. Interfuit et Anatolius novæ Romæ episcopus, Maximus Antiochiæ ad Orontem, Juvenalis Hierosolymorum, et ipse Dioscorus Alexandriæ, præsules: qui, sicuti diximus, exauctoratus, et ad exsilium damnatus, Gangrensem regionem in Paphlagonia incolere est jussus. Porro episcopatum Alexandrinum communi synodi consensu divinus Proterius sortitus est. Et cum is thronum suum reciperet, ingens multitudini incessit certamen, turba et tumultus, vulgus in varias scindens sententias. Quemadmodum enim ejuscemodi temporibus evenire solet, alii fortiter, quæ maxima pars erat, novum pastorem defendebant: aliis Dioscorus ecclesiasticæ provinciæ administrandæ idoneus magis esse videbatur. Et res in magnum discrimen processit. Priscus namque orator in historiis suis se eo tempore scribit ex Thebæorum provincia Alexandriam venisse, et turbam ingentem vidisse, seditionem adversus magistratus moventem: et cum milites inhibere eam contenderent, pro telis, saxis ipsis, quæ ex tempore passim jacentia rapuit, usam, illos fugere compulisse, ad templum quod olim Serapidis nomen habuit. Fuit autem Serapis Jupiter, aut Nilus, aut Apis (1), quidam in urbe Memphitica vir, qui famis tempore de suo Alexandrinis frumentum subministravit. Ei vero defuncto templum et statuam sacrarunt, in quo etiam bos insignia quædam et notas habens nutritus est, in agricultura, quantum conji-

ΚΕΦΑΛ. Η'.

Περὶ τῆς γενομένης ἐν Ἀλεξανδρείᾳ στάσεως διὰ τὴν χειροτονίαν Προτερίου τοῦ μετὰ Διόσκορον.

Ἦσαν μὲν οὖν πληροῦντες τὴν σύνοδον ἐκ μὲν τῆς πρεσβυτέρας Ῥώμης Πασκασῖνός τε καὶ Λουκέντιος καὶ Βονιφάτιος, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ Ῥώμης προέδρου· παρῆν δὲ καὶ Ἀνατόλιος ὁ τῆς νέας Ῥώμης ἐπίσκοπος, Μάξιμός τε Ἀντιοχείας τῆς πρὸς τῷ Ὀρόντῃ, Ἰουβενάλιός τε ὁ Ἱεροσολύμων, καὶ αὐτὸς Διόσκορος τὴν Ἀλεξάνδρου ἱερατεύων· οὗ καὶ καθαιρεθέντος, ὡς εἴρηται, καὶ χώραν τὴν Γαγγρηνῶν τῶν Παφλαγόνων κατακριθέντος οἰκεῖν, ὁ θεῖος Πρατήριος ψήφῳ τῆς συνόδου κοινῇ τὴν τῶν Ἀλεξανδρέων ἐπισκοπὴν ἐκληροῦτο. Ἐπεὶ οὖν τὸν οἰκεῖον θρόνον κατέλαβε, πολλή τις εἰσέῤῥει τὰ πλήθη ἀμφιβολία, ταραχή τε ἅμα καὶ θόρυβος πρὸς διαφόρους γνώμας δισμερίζων. Καὶ οἷάπερ τοῖς τοιούτοι, φιλεῖ γίνεσθαι, οἱ μὲν τοῦ νέου ποιμένος γεννικῶς μᾶλα ἀντείχοντο, τοῖς δὲ Διόσκορος μᾶλλον ἐδόκει ἁρμοδιώτερος· καὶ εἰς μέγα τὸ δεινὸν ἐπεχώρει· Πρίσκος γάρ φησιν ὁ ῥήτωρ ἱστορῶν, τηνικαῦτα ἐκ τῆς ἐπαρχίας Θηβαίων εἰς τὴν Ἀλεξάνδρειαν ἐλθεῖν, καὶ τὸν πολὺν ὄχλον θιάσασθαι μᾶλα στασιάζοντα πρὸς τὸ ὑπερέχον· καὶ τῶν στρατιωτῶν ἐπιγειρούντων διακωλύειν, ἀμυντηρίῳ ἐκ τοῦ σχεδὸν τοῖς ἐῤῥιμμένοις τῶν λίθων χρήσασθαι· καὶ συνελάσαι περὶ τὸ ἱερὸν ὃ πάλαι τοῦ Σεράπιδος ὄνομα εἶχε. Σάραπις δ' ἐστὶν ὁ Ζεύς, ἢ ὁ Νεῖλος, ἢ Ἄπις τις ἀνὴρ ἐν Μέμφιδι πόλει· ὃς σιτοῦ γενομένου ἐκ τῶν ἰδίων Ἀλεξανδρεῦσιν ἐπήρκεσεν· ᾧ τελευτήσαντι νεὼν καὶ στήλην ἱδρύσαντο· ὅπου δὴ καὶ βοῦς ἐπίσημά τινα ἔχων διατρέφετο, εἰς σύμβολον, ὡς εἰκάσαι, τῆς γεωργίας· ὃν καὶ αὐτὸν Ἄπιν ὁμωνύμως τῷ δεσπότῃ ἐκάλουν. Τὴν δὲ

(1) Suid. addit, *aut Joseph.* Scribit is quoque, in capite ejus fuisse modium et cubitum, quo Alexandriæ auctum Nili mensi sunt: et templum id ab Alexandro esse conditum.

σορὸν τοῦ Ἄπιδος ἐκείνου τοῦ ἀνθρώπου μεταγαγόντες εἰς τὸν ναὸν, Σόραπιν ἐκάλουν αὐτοῦ τὴν στήλην, ἢ καὶ Σέραπιν μεταθέσει τῶν στοιχείων. Οὗ νεὼς πάγκαλος καὶ ἄγαλμα μέγιστόν τι καὶ φοβερώτατον ἐκ διαφόρου ὕλης ἐσκευασμένον, ὡς ἑκατέρᾳ χειρὶ ἑκατέρου τοίχου ἐφάπτεσθαι. Ἐν δὲ μέσῳ τοῦ ἀγάλματος νεὼς ἕτερος πλάνης ἦν, ᾧ καὶ ξόανον ἕτερον χαλκοῦν, οὐ μέγα δὲ ἀπηώρητο, οὗ τῇ κεφαλῇ ἐνείραντες σίδηρον, καὶ τοῖς τῆς στέγης φατνώμασι μαγνῆτιν λίθον κατὰ κάθετον θέμενοι, εἰς ἀέρα τοῦτο μεθῆκαν μετέωρον, καὶ οὔτε γῆς οὔτε στέγης αὐτῆς ἐφαπτόμενον. Ἐκεῖσε τοίνυν τοὺς ἄρχοντας συνελάσαι καὶ ζωγρῆσαι, ἔπειτα παραδοῦναι πυρί. Ἃ δὴ βασιλέα μαθόντα, δισχιλίους ἐκπέμψαι, οἳ καὶ ἐπιφόρου πνεύματος εὐτυχήσαντες, δι' ἓξ ἡμερῶν, τῇ μεγάλῃ τῶν Ἀλεξανδρέων πόλει προσίσχουσι. Καὶ παροινίᾳ πολλῇ χρησάμενοι ἔς τε τὰς γαμετὰς καὶ θυγατέρας τῶν Ἀλεξανδρέων ἐπὶ πολλῷ δεινοτέρους τῶν προτέρων πειρᾶσθαι. Ὡς ἀγανακτήσαντα τὸν δῆμον, δέησιν Φλώρῳ προσάγειν ὃς τῶν στρατιωτικῶν ἡγεῖτο ταγμάτων, ἐν ταυτῷ δὲ καὶ τὴν πολιτικὴν διαῖπεν ἀρχὴν, ἀνὰ τὴν ἱπποδρομίαν γενέσθαι· ὥστε τὴν ἐξ ἔθους χορηγίαν αὐτοῖς τοῦ σίτου ἦν παρ' ἐκείνων ἀφῄρηντο, ἐᾶσαι, τά τε βαλανεῖα, καὶ θέατρα, καὶ ὅσων ἄλλων τῷ οὕτως ἀτακτεῖν ἀπέσχοντο Τὸν δὲ ὡς ἤτουν πρᾶξαι σὺν εἰσηγήσει καθυπισχνούμενον, καὶ τοῦτον τὸν τρόπον διαλῦσαι μετρίως τὴν στάσιν. Καὶ τὰ μὲν κατ' Ἀλεξάνδρειαν ἐν τούτοις ἦσαν.

A cere licet, signum atque indicium: quem ipsum Apim quoque, eodem scilicet cum hero suo nomine vocabant. Hominis autem istius loculo, qui σορὸς est Græce, in templum translato, Sorapim statuam ejus nominarunt, aut Serapim etiam, per litterarum mutationem. Cujus templum pulcherrimum fuit, et simulacrum longe maximum, maximeque horrendum, ex varia materia ita compactum, ut utraque manu utrumque parietem attingeret. In medio vero simulacro templum aliud erroneum fuit, **599** in quo effigies alia ærea non magna suspensa erat, cujus capiti ferrum immiserant. Et cum in tecti laquearibus magnetem lapidem juxta perpendiculum collocassent (1), sublimem eam in aerem ita promittebat, ut neque terram, B neque tectum ipsum attingeret. In hoc ipsum templum populus magistratus compulit, et deinde vivos captos igne concremavit. Quæ res ubi ad imperatorem est delata, duo millia militum eo misit, qui secundo vento sexto die ad magnam Alexandriæ urbem appulerunt. Ii petulanti insolentia in conjuges et filias Alexandrinorum usi, gravioribus eos quam quas antea experti fuerant, affecere ærumnis. Plebs autem indigne eas ferens, a Floro tandem, qui rem militarem administrabat, tum autem ibi urbanas quoque res curabat, cum ad Circenses ludos spectandos congregata esset, petiit, ut quæ ei ablata fuerat, frumenti solitam largitionem relinqueret, balneaque et theatra, aliasque res quibus in tam dissoluto et perturbato civitatis statu abstinere cogebatur, redderet. Quod ille, sicuti vulgus volucrat, pollicitationibus interpositis se facturum recepit. Atque ad eum modum seditionem sensim sedavit. Res Alexandrinæ sic habebant.

ΚΕΦΑΛ. Θ'.

Ὡς καὶ ἐν Παλαιστίνῃ στάσις ἐχώρει, Θεοδοσίου τινὸς μοναχοῦ ταύτην κινοῦντος, ὃς καὶ τὸν τῶν Ἱεροσολύμων ἁρπάζει θρόνον, ἐξώσας Ἰουβενάλιον· καὶ τὰ ἐπὶ τούτῳ γενόμενα· καὶ περὶ Ἀθανασίου διακόνου τοῦ ὁμολογητοῦ.

CAPUT IX.

Ut in Palæstina quoque seditio exstiterit, a Theodosio quodam monacho excitata: qui etiam Hierosolymorum invasit sedem, Juvenali expulso: et quæ sub eo acciderint. Item de Athanasio diacono confessore.

Οὐ μὴν δὲ ἀλλ' οὐδ' ἐν Παλαιστίνῃ ἤρεμα εἶχον. Τῶν τινες γὰρ μοναχῶν, οἳ τῇ συνόδῳ παρῆσαν, καὶ τἀναντία ταύτῃ ἐφρόνουν, ἀνὰ τὰ Ἱεροσόλυμα ἥκοντες, προδοθῆναι τὴν πίστιν ἐκήρυσσον, ὀδυρόμενοί καὶ μάλα δὴ σπεύδοντες τὸ μοναδικὸν ἀναρρίπισαι καὶ ἀνασοβῆσαι, ὥστ' ἀθετεῖν τὰ ἐν τῇ συνόδῳ καλῶς πεπραγμένα. Ἐπεὶ δὲ καὶ Ἰουβενάλιος τὸν θρόνον κατέλαβε, βιαζόμενος ἀθετεῖν τὰ ἐν τῇ συνόδῳ καὶ ἀναθεματίζειν, εἰς τὴν βασιλέως πόλιν ἐχώρει. Ἀρχηγὸς δὲ πάντων καθίστατο Θεοδόσιός τις μοναχός, ὃς τὴν Αὐγούσταν συναρπάσας Εὐδοκίαν (ἔτι γὰρ τῷ ζῆν περιῆν) καὶ τὸ μοναχικὸν ἅπαν ὑφ' ἑαυτὸν ποιησάμενος, ληστρικῷ καὶ μιαιφόνῳ χρώμενος τρόπῳ, Ἰουβεναλίου, ὡς εἴρηται, πρὸς τὴν Κωνσταντίνου ἀποχωρήσαντος, τὸν τῶν Ἱεροσολύ-

Nec vero in Palæstina tranquillitas fuit. Siquidem monachi quidam, qui synodo interfuerant, et diversa a decretis ejus sentiebant, cum Hierosolyma venissent, proditam esse fidem clamitarunt, lamentantes et monasticum ordinem concitare atque impellere satagentes, ut quæ in synodo rite acta erant, rescinderent. Ubi autem Juvenalis sedem suam recepit, atque illi cum ut synodi acta aboleret, et anathemati subjiceret, cogere voluere, D in imperatoris urbem concessit. Turbæ totius dux Theodosius monachus quidam erat. **600** Hic, Eudocia Augusta (adhuc enim in vita erat) in partes suas rapta ei sodalitate monachorum omni sibi conciliata, prædonis et sanguinarii hominis more, quod Juvenalis (sicuti diximus) Constantinopolim

(1) Unde factum est, ut in quodam templo lapidibus magnetibus in solo et in camera, proportione magnitudinis positis, simulacrum ferreum aeris illius medio inter utrumque lapidem, ignorantibus quid sursum esset et deorsum, quasi numinis potestate penderet. August. *De civit.* lib. xxi, cap. 4. — Democrates architectus Alexandriæ Arsinoes templum concamerare inchoaverat, ut in eo simulacrum ejus e ferro pendere in aere videretur. Intervenit mors et ipsius et Ptolemæi, qui id sorori suæ jusserat fieri. (Plin. lib. xxxiv, cap 14.)

petierat, Hierosolymorum thronum occupavit, adjutoribus ea in re usus, qui synodi constitutionibus adversabantur, et Eudociæ gratificabantur. Et cum episcopi nondum a synodo reversi fuissent, alios ipse ordinatos in urbes quasque misit. Severianum autem Scythopolis episcopum, quod malevolentiæ illius suffragari nollet, oppido exactum interemit. Magnam quoque movit persecutionem, in civitate sancta, adversus eos qui communicare cum eo nolebant. Quosdam namque tormentis excruciavit, aliquibus substantiam ademit, aliorum ædibus ignem injecit, ita ut urbs a barbaris capta esse videretur. De quo postea monachorum ordo ad Alcisonem litteras dans, illud scripsit : quod cum ut maleficus et episcopo suo infidus deprehensus esset, monasterio suo expulsus, et quia Alexandriæ quoque rebellis Dioscoro fuerat, quod verberibus multis affectus, tanquam homo seditiosus per urbem scabioso camelo insidens traductus sit. Idem quoque Palæstinæ urbes circumiens, eas ut sibi episcopos legerent, coegit. Quorum unus etiam fuit Petrus, ex Iberia oriundus, Gazæorum civitatis, cui Majumæ nomen est, episcopus. Adeo ut Athanasius quidam in diaconorum ordinem cooptatus, in media ecclesia Hierosolymis cum multa dicendi libertate, inquitatis abominatione throno sanctissimo insidente, vocem illam præclaram emiserit : « Desine, Theodosi, tantam cædem committere, desine Christo bellum inferre, et gregem ejus in prædonum morem e divino ovili ejicere, et aliquando tandem benevolentiam erga verum germanumque pastorem nostrum cognosce ; neque enim alienum sequi didicimus, neque vocem extraneam audire. » Hæc cum diceret, a satellitibus Theodosii arreptus, et ex ecclesia tractus est. Atque insolentis petulantiæ et cruciatuum genus omne propter Christum perpessus, et flagris multis concisus, postremo etiam ferro vitam amisit. Cadaver ejus ex pedibus per urbem omnem raptum, canibus tandem esca projectum est. Porro Dorotheus, qui Palæstinam provinciam ab imperatore acceptam administrabat, 601 et tum apud Moabitidem bello adversus barbaros occupatus erat, ubi ea quæ in urbe sic gerebantur cognovit, celeritate summa cum exercitu forti rebus præsentibus consulturus accurrit. Cæterum Theodosii et Eudociæ satellites, portis clausis, non prius eum admisere, quam eis pollicitus esset, se quoque ad partes eorum defecturum, sicuti monachorum omnium ordo et universa civitatis multitudo fecisset. Ita mensis vigesimi exitiosus Theodosius tyrannidem in sede Hierosolymitana exercuit. Quam rem postquam Marcianus intellexit, a Dorotheo ille ejectus est : quem is capere quidem (sic enim imperatoris præceperat jussio) conatus est; sed id ab eo fieri non potuit, propterea quod pestis illa in Sinæum montem profugerat. Quam ob causam plurimi, qui partibus ejus faverant, tormentis subditi sunt, non plebeii tantum homines, sed etiam qui propter

μων ὑφαρπάζει θρόνον, ἀρωγοῖς χρησάμενος τοῖς τἀναντία τῇ συνόδῳ φρονοῦσι, καὶ τοῖς ὑπουργοῖς Εὐδοκίας. Καὶ τῶν ἐπισκόπων μήπω ἐκ τῆς συνόδου ἐπανελθόντων, ἐκεῖνος ἑτέρους χειροτονήσας, κατὰ πόλιν ἐξέπεμπε. Σευηριανὸν δὲ τὸν Σκυθοπόλεως ἐπίσκοπον, μὴ ὑπαχθῆναι τῇ ἐκείνου κακονοίᾳ ᾑρημένον, τῆς πόλεως ἐξαγαγὼν ἔκτεινε. Μέγαν δ' ἐκίνησε διωγμὸν ἀνὰ τὴν ἁγίαν πόλιν κατ' ἐκείνων οἳ μὴ ἐκείνῳ κοινωνεῖν εἵλοντο· οὓς μὲν γὰρ βασάνοις ἤκίσατο· ἄλλων τὴν περιουσίαν διήρπασεν· ἑτέρων δὲ πῦρ ἐνῆκε τοῖς οἴκοις· ὡς δοκεῖν τὴν πόλιν ὑπὸ βαρβάρων ἁλίσκεσθαι. Περὶ οὗ τὸ μοναχικὸν ὕστερον πρὸς Ἀλκίσωνα γράφον εἴρηκεν, ὡς καὶ περὶ τὸν οἰκεῖον ἐπίσκοπον οἷα κακοῦργος ἁλοὺς, τοῦ κατ' αὐτὸν ἀπηλάθη μοναστηρίου, καὶ ἐπὶ τῆς Ἀλεξάνδρου διάφορος Διοσκόρῳ κατέστη. Ἔνθα πολλαῖς καταξανθεὶς ταῖς πληγαῖς ὡς στασιώδης, ἐπὶ καμήλου ψωριώσης ἀνὰ τὴν πόλιν περιηνέχθη. Καὶ πρὸς τὰς πόλεις Παλαιστίνης ἰὼν, ἐπισκόπους σφίσι χειροτονεῖν κατηνάγκαζεν. Ὧν εἷς ἦν καὶ Πέτρος ὁ ἐξ Ἰβηρίας τῆς Γαζαίων πόλεως, ᾗ Μαϊουμᾶ ὄνομα, τοὺς τῆς ἐπισκοπῆς οἴακας πιστευθείς· ὡς καί τινα Ἀθανάσιον τῷ τῶν διακόνων κατειλεγμένον χορῷ παῤῥησιασάμενον, ἐν μέσῃ τῇ ἐκκλησίᾳ, τοῦ τῆς ἀνομίας βδελύγματος, ἐν τῷ ἁγιωτάτῳ ἐγκαθημένου θρόνῳ, φωνὴν ἀφεῖναι, « Παῦσαι, λέγουσαν, Θεοδόσε, τῆς τοσαύτης μιαιφονίας· παῦσαι Χριστὸν πολεμῶν, καὶ τὸ αὐτοῦ ποίμνιον τῆς θείας μάνδρας ληστρικῶς ἀπελαύνων· καὶ γνῶναι μόλις γενέσθω σοι τὸ ἡμέτερον εὔνουν περὶ τὸν ἀληθῆ καὶ ὄντως ποιμένα· ἧκιστα γὰρ ἀλλοτρίῳ ἕπεσθαι μεμαθήκαμεν, μηδὲ ξένης ἀκούειν φωνῆς. » Ταῦτα λέγων, ἀνάρπαστος ἦγετο, ὑπὸ τῶν Θεοδοσίου ὑπασπιστῶν ἕλκω συρόμενος, καὶ πᾶν εἶδος παροινίας καὶ βασάνου φέρων διὰ Χριστόν. Πολλαῖς δὲ καταξανθεὶς μάστιξι, τέλος καὶ μαχαίρᾳ κατελύει τὸ ζῆν. Ὁ δ' ἐκείνου νεκρὸς, ἐκ ποδὸς διὰ πάσης τῆς πόλεως ἑλκυσθεὶς, τέλος κυσὶ βορὰ παρεδίδοτο. Δωρόθεος δ' ὁ τὴν Παλαιστίνην ἐκ βασιλέως διέπων, περὶ που τὴν Μωαβῖτιν πρὸς βαρβάρους ἐνασχολούμενος, τὰ κατὰ τὴν πόλιν γενόμενα διαγνοὺς, ὅσον τάχος ἦκε σὺν οὐκ ἀγεννεῖ τῷ στρατῷ βοηθήσων τοῖς πράγμασιν. Οἵ γε μὴν Θεοδοσίου καὶ Εὐδοκίας ὑπασπιστὰι τὰς θύρας ἐκείνῳ ἐπιζυγώσαντες, οὐ πρότερον ἀνῆκαν, ἕως οὗ λόγον καὶ παρ' αὐτοῦ ἔλαβον, ὡς κἀκεῖνος σὺν αὐτοῖς εἴη ἀποστατῶν· ὥσπερ δὴ καὶ τὸ μοναχικὸν ἅπαν καὶ τὸ τῆς πόλεως διεπράξατο πλῆθος. Ἐπὶ εἴκοσι τοίνυν μησὶν ὁ λυμεὼν Θεοδόσιος τὸν θρόνων τυραννήσας, Μαρκιανοῦ τὰ πεπραγμένα μαθόντος, πρὸς Δωροθέου ἐκβάλλεται, κατασχεῖν μὲν πειραθέντος ἐκ ἐνὸς· οὕτω γὰρ τὸ θεῖον ἐκέλευε πρόσταγμα· μὴ δυνηθέντος γε μὴν, τῷ τὸν ἀλιτήριον πρὸς τὸ Σίναιον ἀποδρᾶναι· δι' ὧν πλεῖστοι τῶν ἐκείνῳ συναραμένων αἰκίαις ὑπῆχθησαν, οὐ μόνον τοῦ λαοῦ πληρώματος, ἀλλὰ καὶ τῶν μοναδικῷ σχήματι κατατεταγμένων. Ἐκείνου δ' ἐκπεσόντος, Ἰουβεναλίου αὖθις τὸν θρόνον κατέλαβε· καὶ πάντας ὅσους χειροτονίας ἠξίωσε Θεοδόσιος, καθεῖλεν αὐθις. Πολλὰ δὲ καὶ ἕτερα τῶν

ἀνιαρῶν τῷ πλήθει ἐπισυνέβη ἐκεῖθεν ἔνθεν προϊόν- A habitum in monachorum ordine censi fuerant. Post Theodosii fugam, Juvenalis in thronum suum restitutus, omnibus quos ille ordinaverat, dignitatem statim ademit. Multa præterea alia tristia hinc et inde provenientia multitudini accidere, quæ animus ei, invido et Deo inviso dæmone, per unius litteræ mutationem, suadente, suggessit : ita ut alterius litteræ pronuntiatione, aliud prorsus inducere liceret. Adeo etiam, ut multa a pluribus mutatio fieri, et sententia in contrariam prorsus et ex diametro repugnantem significationem ferri, et alteram per alteram tolli existimaretur. Nam Christum ἐν, hoc est in duabus naturis qui profitetur, ἐκ, hoc est ex duabus, dicit : siquidem dum in divinitate et humanitate Chri-

τῶν, ὅσα γε ὁ θυμὸς αὐτῷ διηγόρευε, τοῦ βασκάνου καὶ θεομισοῦς δαίμονος οὕτω πράττειν εἰσηγουμένου ἑνὸς γράμματος ἐναλλαγῇ· ὡς ἐξεῖναι τῇ ἐκφωνήσει θατέρου σύμπαν ἐπάγειν ἐνταῦθα τὸ ἕτερον· ἐπὶ τόσον, ὡς καὶ πολὺ τὸ παραλλάττον νομίζεσθαι παρὰ τοῖς πλείοσι, καὶ ἄντικρυς τὰς ἐννοίας ἐκ διαμέτρου φέρεσθαι, ὡς ἀναιρετικὰς ἀλλήλων καθεστάναι. Καὶ γὰρ ὁ τὸν Χριστὸν ἐν δύο φύσεσιν ὁμολογῶν ἐκ δύο ἄντικρυς λέγει, εἴπερ ἐν θεότητι καὶ ἀνθρωπότητι συνομολογῶν τὸν Χριστὸν, ἐκ θεότητος καὶ ἀνθρωπότητος συντεθεῖσθαι λέγει· ὅ τε ἐκ δύο λέγων τὴν ἐν δύο πάντως ὁμολογίαν ἐπάγει, εἴπερ ἐκ θεότητος καὶ ἀνθρωπότητος τὸν Χριστὸν λέγων, ἐν θεότητι καὶ ἀνθρωπότητι ὁμολογεῖ αὐτὸν καθεστάναι, οὔτε τῆς σαρκὸς εἰς θεότητα μεταβλη- B stum confitetur, ex divinitate et humanitate unitam esse concedit. Et qui ex duabus dicit, professionem tamen in duabus infert : si ex divinitate et humanitate Christum dicens, in divinitate et humanitate consistere ipsum profitetur, neque carne in divinitatem eunte, neque rursum divinitate in carnem evadente ; unde ineffabilis illa exstitit unio, ut per locutionem, *ex duabus*, hic commode locutio *in duabus*, et per, *in duabus*, etiam *ex duabus* intelligatur, et alterum ab altero non differat ; quandoquidem et juxta abundantem loquendi rationem non solum totum ex partibus, sed etiam in partibus totum percipitur. **602** Et tamen separata hæc inter se sic esse homines opinati sunt, quadam de Deo opinionis consuetudine : vel quod ita destinatione animi volucrint, et quodvis potius mortis genus subire, quam ei quod verum est, assentiri. Quam ob causam, quæ a me dictæ sunt confusiones exstitere. Hæc sic apud Alexandrinos et apud Palæstinos accidere.

θείσης, οὔτ' αὖ τῆς θεότητος εἰς σάρκα χωρησάσης· ἐξ ὧν ἡ ἄῤῥητος ἕνωσις, ὡς καὶ διὰ τῆς *ἐκ δύο* φωνῆς ἐνταῦθα νοεῖσθαι προσφόρως τὴν *ἐν δύο*, καὶ διὰ τῆς *ἐν δύο* τὴν *ἐκ δύο*, καὶ θάτερον τοῦ ἑτέρου μὴ ἀπολιμπάνεσθαι· ὅπου γε κατὰ τὸ περιοῦσιον οὐ μόνον τὸ ὅλον ἐκ μερῶν, ἀλλὰ καὶ ἐν *μέρεσι* τὸ ὅλον γνωρίζεται. Καὶ ὅμως ἀλλήλων οὕτως ἀπεσχοινίσθαι ταῦτα νομίζουσιν ἄνθρωποι συνηθείᾳ τινὶ περὶ τῆς τοῦ Θεοῦ δόξης· ἢ καὶ τὸ οὕτω βούλεσθαι προειλημμένοι, καὶ πάσης ἰδίας παραφρονεῖν· ἢ πρὸς τὴν τοῦ ὄντος εἶναι συγκατάθεσιν. Δι' ἅπερ αἱ εἰρημέναι μοι συγχύσεις ἐγένοντο. Καὶ τὰ μὲν οὕτως ἔν τε Ἀλεξανδρείᾳ καὶ Παλαιστίνῃ συνέβαινε.

ΚΕΦΑΛ. Ι'.

CAPUT X.

Περὶ τοῦ ἐπεισῤῥήσαντος ἐν ταῖς ἑῴοις τῶν πόλεων λιμοῦ τε ὁμοῦ καὶ λοιμοῦ· καὶ ὡς αὐτομάτως ἡ γῆ τῷ ἐπιόντι ἔτει ἀνῆκε καρπούς.

De fame simul et peste, quæ civitatibus Orientalibus incesserunt : et ut sua sponte terra anno sequente fruges protulerit.

Παλλὴ δέ τις κατ' ἐκεῖνο καιροῦ ἀνομβρία ἐγένετο, καὶ λιμὸς ὁμοῦ καὶ λοιμὸς ἔν τε Φρυγίᾳ Γαλατίᾳ τε αὖ καὶ τῇ Καππαδοκῶν· καὶ ἄχρι δὴ καὶ Κιλικίας αὐτῆς περιφανῶς προεχώρει· ὡς συμβαίνειν τῇ ἐνδείᾳ τῶν ἀναγκαίων τοὺς περιοίκους τῶν εἰρημένων ἀπηγορευμένῃ καὶ ὀλεθρίᾳ καὶ ἀήθει χρήσασθαι τῇ τροφῇ, ἐπιλελοιπότων τῶν ἀναγκαίων. Λιμοῦ δὲ τοσούτου ἐπιχωριάζοντος, τῇ μεταβολῇ τῆς διαίτης ἐνόσουν μάλα οἱ ἄνθρωποι· ὑπερβολῇ γὰρ φλεγμονῆς οἰδαίνοντος σφίσι τοῦ σώματος, πρῶτον μὲν τὰς ὄψεις ἐφθείροντο· εἶτ' ἐπιγινομένης βηχὸς, τριταῖοι τὸν βίον ἀπῆσαν. Ἀλλὰ τοῦ μὲν λοιμοῦ D accedente, die tertio moriebantur. Contra pestem eam nullum usquam fuit auxilium. Qui autem ex ea perrari superfuere, eis opem servatrix omnium Providentia attulit, et fami subvenit. Eo enim anno quo fruges non provenerunt, alimento serio eos fovit, sicuti olim veteribus Israelitis fecisse memoratur, manna illis (quod dicitur cœlitus demittens. Proximo autem anno ut fruges sua sponte excrescerent, effecit. Hæc mala Palæstinam etiam et plurimas alias regiones pervaserunt. Et calami-

Εἰσδεμ temporibus ingens fuit siccitas, famesque simul et pestis in Phrygia, Galatia et Cappadocia : quæ calamitas etiam ad Ciliciam usque progressa est, ut earum quas diximus regionum incolæ in summa penuria ad eas angustias pervenerint, rebus necessariis deficientibus, ut prohibitis, insolitis et exitiosis alimentis uterentur. Et fame tantopere invalescente, homines, victus ratione mutata, in ægritudines inciderunt. Corpora namque propter maximas inflammationes, tumore concepto, oculos primum amittebant : deinde tussi

tates ejusmodi Orientalem orbis partem omnem pervagrarunt.

CAPUT XI.

De Valentiniani corde, qui Occidentalibus imperavit: et de Eudoxia conjuge ejus, liberisque ejusdem. Et ut Genserichus urbem Romam ceperit. Item de eis qui post Valentinianum per successionem Romæ imperarunt.

Hæ Orientis æruminæ fuere. Porro Occidens alias, eis quas diximus non minores, sensit. Nam Aetius urbis Romanæ præfectus, miserandum in modum vitam amisit: et oræ Occiduæ imperator Valentinianus recta quidem Ecclesiæ dogmata, quemadmodum supra a nobis dictum est, retinuit, in quotidiana autem consuetudine vitæ plurimum deliquit. **603** Cum enim vultu venusto, et rebus aliis ornatam maxime in matrimonio haberet conjugem, junioris Theodosii filiam Eudoxiam, alienas nuptias turpiter fœdavit, et aperte permultos curiosarum artium sectatores familiares habuit, et tandem vitam fœdissima morte finiit. Maximi namque, qui, Gratiano imperatore cæso, tyrannidem arripuit et a magno Theodosio postea necatus est, ex filio nepos, avo cognominis, patriciatus dignitatem primariam gerens, cum insidias Valentiniano imperatori strueret, propterea quod is uxorem ejus stuprasset, Aetium imperialem aulam gubernantem (consiliis enim suis is obsistebat) metuens, perducilionis crimine per calumniam apud imperatorem detulit. Atque ubi ille eam ob causam miserabiliter cæsus est, labore nullo Maximus imperatoris regiam ingressus, illum interemit, et conjugem ejus Eudoxiam coegit sibi nubere, eique per stuprum vim intulit. Per quæ enim aliquis peccat, per eadem etiam castigatur. Postea vero ille imperium quoque sibi usurpavit. Enimvero Eudoxia tanta contumelia affecta, quod tam inopinatum flagitium ægre ferret, omnem sibi quod dicitur jaciendam esse aleam statuit, ut injuriæ auctorem ulcisceretur qui facinus tantum in marito suo patrare, et insuper ingenuitatem libertatemque suam contaminare ausus fuisset. Acris enim esse solet femina, nec ullo modo ea flectitur aut exoratur, ut dolorem statim ponat, si pudicitia ei, quam retinere contendit, per vim adempta sit: et quidem ab eo qui etiam castitatis, dignitatis et existimationis suæ custodem sustulerit. Hæc secum in animo volutans Eudoxia, quandoquidem nullam ex Byzantio auxilii spem esse putavit, quod pater ejus Theodosius dudum diem suum obiisset, et tempore plurimo diva Pulcheria imperio ibi potiretur, quæ nondum conceptam adversus matrem Eudociam iram deposuisset, dona maxima in Libyam ad Genserichum misit, eumdemque ut sibi in tanta æruminæ subveniret, seque Maximi improbitate liberaret, rogavit: spe illa barbaro oblata, si modo se mo-

καὶ ἄλλας πλείστας ἐπῆλθε πόλεις· ὥστερ βάδην τῶν τοιούτων παθῶν πᾶσαν τὴν τῆς Ἑῴας περιστοιχοῦντων γῆν.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῆς ἀναιρέσεως Οὐαλεντινιανοῦ τοῦ ἐν ἑσπέρᾳ κατάρξαντος· καὶ περὶ τῆς ἐκείνου γυναικὸς Εὐδοξίας καὶ τῶν παίδων αὐτῆς· καὶ ὡς Γιζέριχος εἶλε τὴν Ῥώμην· καὶ περὶ τῶν μετὰ Οὐαλεντινιανὸν κατὰ διαδοχὴν βασιλευκότων ἐν Ῥώμῃ.

Τοιαῦτα μὲν τὴν Ἑῴαν κακὰ διελάμβανεν· ἀνὰ δὲ τὴν ἑσπέραν ἕτερα οὐκ ἐλάττω τῶν εἰρημένων ἐγίνετο. Ἀέτιος μὲν γὰρ ὁ τὴν Ῥώμην διέπων ἐλεεινῶς τὸν βίον κατέστρεψεν· ὁ δὲ τῆς ἑσπερίου λήξεως αὐτοκράτωρ Οὐαλεντινιανὸς τῶν μὲν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων μάλα ἀντείχετο, ἥπερ μοι καὶ πρότερον εἴρηται· παρανομίᾳ δὲ πλείστῃ εἰς τὴν ἑαυτοῦ ἐκέχρητο δίαιταν. Ὡραίᾳ γὰρ τὴν ὄψιν καὶ τἄλλα εὐπρεπεστάτῃ γυναικὶ συνοικῶν, Εὐδοξίᾳ τῇ τοῦ νέου Θεοδοσίου θυγατρὶ, ἀλλοτρίους γάμους ἀτέμνως ἀνώρυττε. Συχνῶς δὲ καὶ τοῖς τὰ περίεργα πράττουσιν ἀδεῶς ὁμιλῶν, αἰσχίστῳ μόρῳ τὸν βίον μετῆλλαττεν. Μαξίμου καὶ γὰρ, ὃς δόλῳ μὲν τὸν βασιλέα Γρατιανὸν ἀνεῖλε, τυραννίδι χρησάμενος, ὑπὸ δὲ τοῦ μεγάλου Θεοδοσίου ἀνῃρήτει τούτου πολὺς παιδὸς τῷ πάππῳ ὁμώνυμος, ἐν πατρικίοις τὰ πρῶτα τελῶν, ἐπιβουλὴν βασιλεῖ Οὐαλεντινιανῷ ῥάπτων· ὅτιπερ εἰς τὴν ἐκείνου ἐνύβρισε γαμετὴν, δεδοικὼς τὸν Ἀέτιον τῶν βασιλείων κρατοῦντα· διαβάλλει μὲν ἐκεῖνον πρώτων τῷ βασιλεῖ τῷ ἐγκλήματι τῆς καθοσιώσεως· ἐπεὶ δ' ἐκεῖνος διὰ τοῦτο δειλαίως ἀνῄρητο, σὺν οὐδενὶ πόνῳ τὰ ἀνάκτορα εἰσιὼν, κτείνει μὲν τὸν Οὐαλεντινιανὸν, καὶ τὴν ἐκείνου σύνοικον εἰσοικίζεται, καὶ πολλὴν βίαν ἐπαγαγὼν, ταύτῃ συμφθείρεται· δι' ὧν γάρ τις ἁμαρτάνει, δι' αὐτῶν καὶ παιδεύεται. Ἔπειτα καὶ τὴν ἀρχὴν περιβάλλεται. Ἡ δ' Εὐδοξία οὕτω περιυβρισθεῖσα καὶ τῷ λίαν παραλόγῳ τοῦ πράγματος ἀχθομένη, πάντα κύβον, τὸ δὴ λεγόμενον, ἀναρρίπτειν ἥρείτο, ὥστε τὸν ὑβριστὴν τίσασθαι ὑπέρ τε ὧν εἰς τὸν οἰκεῖον ἐπεπόνθει γαμέτην, οἷς τε οὕτως τῷ ἐλευθερίῳ ἐξύβριστο. Καὶ γάρ πως δεινή τίς ἐστι γυνὴ, καὶ ἥκιστα δυσπειθὴς λύπην τύχιστα ἀποθέσθαι, εἴ γε σωφροσύνης ἀντεχομένη ταύτην πρὸς βίαν ἀφαιρεθείη· καὶ ταῦτα, παρ' οὗ καὶ τὸν τῆς σωφροσύνης καὶ τιμῆς καὶ δόξης φύλακα τύχοι προσαπολέσασα. Ταῦτ' οὖν ἐν νῷ ἔχουσα Εὐδοξία, ἐπεὶ μηδὲ μίαν ἐκ Βυζαντίου ἔσεσθαί οἱ ᾤητο ἀρωγὴν, πάλαι μὲν οἰχομένου αὐτῇ τοῦ πατρὸς Θεοδοσίου, πλείστου δὲ καὶ τῆς θείας Πουλχερίας ἐπὶ τῆς ἀρχῆς οὔσης χρόνον, καὶ μήπω τὸν κατὰ τῆς μητρὸς Εὐδοκίας χόλον ἀποθεμένης, δῶρα πλεῖστα δοῦσα, πρὸς Λιβύην ἐκπέμπει, Γιζέριχον δυσωποῦσα, ἀρῆξαι μὲν αὐτῇ δυστυχῶς οὕτω πραττούσῃ, καὶ τῆς Μαξίμου μοχθηρίας ἐλευθερῶσαι· εὐέλπιν δὲ εἶναι μόνον κινήσαντα, καὶ παρὰ δόξαν τῇ Ῥωμαίων ἐπελθεῖν στόλῳ μεγάλῳ ἀχθῆ· ὑπισχνεῖτο γὰρ οἱ πάντα εὐχερῶς προδώσειν. Ὁ μὲν οὖν Μάξιμος οὐδ' ὅπως τυραννήσει ἐνίστατο,

A

B

C

D

διεφθάρη· Γιζέριχος δὲ τὴν μεγάλῃ δυνάμει ἐλθὼν, εἷλε Ῥώμην. Βάρβαρος δὲ τὴν γνώμην ὢν καὶ ἀστοβὴς καὶ παλίμβολος, οὐδὲ τῇ Εὐδοξίᾳ τὸ πιστὸν ἐφυλάξατο· ἀλλὰ τὰ μὲν πολιορκήσας, τὰ δὲ τῶν τῆς πόλεως θεαμάτων πυρπολήσας, ἐς Λιβύην αὖθις ᾤχετο ἀπιών, μεθ' ἑαυτοῦ τήν τε Εὐδοξίαν καὶ τὰς δύο θυγατέρας Εὐδοκίαν καὶ Πλακιδίαν αἰχμαλώτους ἔχων. Πολλὰ δὲ καὶ τῶν ἐκκλησιαστικῶν καὶ πολυτίμων σκευῶν συναπῆρεν. Οὐκ ἐλάχιστα δὲ καὶ τῶν Ἑβραϊκῶν ἦσαν σκευῶν· ἅτερ Οὐεσπασιανός τε καὶ Τίτος, τὴν Ἱερουσαλὴμ πορθήσαντες, εἰς Ῥώμην ἀνήγαγον. Τὴν μὲν οὖν πρεσβυτέραν τῶν θυγατέρων Εὐδοκίαν τῷ υἱῷ Ὀνωρίχῳ συνῆπτε Γιζέριχος· τὴν δὲ Πλακιδίαν μαθὼν Ὀλυβρίῳ νατεγγυηθεῖσαν τῷ πατρικίῳ, πρώτῳ κατὰ τὴν Ῥώμην τῆς γερουσίας τυγχάνοντι, τότε δ' ἐς Βυζάντιον γεγενημένῳ φυγάδι, ἀλισκομένης τῆς πόλεως, σύναμα τῇ μητρὶ Εὐδοξίᾳ ἐς Βυζάντιον ἔπεμπε, Μαρκιανὸν ἱλεούμενος σὺν πολλῇ τῇ θεραπαίᾳ καὶ βασιλικῇ τῇ δορυφορίᾳ. Καὶ γὰρ πολλήν τινα τὴν ὀργὴν κατ' αὐτοῦ ἐνῆκε Μαρκιανῷ, τῷ τε τὴν Ῥώμην ἐμπρῆσαι, καὶ τῷ τὰς βασιλίδας οὕτω περιυβρίσαι. Ἀλλὰ τὴν μὲν Πλακιδίαν Ὀλύβριος αὖθις Μαρκιανοῦ κελεύοντος εἰσοικίζεται. Μετὰ μέντοι Μάξιμον ἦρχε Ῥωμαίων Ἄβιτος μῆνας κρατήσας ὀκτώ. Τούτου δὲ λιμῷ τὸν βίον ἀλλάξαντος, Μαϊουρῖνος ἐπὶ δύο ἔτη τὴν βασιλείαν κατέσχεν. Ἀλλὰ καὶ Μαϊουρίνου πρὸς Ῥεκιμέρου, ὃς στρατηγὸς Ῥωμαίων ἦν, δόλῳ τὸν βίον ἀπολιπόντος, Σεουῆρος τρίτον ἔτος τὴν βασιλείαν ἐκράτησε· μεθ' ὃν Ἀνθέμιος, ᾧ Μαρκιανὸς τὴν ἰδίαν παῖδα κατηγγύησατο, ἐκ πρεσβείας τῶν ἑσπερίων Ῥωμαίων. Ἐπεὶ δὲ καὶ οὗτος δόλῳ ἐσφάττετο, Χριστιανικώτατος μάλα γενόμενος, Ὀλύβριος βασιλεὺς ὑπὸ Ῥεκιμέρου ἀνηγόρευτο, καὶ μετὰ τοῦτον Γλυκέριος· ὃν τῇ τιμῇ πέμπτον ἔτος διαγενόμενον, Νέπως τὴν ὀργὴν ἐγχειρίζεται, ἐπίσκοπον τὸν Γλυκέριον καταστήσας κατὰ Σάλωνας πόλιν τῆς Δαλματίας. Ἀλλὰ καὶ τοῦτον Ὀρέστης τοῦ τῆς ἀρχῆς ἀφίστησι Ὀρέστου, οὗ ὁ παῖς Ῥωμύλος, ὃς καὶ Αὐγουστοῦλος ἐκλήθη, διεδέξατο· ὃ τελευταῖος αὐτοκράτωρ Ῥωμαίων ἐγένετο, ἀπὸ Ῥωμύλου τοῦ πρώτου τριῶν καὶ τριακοσίων καὶ χιλίων παρῳχηκότων ἐνιαυτῶν. Μετὰ δὲ τοῦτον Ὀδόακρος τὴν Ῥωμαίων ἡγεμονίαν κατέσχε, τῆς αὐτοκρατορικῆς καὶ βασιλικῆς προσηγορίας ἑαυτὸν ἀφελών, πρῶτος δὲ ῥῆγα προσειπὼν ἑαυτόν· ὀπηνίκα καὶ Λέων ὁ μέγας τῶν τῇδε μεθίστατο.

ret, praeter opinionem cum classe ingenti imperium Romanorum consecuturum, quod se illi facile traditurum recepit. Itaque Maximus cum neque unum quidem annum tyrannide potitus esset, interemptus est, **604** Genserichus vero ubi cum ingentibus copiis advenit, Romam cepit. Qui quod barbara mente et instabilis atque inconstans esset, Eudoxiæ fidem non servavit, sed urbe direpta, spectaculisque ejus incensis, in Libyam reversus est, Eudoxia secum et duabus ejus filiabus Eudocia et Placidia captivis abductis. Multa quoque inde ecclesiastica et pretiosa abstulit vasa, inter quæ non pauca etiam Hebraica fuere, quæ Vespasianus et Titus Hierosolymis vastatis Romam secum attulerant. Genserichus (1) majorem natu filiam Eudociam filio Honoricho matrimonio junxit, Placidiam autem, quod Olybrio patricio, senatus Romani principi, qui tum urbe Roma capta Byzantii profugus erat, desponsatam esse cognovisset, una cum matre Eudoxia, cultu magno et regio comitatu tradito, Byzantium, Marcianum placaturus, misit, qui vehementer ira adversus eum percitus fuerat, cum quod Romam incendisset, tum quod sic in imperatrices illusisset. Olybrius, Marciano jubente, Placidiam uxorem duxit. Verum post Maximum Romæ Avitus rerum potitus est mensibus octo : qui ubi vitam fame finivit, Majorianus biennio imperium tenuit. Postquam autem is ab Recimero Romanæ militiæ duce dolo cæsus est, Severus (2) tres annos ibi imperavit. Post hunc Anthemius, cui Marcianus filiam suam despondit, Occidentalibus Romanis id per legationem petentibus. Ubi vero et hic, cum Christianissimus esset, fraude peremptus est, Olybrius a Recimero imperator renuntiatus est. Huic successit Glycerius. Atque illi rursum, ubi annos quinque dignitatem eam gessisset, Nepos qui Glycerium apud Salonas Dalmatiæ urbem episcopum fecit. Sed et hunc Orestes imperio spoliavit. Cui Romulus filius, qui et Augustulus dictus est, successit, ultimus Romanorum imperator, a Romulo primo rege mille trecentis et tribus (3) exactis annis. **605** Post hunc Romanorum imperium Odoacer invasit : qui imperiali cognomine rejecto, regem se primus vocavit (4). Quo tempore et Leo Magnus ex hac vita migravit.

(1) Cum Genserichus Carthaginem (ex quo annis 585 in ditione Rom. fuisset) anno Domini 441 cepisset, cujus cladis mentio fit l. 1, in princ. C. *de of. præf. prat.*, tandem Romam quoque anno Domini 457 fœdissime vastavit. M. Varro Vectium se Romæ, in augurio non ignobilem, et ingenio cuivis parem, audivisse scribit, dicentem : Quoniam CXX annos incolumis præterisset populus Rom. ad hæc perventurum. Quidam eruditi temporis direptionis istius Vandalicæ, cujus Justin. meminit. C. *De off. PP. Afric.* designari per Varronis verba putant. Alii potius ad Totilæ vastationem referunt, quæ sub Justiniano accidit.

(2) Al. Severianum nominant.

(3) Secundum alios ab Urbe condita circiter annum 1221.

(4) Circiter hæc tempora Paulinus Nolæ episcopus, multosa Vandalis captivos redemit, et tandem viduæ filium, seipso in servitutem dato, liberavit. (Diac.) — Odoacer, quod bellicosus esset, id nomen a vastandis et exscindendis agris accepit. Sicut et apud Vandalos sive Bohemos, rex Odoacrus, vir fortissimus, ante Permislatus nominatus. Fuit autem Odoacer Herulus, sub quo Romani majestas imperii in Occidente sero admodum ad Francos pervenit.

CAPUT XII.

Ut imperatrix Eudocia Pulcheriæ Augustæ sit conciliata : et de juniore Eudocia, Eudoxiæ filiæ.

Eudocia Augusta in Palæstina adhuc degens, de filiæ Eudoxiæ, maritique et liberorum ejusdem rebus certior facta, ad extremam conjecta est animi anxietatem. Proinde funem omnem, ut in proverbio est, movens, per Valerium et Olybrium patricios Pulcheriæ reconciliata est : a qua etiam petiit, ut eis quæ in captivitate essent, opem ferret. Et cum pax inter Genserichum et Marcianum facta esset, Eudoxiam Genserichus et Placidiam, Pulcheria petente, sicuti dixi, Byzantium misit. Junior autem Eudocia apud maritum Honorichum in Africa mansit, cum quo sedecim annos vixit, eidemque filium Hulderichum genuit. Porro cum parum grata ei esset viri conjunctio, qui Arianam profitebatur religionem, arte manus ejus elapsa, et aviam Eudociam imitata, ad sancta loca concessit, et sepulcrum illius longe post exosculata est. Ubi et ipsa non diu vixit : sed somno beato sopita, juxta aviæ tumulum in præclaro et ipsa reposita est monumento. Quidquid autem ei erat facultatum, id pauperibus et sanctæ Christi resurrectioni (1) consecravit.

606 CAPUT XIII.

Ut procuratione et arte Pulcheriæ, Eudocia sanctam quartam approbarit synodum, persuasione Symeonis Stylitæ sive Columellæ et magni Euthymii inducta.

Pulcheria Augusta quamprimum Eudociæ reconciliata est, fratres et filias ejus hortata est, ut crebras ad eam darent litteras, quo ab Eutychetis et Dioscori opinione desciscerent, et sanctæ catholicæ Ecclesiæ communionem amplecterentur. Litteris ejusmodi Eudocia acceptis, cum etiam beata Bassa semper ei, ut eadem secum in religione sentiret, molesta esset : metuens illa, ne id non ex sententia Dei faceret, faciendum sibi esse putavit, ut de ea re ad divinos Patres referret, qui se de vero pietatis cultu certo edocerent. Proinde Anastasio chorepiscopo accito, ad sanctum Symeonem Stylitem per illum scripsit, qui tum virtutibus suis orbem illustrabat. Ad eum litteris quoque manu sua conscriptis, conscientiam suam revelavit : complexuram se esse, quod ille decrevisset, pollicita. Sanctus autem vir ille ad eam in hæc verba rescripsit : «Scito, filiola, quod diabolus, virtutum tuarum divitias cernens, te expetivit ut cribraret sicuti triticum. Et exitiosus ille Theodosius, vas et instrumentum mali illius factus, Dei amanti animæ tuæ tenebras offudit, eamque conturbavit. Sed confide. Non enim deficiet fides tua. Ego quidem illud valde admiratus sum, quod cum fontem apud teipsam habeas, eumque ignorans, longius aquam hauriendam peteres. Habes igitur

ΚΕΦΑΛ. ΙΒ'.

Ὡς ἡ βασιλὶς Εὐδοκία τῇ βασιλίδι Πουλχερίᾳ ἐσπείσατο· καὶ περὶ τῆς νεωτέρας Εὐδοκίας, τῆς θυγατρὸς Εὐδοξίας.

Εὐδοκία δὲ ἡ βασίλισσα, τὰ κατὰ τὴν θυγατέρα Εὐδοξίαν καὶ τὸν σύζυγον καὶ τὰς ἐκείνων παῖδας ἀναμαθοῦσα, ὅτι τῇ Παλαιστίνῃ ἐνδιατρίβουσα, εἰς ἔσχατον ἀθυμίας ἦκε· καὶ πάντα κάλων, τὸ τοῦ λόγου, κινήσασα, σπένδεται Πουλχερίᾳ, μέσων γενομένων Ὀὐαλλερίου καὶ Ὀλυβρίου τῶν πατρικίων. Ἤτει δὲ βοηθὸν καὶ ταῖς ἐν αἰχμαλωσίᾳ γενέσθαι. Καὶ τῆς εἰρήνης ἁρμαζούσης μεταξὺ Γιζερίχου καὶ Μαρκιανοῦ, τὴν μὲν Εὐδοξίαν καὶ Πλακιδίαν αἰτησάσης Πουλχερίας, ἐς Βυζάντιον, ὥσπερ ἔφην, Γιζέριχος ἔπεμπεν· ἡ δὲ νεωτέρα Εὐδοκία παρὰ τῷ ἀνδρὶ Ὀνωρίχῳ ἦν κατὰ τὴν Ἀφρικὴν μένουσα· μεθ' οὗ ἐκκαίδεκα ἔτη διαβιώσασα, καὶ παῖδα ἐξ ἐκείνου Ἱλδέριχον ἀποτεκοῦσα, δυσαρεστοῦσα τάνδρὶ, ὅτι τὰ Ἀρειανῶν ἐπρίσβευε, τέχνῃ τὰς χεῖρας ἐκείνου διαφυγοῦσα, τὴν μάμμην Εὐδοκίαν μιμησαμένη, πρὸς τοὺς ἁγίους καὶ αὐτὴ τόπους ἐγένετο, καὶ τὸν ἐκείνης τάφον ἡσπάζετο πολλῷ ὕστερον. Ἐν ᾧ καὶ αὐτὴ ἐπ' ὀλίγον διαβιοῦσα, τὸν μακάριον ὕπνωσεν ὕπνον, παρὰ τὸν τάφον τῆς μάμμης περιφανοῦς τυχοῦσα ταφῆς. Ὅσα δ' αὐτῇ προσῆσαν, πένησι καὶ τῇ ἁγίᾳ τοῦ Χριστοῦ ἀφιέρωσεν ἀναστάσει.

ΚΕΦΑΛ. ΙΓ'.

Ὡς μεθόδῳ Πουλχερίας ἡ Εὐδοκία τὴν ἁγίαν τετάρτην προσήκατο σύνοδον, ὁδηγηθεῖσα ὑπὸ Συμεὼν τοῦ Στυλίτου καὶ τοῦ μεγάλου Εὐθυμίου.

Πουλχερία δὲ ἡ βασιλὶς, ἅρτι σπεισαμένη τῇ Εὐδοκίᾳ, τοῖς τε ἀδελφοῖς ἐκείνης ὑπετίθει καὶ θυγατράσι συνεχέστερον γράμματα πέμπειν αὐτῇ, ὥστε τῆς μὲν Εὐτυχοῦς καὶ Διοσκόρου δόξης πεῖθειν ἀφίστασθαι, τῇ δὲ ἁγίᾳ καὶ καθολικῇ Ἐκκλησίᾳ κοινωνεῖν αἱρεῖσθαι· ἃ δῆτα δεχομένη ἡ Εὐδοκία, καὶ τῆς μακαρίας Βάσσης τὰ ἴσα φρονεῖν ἀεὶ ἐνοχλούσης, δείσασα μὴ οὐ κατὰ γνώμην πράττοι Θεοῦ, δεῖν ἐδόκει τὰ τοῦ σκοποῦ τοῖς θεοφόροις τῶν Πατέρων κοινώσασθαι, καὶ παρ' ἐκείνων τὸ προσῆκον σέβας ἀπακριβώσασθαι. Καὶ δὴ τὸν χωρεπίσκοπον Ἀναστάσιον μεταστειλαμένη, τῷ ἁγίῳ Συμεὼνι τῷ Στυλίτῃ ἀπέστελλε, τηνικαῦτα τὴν ὑφήλιον ταῖς ἀρεταῖς ὁρθουχοῦντι· ᾧ καὶ τὰ τῆς συνειδήσεως οἰκειοχείρῳ γράμματι ἀνετίθει, στέργειν ὃ ἐκείνος ἐγκρίνοι. Ὁ δὲ ὅσιος γράμματι αὖθις ἐδήλου, ταῦτα κατὰ λέξιν ἐπιστείλας αὐτῇ· « Γίνωσκε, τέκνον, ὅτι ὁ διάβολος ὁρῶν τὸν πλοῦτον τῶν σῶν ἀρετῶν, ἐξητήσατό σε σινιάσαι ὡς τὸν σῖτον· καὶ ὁ λυμεὼν ἐκεῖνος Θεοδόσιος, δοχεῖον καὶ ὄργανον τοῦ πονηροῦ γεγονὼς, τὴν θεοφιλῆ σου ψυχὴν ἐζόφωσέ τε καὶ συνετάραξεν. Ἀλλὰ θάρσει· οὐ γὰρ ἐκλείπει σου ἡ πίστις. Ἐγὼ δὲ τοῦτο λίαν τεθαύμακα, ὅτι τὴν πηγὴν ἔχουσα καὶ ταύτην ἀγνοοῦσα, μακρόθεν τοῦ ὕδατος ἀντλῆσαι ἐσπούδαζες. Ἔχεις τοίνυν τὸν θεοφόρον Εὐθύμιον· ἵπου τοίνυν ταῖς αὐτοῦ θε-

(1) In cujus honorem templum Hierosolymis constructum fuerat. Evagr. lib. II, cap. 5.

θαισκαλίαις καὶ νουθεσίαις, καὶ σώζῃ. » Ταῦτα διαγνοῦσα ἡ Εὐδοκία οὐκ ἀμελῶς διετέθη· πέμψασα δὲ, τὸν ἅγιον Εὐθύμιον μετεστέλλετο, εἰς ὃν ἐκείνη νεοπαγῆ πύργον ἐδείματο. Ἐπεὶ δὲ ἦκεν, ἀῤῥήτου πλησθεῖσα τῆς ἡδονῆς, πρὸς τοῖς ἐκείνου πεσοῦσα ποσὶ, « Νῦν ἔγνων, μέγα ἀνέκραγεν, ὅτι ἐπεσκέψατο Κύριος τὸ ἐμὸν ἀνάξιον τῇ ἐπιφοιτήσει παρουσίας τῆς σῆς. » Ὁ δὲ ὅσιος εὐλογίας ταύτην καταζώσας, προσέχειν τοῦ λοιποῦ παρῃγγύα. « Τὰ γὰρ ἐπισυμβάντα τῶν λυπηρῶν μὴ δι' ἄλλο τι ἐπιγεγενῆσθαί σοι ἴσθι, ἢ ὅτι τῷ ἀνοσίῳ Θεοδοσίῳ κοινωνῆσαι ἠνέσχου. Καὶ τοίνυν τῆς ἀλόγου φιλονεικίας παντάπασιν ἔκστηθι· καὶ πρὸς ταῖς τρισὶν ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις, τῇ ἐν Νικαίᾳ πρώτως συνελθούσῃ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς, τῇ τε ἐν Κωνσταντινουπόλει κατὰ Μακεδονίου, καὶ τῇ ἐν Ἐφέσῳ πρώτῃ κατὰ Νεστορίου, χρεών σε καὶ τὸν νυνὶ ἐκφωνηθέντα ὅρον τῆς ἐν Χαλκηδόνι ἀθροισθείσης συνόδου προσίεσθαι· καὶ τὴν Διοσκόρου ἀπειποῦσα κοινωνίαν, τῷ Ἱεροσολύμων Ἰουβεναλίῳ πρόσιθι, καὶ τῶν ἃ σοι ἔος πράττειν τῇ Ἐκκλησίᾳ. » Ταῦτ' εἰπὼν καὶ ὑπὲρ αὐτῆς εὐχὴν ἀναπέμψας Θεῷ, ἐπὶ τὴν ἰδίαν μάνδραν ἐχώρει. Ἡ δ' ἐξ αὐτῆς τῇ ἁγίᾳ προσιοῦσα πόλει, τῇ καθόλου Ἐκκλησίᾳ ὅσα θέμις ἦν διεπράξατο. Πολὺ δὲ σὺν αὐτῇ καὶ πλῆθος τοῦ τε λαοῦ καὶ τοῦ μοναχικοῦ συστήματος τῇ Θεοδοσίου πλάνῃ ἀκολουθῆσαν, τῆς ἱερᾶς κοινωνίας μετέλαχεν. Ὅσοι δὲ μὴ ἀκολουθήσαι ταύτῃ ᾑροῦντο, τῶν μὲν ἐκείνης συνήθων δωρεῶν καὶ ἔτι ἀπήλαυνον συμπαθείας ἕνεκεν, ἀλλ' οὐ προσπαθείας· τῶν γε μὴν ἐκείνοις οὐ καλῶς δοκούντων ἐξέστη ὅλῃ προθυμίᾳ ψυχῆς τῇ καθόλου Ἐκκλησίᾳ ἑαυτὴν ἐπιδεδωκυῖα. Οὐ πολλῷ δὲ ὕστερον καὶ τὸν χοῦν κάτω λιποῦσα, ὡς μοι προείρηται, μακαρίῳ τέλει διέβαινε πρὸς Θεόν.

Ἤδη δὲ τοῦ Λέοντος δεύτερον ἔτος ἀνύοντος τῇ ἀρχῇ, ἐξαίσιος τῆς γῆς κλόνος ἐγγίνεται, καὶ βρασμὸς ἐπὶ τόσον ἐξέχων, ὡς πολλὰ μὲν ἁπανταχοῦ γενέσθαι τὰ πτώματα, τὴν δ' Ἀντιόχου πᾶσαν κατασεισθῆναι σχεδόν, προοίμιον ὥσπερ τῶν ἐπιγενησομένων ταύτῃ κακῶν · οἷς πόρρω τῶν θείων νόμων οἱ ἐκεῖσε γενόμενοι, θηριώδεις πρὸς πᾶσαν γνώμην ἐγένοντο, μανίᾳ πάσῃ ἐκβακχευθέντες · χαλεπώτατος γὰρ τῶν πώποτε γενομένων ἐπέβρισεν, ἕκτον καὶ πεντακοσιοστὸν ἔτος χρηματιζούσης τῆς πόλεως. Ἐπῆλθε δὲ τετάρτην καὶ δεκάτην ἄγοντος τοῦ Γορπιαίου μηνὸς, ὃν Ῥωμαῖοι Σεπτέμβριον ὀνομάζουσι, τετάρτην ὥραν νυκτὸς, ἑπτὰ καὶ τεσσαράκοντα καὶ τριακοσίων διεληλυθότων ἐνιαυτῶν μετὰ τὸν ἐπὶ Τραϊανοῦ γεγονότα. Ἐκεῖνος μὲν γὰρ ἕνατον καὶ εἰκοστὸν καὶ ἑκατοστὸν ἀγούσης τῆς αὐτονομίας τῇ πόλει ἔτος ἐγένετο, ὁ δὲ νῦν ἐπὶ Λέοντος ἕκτον καὶ πεντακοσιοστὸν ἀνυούσης, ὡς φιλοπόνως εὑρεῖν ἐξεγένετο. Καὶ δὴ πάσας μὲν οἰκίας αὐτῆς σχεδὸν καταβέβληκε πολυανθρώπου γεγενημένης, ὡς μηδὲν αὐτῆς ἔρημον καὶ ἀοίκητον περιλειφθῆναι, ἢ ἀτημέλητον · λίαν δὲ μάλιστα φιλοπόνως ἐξησκημένης τῷ φιλοτίμῳ τῶν διαφόρων ἀρχῶν, ὥσπερ ἀλλήλοις ἀμιλλωμένων τοῖς ἔργοις καὶ ἀντιφιλοτιμουμένων, ποτέρῳ γένοιτο τὸν ἄλλον νικᾷν. Πεπτώκασι μὲν οὖν οἵ τε βασίλειοι οἶκοι, ὁ πρῶτός τε καὶ ὁ δεύτερος, τῶν ἄλλων διαφυγόντων τὸν κίνδυνον σὺν τῷ παρακειμένῳ βαλανείῳ, ὃ δὴ καὶ τὴν πόλιν τῆς πρότερον ἀχρηστίας ἀπέπλυνεν, οἷς συνέβη πλημμελῆσαι τὰ λοιπὰ τῶν βαλανείων. Ἐρρίφησαν δὲ καὶ αἱ πρὸ τῶν βασιλείων στοαὶ, καὶ ὃ ἐπέκειτο τούτοις τετράπυλον, καὶ ὁ τοῦ Ἱπποδρόμου πύργος, καί τινες τῶν ἐπ' ἐκείνῳ στοῶν. Κατὰ δὲ τὴν παλαιὰν οἰκίας ἢ στοᾶς οὐδόλως τινὸς ἥψατο · Τραϊανοῦ δὲ καὶ Σευήρου καὶ Ἀδριανοῦ τὰ βαλανεῖα κατέσεισε · καὶ ἡ ὀστρακίνη γειτονία οὕτω καλεῖται, τὰ πλεῖστα ταύτης καὶ τὰς ἐπ' ἐκείνῃ στοὰς συγκατέβαλε, καὶ τὸ Νυμφαῖον καλούμενον. Ἅ δὴ πάντα ῥᾳδίως λεπτὸν Ἰωάννης ὁ ῥήτωρ ἱστόρησε, καί γε διὰ τῶν αὐτοῦ τούτου χίλια χρυσοῦ τάλαντα βασιλέα

φασὶν ἀφεῖναι τῇ πόλει τῶν ἐτησίων φόρων τὰ τέλη, τῶν ἠφανισμένων χάριν κτισμάτων, πολλὰ δὲ καὶ οἰκοθεν καταθεῖναι, ὥστε τὰς δημοσίας ἀνανεῶσαι οἰκοδομάς. Τῷ δ' αὐτῷ χρόνῳ ἥ τε Θρᾴκη καὶ Ἑλλήσποντος κατασείεται, Ἰωνία τε πᾶσα, καὶ οἱ Κυκλάδες νῆσοι καλοῦνται· κατενεχθῆναι δὲ τὰ πολλὰ τῆς τε Κνίδου καὶ Κῶ· ἀνὰ δὲ τὴν Κωνσταντίνου καὶ Βιθυνῶν ἐπαρχίαν ὄμβρους ἀξαισίους γενέσθαι, ἐς τρίτην δὴ καὶ τετάρτην ἡμέραν ἀενάως τῶν ὑδάτων οὐρανόθεν φερομένων ποταμηδὸν, καὶ ὄρη μὲν ἐς πεδία κατενεχθῆναι, κώμας δὲ μεγίστας κατακλυσθείσας ἀφανισθῆναι. Ἐκ τῶν ἄγαν δὲ φορυτῶν ἔν τισι τῶν λιμνῶν καὶ νήσους ἀναφυῆναι· ὥσπερ περὶ Βοάνην ἐγένετο, ἥ ἄγχιστα Νικομηδείας ἐστί. Καὶ ἄλλα δὲ πολλὰ ἐπεγένετο· σημεῖά τε γὰρ κατεθεάθη ἐν οὐρανῷ· νεφέλη γὰρ σάλπιγγος σχῆμα περιβαλλομένη, ἐπὶ ἡμέρας τεσσαράκοντα ὤπτο· ἡνίκα καὶ σποδὸς ἄνωθεν ὑετίσθη τῇ Κωνσταντίνου, ὡσεὶ παλαιστὴν ὑπὲρ τῶν κεράμων καθεῖναι, εἰς πῦρ τῶν νεφῶν ἀλλοιωθέντων· ὃ δὴ σύμβολον ἀκραιφνέστατον ἦν τῆς ὅσον οὔπω ἔσεσθαι μελλούσης πυρκαϊᾶς· ὅτε πάντες σὺν τρόμῳ ἐξιόντες, δυσαποῦντες ἦσαν Θεὸν, λέγοντες, Πῦρ ἐπιβρέχειν καὶ τὸ πᾶν ἀφανίζειν ἢν βουλομένῳ Θεῷ. Φιλανθρώπως δὲ κινηθέντως, ἐσβέσθη, καὶ ἡ τέφρα κατῆει πρὸς γῆν. Περὶ ταύτης καὶ ὁ Καισαρεὺς Προκόπιος ἱστορεῖ οἶμαί που, ἐκ τοῦ Βεβίου ὄρους ἔχειν τὴν γέννησιν ἀναγράφων· πλείστην δὲ τῷ τότε ἀναβοθεῖσαν, καὶ βιαίῳ πνεύματι γενομένην μετέωρον, καταπίπτειν, ὅπου δὴ καὶ λήγειν συμβαίνει τὸ πνεῦμα· ἴσως δὲ καὶ Θεοῦ, ἔνθα δέοι κολάζειν, αὐτὴν καταβρίπτοντος τῷ μετέωρον φέρεσθαι. Τῶν δ' εἰρημένων ἐπικειμένων σεισμῶν καὶ ὁ βασιλεὺς Λέων δείσας, περὶ τὸν ἅγιον Μάμαντα τὴν σκηνὴν ἐπήγνυτο, ἐπὶ ἓξ μῆνας τῆς πόλεως ἀποχωρῶν, τὴν θείαν ὀργὴν διαδιδράσκειν οἰόμενος.

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τοῦ γενομένου ἐμπρησμοῦ ἐν τῇ Κωνσταντινουπόλει.

Ἐν ἐκείνῳ δὲ καὶ τὸν μέγιστον ἐμπρησμὸν τῇ Κωνσταντίνου συνέβη γενέσθαι, ὃς πολλῷ δεινότερα ἢ ὁ σεισμὸς ἔδρασεν. Ἐγένετο δέ οἱ ἀρχὴ τοῦ κακοῦ ἐν τῷ παρὰ θάλασσαν ταύτης μέρει ὃ Βοὸς πόρον καλοῦσιν οἱ ἐπιχώριοι· ἀλάστορός τινος δείμονος ταῖς ἐπιλυχνίαις τῶν ὡρῶν γυναικὶ χερνήτιδι εἰκασθέντος, λύχνον τε ἐπὶ τὸ παντοπώλιον προκομίσαντος, ὥστε τι τῶν ταρίχων δῆθεν ὠνήσασθαι. Εἰ δὲ καὶ γυνή τις ταῖς ἀληθείαις οἰστρουμένη δαίμονι παλαμναίῳ, λέγειν οὐκ ἔχω· καὶ ἄμφω γὰρ λέγεται. Ὁ μὲν οὖν λύχνος ἐτέθετο· τὸ δὲ γύναιον ἀνεχώρει. Τὸ δὲ πῦρ οὐκ οἶδ' ὁπόθεν στυπείου λαβόμενον, μεγάλην εὐθὺς προῆκε τὴν φλόγα· καὶ τὸ μὲν οἴκημα εὐθὺς καταπρῆσαν ἐβόσκετο· ἐκεῖθεν δ' ἐπὶ τὰ ἐχόμενα ἕρπον, ἀμφενέμετο κύκλῳ ἐκ τοῦ ῥᾴστου τὰ παρακείμενα διαφθεῖρον. Καὶ οὐ μόνον ὅσα εὐέξιπτα, ἀλλὰ δὴ καὶ τὰ, ὅσα λίθος· μόνος ξεστὸς εἰς εὖρος καὶ μῆκος ἦρε τῶν οἰκοδομημάτων. Καὶ ἐς τετάρτην δὲ ἡμέραν ἀπηνῶς οὕτω κατεσθίον τὰ

A propter ædificia diruta, imperatorem ferunt urbi ei mille auri talenta tributi annui remisisse, multam quoque pecuniam ad publica ædificia renovanda dedisse. Eadem tempestate Thracia etiam et Hellespontus, Ionia omnis, et quæ vocantur Cyclades insulæ concussæ sunt. Ædificia plura in Cnido et Co collapsa. Constantinopoli vero et in provincia Bithynia imbres immensi in tertium et quartum diem, jugibus aquis cœlitos in fluminum morem decidentibus, duraverunt : montes in planiciem decciderunt, vici maximi diluvio disparuerunt. Ex ingenti purgamentorum copia in quibusdam lacubus insulæ exstiterunt : sicuti in Boana lacu, qui ad Nicomediam est, accidit. Alia præterea multa evenere. Signa quoque in cœlo

B conspecta. Nubes enim tubæ specie ad dies quadraginta visa est. **620** Quo tempore cinere etiam Constantinopoli, nubibus in ignem versis, pluit, qui cinis palmi minoris prope altitudine in tegulis jacuit : id quod evidentissimum indicium imminentis incendii fuit. Itaque cum tremore omnes urbe egressi, Deum precibus placarunt, ignea pluvia Deum abolere velle omnia dicentes. Porro Deo ad misericordiam converso, flamma exstincta, et cinis horrendus in terram delatus est. De hoc Procopius etiam Cæsariensis alicubi memorat, ex Ebbio eum monte ortum habuisse scribens, unde ille cum plurimus redditus esset, vento violento in sublime actus, eo loci ubi ille

C conquievit, decciderit : fortasse autem et Deus illum ita in sublimi aere jactatum, in ea loca quæ pœna coercenda erant, conjecit. Terræ quem diximus motu ita ingruente, imperator Leo sibi metuens, circa sanctum Mamantem tabernacula posuit, ad sex menses ab urbe ingredienda abstinens, eoque modo se divinam iram dechinaturum existimans.

CAPUT XXI.

De Constantinopolitano incendio.

Tum quoque maximum incendium Constantinopoli grassatum est, quod illi majorem quam terræ motus intulit cladem. Initium sumpsit in parte maritima, quam Bosporum seu Bovis transitum, incolæ nominant : cum perniciosus quidam dæmon lucubrationum horis mulierculæ victum labore manuum quærenti assimilitatus, lucernam ad rerum omnium venalium forum, salsamentorum aliquid empturus, sive etiam mulier vere exitioso dæmone agitata illa fuerit (nam dicere id non possim : utrumque sane fertur), detulisset. Lucerna igitur alicubi posita est, et mulier ipsa abiit. Ignis autem nescio unde stuppa correpta, ingentem provolvit flammam, et ædificium id illico consumpsit, atque inde ad vicina serpens circumquaque quam facillime proxima tecta depastus est : nec illæ tantum quæ facile ignem concipiunt ædes, verum etiam quæ e lapide secto amplitudine et altitudine ingenti constructæ erant domus, confla-

grarunt. Incendium id libere, in quæcunque incidisset, ædificia consumens, in quartum usque duravit diem. **621** Adhibita quidem est adversus ignem omnis generis defensio, sed vis ejus illam modis omnibus superavit, adeo ut media pars urbis omnis, a Septentrione austrum versus, prorsus conflagrarit, in longitudinem quinque, in latitudinem vero decem et quatuor stadiorum spatio, neque quidquam in medio de publicis privatisque porticibus et ædificiis relictum est. Columnæ quoque et durorum natura lapidum materia, perinde atque sarmenta quædam, quæ facile accenduntur, arserunt. Clades ea ex parte boreali, ubi etiam navale urbis est, a Bosporo seu bovis transitu, ipso ad vetus usque fanum, quod ab Apolline cognomen habuit, ex australi vero regione a Juliani portu usque ad præclarum ædificium templi ejus, quod Concordiæ dicitur, processit. Medius inter hæc locus a Constantini foro usque ad id quod Tauri forum dicitur, fuit. Itaque quæ inter ea quæ diximus in medio fuere ædificia, deforme et miserandum facta sunt spectaculum. Quæcunque enim ad sublimem amplitudinem et formam exstructa, et ad incomparabilem exornata magnificentiam, maximo commodo publica et privata ædificia fuerant, omnia simul subito in acervos et hiatus vastos et invios redacta sunt, varii generis materia in cumulum unum congesta, et priore facie rerum adeo mutata, ut neque ædium ipsarum incolæ quid fuerit, quove loco quævis prius opera steterint, discernere potuerint.

CAPUT XXII.

De sancto Marciano, Magnæ ecclesiæ Constantinopolitanæ œconomo, et de sancto Daniele Stylite, aliisque qui tum monastica vita insignes fuerunt.

Corripuit quoque incendium id sanctæ Resurrectionis templum, quod Marcianus, celebris vir, sumptibus suis erexit : et item sanctæ Pacis delubrum, ad mare situm. Eo enim tempore præclarus vir iste claruit, operibus novis enitens, humanitateque et misericordia maxime insignis, et qui virtute eo processerit, ut etiam mortuos excitarit. Sed alia quoque is templa præclara et magnifica Deo construxit. Tum porro ignis carpere jam sanctæ Resurrectionis templum instituerat, sed ei ille obstaculo fuit. Cum enim jam flamma serpens ecclesiæ appropinquaret, accepto in manus sacro Evangelio, per tegulas in tectum conscendit, precibusque et lacrymis Deum imploravit. **622** Ignis autem, ad eum accedens, veluti virum sanctum reveritus, atque in sublime sublatus, et in fornicis speciem admodum incurvatus, ædem eam intactam prorsus relinquens transilivit. Cum hæc eo tempore Daniel quoque floreret, qui ad Transitum perquam diu stationem super columna pertulit. Is ex Symeonis Mandra prodiit, cujus precibus et cohortat quibus adjutus, eximia subiit certamina, et pietatis exercitium supra naturæ captum, προστυχόντα ἐπιχωρίασεν, ὑφιστάμενον μὲν καὶ πᾶσαν ἄμυναν, ὑπέρτερον δὲ παντοίως δεικνύμενον, ὡς τὸ μεσαίτατον ἅπαν τῆς πόλεως, ἀπὸ τοῦ ἀρκτῴου κλίματος ἄχρι δὴ καὶ τοῦ νοτίου παντάπασι διαπανηθῆναι, τὸ μὲν μῆκος ἐπὶ στάδια πέντε, τὸ γε μὴν πλάτος ἐπὶ δέκα καὶ τέσσαρα· ὡς μή τι μεταξὺ καταλειφθῆναι, τῶν τε δημοσίων καὶ ἰδιωτικῶν στοῶν τε καὶ οἰκοδομημάτων· ἀλλὰ καὶ κίονας, καὶ τὴν ἄγαν ἀπεσκληκυῖαν τῶν λίθων φύσιν καὶ ὕλην, ὥσπερ τι φρυγανώδες καὶ εὐέξαπτον διαπανῆσαι. Προελθεῖν δὲ τὸ κακὸν ἀπὸ μὲν τοῦ βορείου μέρους, ἔνθα καὶ τὰ νεώρια τῇ πόλει εἰσὶν, ἐκ τοῦ καλουμένου πόρου Βοὸς ἄχρι τοῦ παλαιοῦ ἱεροῦ, ὃ Ἀπόλλωνος ἐπώνυμον εἶχεν· ἀπὸ δὲ νοτίου κλίματος ἀπὸ τοῦ Ἰουλιανείου λιμένος ἄχρι δὴ καὶ τῶν περιφανῶν οἰκιῶν, τοῦ τῆς Ὁμονοίας ἐπικεκλημένου νεώ. Τὸ δέ γε μέσον τούτων ἦν ἀπὸ τοῦ φόρου Κωνσταντίνου ἄχρι δὴ καὶ τῆς ἀγορᾶς ἡ τοῦ Ταύρου καλεῖται. Ὅσα γοῦν ἐν μέσῳ τῶν εἰρημένων, εἰδεχθές τι καὶ οἰκτρότατον καθίστατο θέαμα. Καὶ γὰρ ὅσα πρὸς μετέωρον ἦσαν κάλλος καὶ μέγεθος, καὶ εἰς ἀπαράβλητον ἐξησκημένα πρὸς τὸ μεγαλοπρεπέστερον, κοινά τε καὶ ἴδια χρείαν τὴν μεγίστην ἀποπληροῦντα, ἀθρόα πάντα εἰς τε ὄρη καὶ βουνοὺς δυσπόρους ἐσχιδιάζετο, ὕλης παντοίας ἐς ταυτὸ συμπεφορημένης τῆς προτέρας ὄψεως ἐς τόσον ἠλλοιωμένης, ὡς μηδ' ἱκανῶς τοὺς οἰκήτορας διακρίνειν ἔχειν, τί τε ἦν, καὶ ὅπη ἕκαστα τῶν πρώην ἔργων ἑστῶτα ἐτύγχανον.

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τοῦ ἁγίου Μαρκιανοῦ τοῦ οἰκονόμου τῆς Μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ τοῦ ἁγίου Δανιὴλ τοῦ Στυλίτου, καὶ ἄλλων ἀσκήσει διαπρεψάντων.

Συνεπελάβετο δὲ τὸ πῦρ καὶ τοῦ οἴκου τῆς ἁγίας Ἀναστάσεως, ὃν Μαρκιανὸς ὁ ἀοίδιμος ἰδίοις ἀνήγειρεν ἀναλώμασι, καὶ τῆς ἁγίας Εἰρήνης τῆς πρὸς θάλασσαν. Τηνικαῦτα γὰρ ὁ ἀοίδιμος οὗτος διέλαμπεν, ἔργοις καινοῖς διαπρέπων, φιλανθρωπίᾳ δὲ τὰ μάλιστα γνωριζόμενος, καὶ ἐπὶ τόσον ἀρετῆς ἦκεν, ὡς καὶ νεκροὺς ἀνιστᾷν. Πολλοὺς δὲ καὶ ἄλλου; ἀνεγείρει οἴκους Θεῷ, περιφανείς τε ἅμα καὶ μεγαλοπρεπεῖς. Τὸν δὲ τῆς ἁγίας Ἀναστάσεως τηνικαῦτα τὸ πῦρ λαφύσσειν αἰρούμενον, ἐμποδὼν ἐκεῖνον γενέσθαι. Ἐπεὶ γὰρ ἤδη ἐγειτόνει ἕρπον τὸ πῦρ, τὸ ἱερὸν Εὐαγγέλιον μετὰ χεῖρας λαβών, ἀνῆει διὰ τῶν κεράμων ἐπὶ τὴν ὀροφὴν τοῦ νεώ, εὐχαῖς καὶ δάκρυσιν ἱλεούμενος τὸν Θεόν. Πελάτην δὲ τὸ πῦρ, ὥσπερ εὐσχημόνως τὸν ὅσιον αἰδεσθὲν, εἰς ὕψος ἀρθὲν, καὶ ἀψίδος δίκην ἐς πολὺ κυρτωθὲν, ὑπερέπτη τὸν δόμον ἄφλεκτον παντάπασι καταλελοιπός. Τηνικαῦτα δὲ τούτῳ συνήκμαζε καὶ Δανιὴλ πρὸς τῷ ἀνάπλῳ τὴν ἐπὶ κίονος στάσιν ἐς πολὺ διαθλεύσας τοῦ χρόνου· ἀπὸ τῆς τοῦ Συμεῶνος ὁρμηθεὶς μάνδρας, καὶ τῶν ἐκείνου εὐχῶν καὶ προτροπῆς μεταοχών. Ὅπου δὴ γεννικοὺς ὑποστὰς ἀγῶνας, καὶ ἄσκησιν ὑπερφυῆ διανύσας, ἐμέσῳ τῷ [illegible] χιών-

μενος, πρὸς τοῦ ἀγωνοθέτου καὶ ὑπερβολαῖς δόξης ἀνεκηρύχθη, κατά τε τῶν ἀλαστόρων δαιμόνων καὶ νόσων παντοίων ἰσχὺν εἰληφώς· ἐφ' ᾧ καὶ πολλάκις ἐν εὐτελεῖ σχήματι ἐλθὼν ὁ κρατῶν, καταπληκτος ἦν, εὐλογίας τε ἥτει, καὶ τῶν ἐκείνου μετεῖχεν εὐχῶν. Φιλοτιμούμενος δὲ, καὶ οἰκοδομὰς ἀνίστη περὶ τὸν στῦλον μεγαλοπρεπεῖς· καὶ ναόν τε καὶ καταγώγιον περὶ τὸν ὅσιον μονασταῖς ἥδρασέ τε καὶ ἀνύψου τὸν κίονα, καὶ πάντα ἦν τῷ ὁσίῳ γινόμενος. Τῷ δ' ἐμπρησμῷ τούτῳ τοῦ στύλου κατιόν, ἐπίβη τῇ πόλει· καὶ τῇ παρουσίᾳ ἐκείνου ἐλώφα τὸ πῦρ, καὶ αὐτίκα ἐσβέννυτο. Καὶ ἐπὶ Βασιλίσκου δὲ τὴν θρησκείαν παρατρέποντος, ὡς τὴν ἐν Χαλκηδόνι σύνοδον ἀθετοῦντος, ζήλῳ χρησάμενος αὖθις κατῆει· καὶ Ἀκακίῳ τῇ Κωνσταντίνου συνεκκλησίαζε· καὶ τὸ μοναχικὸν ἅπαν λαβὼν σὺν τῷ πλήθει πρὸς Βασιλίσκον ἦκε, καὶ μετὰ παῤῥησίας πολλῆς τῷ βασιλεῖ διειλέχθη. Τὰ ἴσα δὲ τούτῳ καὶ ὁ ἀσκητικώτατος ἐποίει Ὀλύμπιος. Διέλαμπέ γε τηνικαῦτα καὶ Αὐξέντιος ἀπὸ σχολαρίων τὸν ἄσκευον μετιὼν βίον τῷ καταντικρὺ Βυζαντίου ὄρει, ἤπερ μοι προείρηται· ὃς κατιὼν, τῇ συνόδῳ παρέβαλλε, καὶ τὰ μεγάλα τῷ ὁρθῷ συνήρατο δόγματι. Ἐν δὲ τοῖς περιωνύμοις ἦσαν τῶν ἀσκητῶν ὅ τε Βαραδᾶτος καλούμενος, καὶ Ἰάκωβος ὁ Νισιβηνός. Ὅπως δὲ ἦν ἀγωγῇ ἐναρέτῳ χρώμενος, ἔδειξεν οἷς ἔπραξε περὶ τὰς πυνθάνας ἐν τῇ πηγῇ Ἑλληνίδας κόρας· αἵτινες ἀπειθήσασαί τι, ἐπὶ τῷ ῥήματι Ἰακώβου ἐπολιώθησαν. Σηρὰ δ' αὖθις καὶ ἡ πηγὴ ἀνεδείχθη, ἣν εὐξάμενος, αὖθις ῥεῖν παρεσκεύαζε, τὰς μέντοι κόρας διὰ βίου πεπολιῶσθαι κατέλιπεν. Εἶδέναι μέντοι χρεών, ὡς οὐχ οὗτος ἐκεῖνος Ἰάκωβος ὁ ἀντιγράψας πρὸς τὰ ἐγκύκλια· ἐκεῖνος γὰρ ἐν τοῖς Κωνσταντίου ἦν χρόνοις. Οὗτος δ' ἐν τῷ νῦν χρόνῳ διέλαμπε, μέγας ἐν θαύμασι καὶ τέρασιν ἐξεισίοις γενόμενος, ὥς φησι Θεοδώρητος ἐν τῇ *Φιλοθέῳ* αὐτοῦ *Ἱστορίᾳ*· ᾧ καὶ λάρνακα πρὸς ταφὴν ἡτοίμασε Θεοδώρητος. Συνέβη δὲ προτετελευτηκέναι τὸν Θεοδώρητον· πλὴν καὶ οὕτως ἐν αὐτῇ ἐτέθη ὁ μέγας Ἰάκωβος. Τὸν δὲ προῤῥηθέντα Μαρκιανὸν Γεννάδιος ὁ τῆς Κωνσταντίνου οἰκονόμων τῆς ἐκκλησίας ἐχειροτόνει, τῆς τῶν Καθαρῶν ὄντα θρησκείας τὸ πρότερον, εἰς τὴν Ἐκκλησίαν μετελθόντα· ὃς ἅμα τῷ γενέσθαι οἰκονόμος, τὰ ἐν ἑκάστῃ τῶν ἐκκλησιῶν προσφερόμενα διατύπου τοὺς κατὰ τόπους κληρικοὺς ἀποφέρεσθαι, ἄχρις ἐκείνου πάντα τῆς καθόλου Ἐκκλησίας κομιζομένης· ὅτε καὶ Λέων πρῶτος ἐνομοθέτει τὴν κυρίαν τῶν ἡμερῶν πᾶσιν ἀργεῖσθαι, ἄπρακτόν τε εἶναι καὶ ἀδασμίαν, ὡς καὶ τοῖς θείοις ἀποστόλοις δόκει, τούς τ' ἐν κλήροις κατειλεγμένους παρὰ μόνῳ τῷ τῶν πραιτωρίων ἐπάρχῳ κρίνεσθαι.

Borea continue expositus, peregit : quapropter etiam ab agonotheta sive certaminis numeratore ingenti gloria est condecoratus, a quo exitiosorum dæmonum expulsionem et variorum morborum sanationem accepit. Ad quem sæpe etiam in tenui habitu veniens imperator obstupuit, benedictionemque ab eo et communionem precum petiit. Perliberaliter quoque magnifica prope columnam construxit ædificia, templum item et domicilium circa virum sanctum monachorum statuit, et columnam ipsam extulit, omniaque adeo viro sancto factus est. Incendii ejus tempore, Daniel ex columna tandem digressus, in urbem venit, atque in ejus præsentia ignis confestim exstinctus conquievit. Sub Basilisco vero, qui a religione excidit, et Chalcedonensem synodum contempsit, ardore inde ductus rursum descendit, et cum Acacio Constantinopolitano antistite ecclesiasticos conventus egit, monachorumque ordine omni cum multitudine ipsa plebis assumpto Basiliscum adiit, et cum eo liberrime collocutus est. Idem fecit ascetarum præstantissimus Olympius. Tum quoque viguit Auxentius exscholaris (1), vitam nudam in monte eo qui ex adverso Constantinopoli situs est, sicuti antea dixi, monachus agens. Qui inde descendens, synodo affuit, et plurimum momenti recto dogmati attulit. Inter monachos clari etiam maxime fuere Varadatus et Jacobus Nisibenus : cujus quam egregium vitæ institutum fuerit, satis declarat miraculum quod in puellis Græcam superstitionem sectantibus, dum in fonte lavarent, edidit. Quæ quod dicto Jacobi audientes non essent, canuerunt : et fons statim exsiccatus est, quem quidem ille precatus undis replevit, puellas autem canas per vitam omnem reliquit. Illud scire convenit, non hunc esse Jacobum illum, qui adversus circulares litteras scripsit : nam is Constantii temporibus fuit : iste autem temporibus hisce viguit, prodigiis et miraculis præcipuis spectatus, sicuti Theodoretus in Dei amantium Historia inquit. Cui etiam arcam sepulcralem fieri idem Theodoretus curavit. Accidit autem ut prior moreretur Theodoretus : verumtamen sic quoque magnus Jacobus in ea est conditus. Marcianum, quem diximus, Geanadius Constantinopolitanus ecclesiæ œconomum et dispensatorem legit, cum ex Catharorum sive Purorum hæresi ad Ecclesiam transiisset, qui cum id munus obiret, quæ in ecclesia quaque muneris loco offerrentur, ea ut loci cujusque clerici ferrent, constituit, cum ad id tempus Ecclesia universalis dona ejuscemodi omnia tulisset. Quo tempore primus etiam Leo constitutione lata, ut dies Dominicus ab omnibus absque labore omni per otium transigeretur, festusque et venerabilis esset, quemadmodum et divis apostolis visum est, præcepit. Constituit quoque (2), ut qui in cleri ordinem lecti essent, a solo præfecto prætorio judicarentur.

(1) Scholares in sacro palatio militantes dicebantur, sicuti et pars eorum domestici scholæ. Nam militantium quoque schola est. Hinc rubrica est *De privilegiis scholarum*. C. lib. XII. Et exscholaris, qui militare in aula desiit : sicut exrex, exconsul, exquæstor, etc., dicitur.

(2) L. *omnes judices*. L. *Dies festos*. C. De fer.

CAPUT XXIII.

De Gennadii patriarchæ virtutibus, et de rebus quæ temporibus ejus præter opinionem et fidem acciderunt admirandis.

Gennadio isto episcopatum gerente pictor quidam Servatorem habitu et forma Jovis pingere ausus, facinoris ejus mercedem tulit. Nam manus ejus exaruit : quam, cum ille crimen id publice confiteretur, Gennadius restituit. Illud vero notandum, verius esse, Servatorem nostrum capillum molliter infl xum et subcrispum, cumque minus densum habuisse, sicut in historiis colligitur. Gennadius iste ad Eleutherium martyrem, de clerico illius quodam, quem ut dissolute viventem criminabatur, epistolam dedit verbis hisce compositam : « Sancte martyr Dei Eleutheri, miles tuus incompositam B degit vitam : quapropter aut tibi ille corrigendus, aut tu ab Ecclesia rejiciendus es. » Et clericus ille statim mortuus est. Hem Gennadius nullum ordinavit, qui non prius psalterium sedulo in ore habuisset. In episcopatu hujus, Studius quidam, **624** vir præclarus, Roma Constantinopolim pervenit, et divo Præcursori templum erexit, in quod monachos ex domicilio eorum qui ἀκοίμητοι, hoc est, insomnes dicuntur, induxit. Horum domicilium Marcellus divinissimus construxerat, in quo perpetuis carminibus nunquam non hymni Deo canerentur, sodalitate monachorum eam ob rem in tres cœtus divisa. In ea mandra Joannes quoque Calybites monachum egit. Ea tempestate Timocles etiam et Anthimus Troparionum (1) poetæ floruere, qui suas uterque sodalitates habuere. Et qui Chalcedonensis synodi decreta comprobabant, Anthimi conventus frequentabant, qui etiam pervigilium inter eos instituit. Atqui hostili erga eum erant animo, Timoclem sequebantur. Admirandum etiam quidquam aliud, quod Gennadio accidit exponam. Cum enim noctu ad sanctissacrificii altare astaret, et preces ad Deum pro mundo funderet, spectrum quoddam dæmoniacum visum est : quod crucis signo ab eo repulsum, humana voce ita illi respondet : Illo quidem vivo, secessurum atque quieturum, postea vero modis omnibus Ecclesiam perturbaturum. Quod Gennadius metuens, postquam Deum plurimum deprecatus fuisset, ex hac D vita migravit. Et Acacius orphanotrophus, seu pupillorum curator, thronum recepit. Tum quoque evenit, ut duo episcopi, quorum alter rabie Arii infectus, a dicendi et disputandi arte instructissimus, alter virtute, religione et recta fide ornatissimus erat, de doctrina religionis concertarent. Porro orthodoxo et recte sentienti visum est, verborum contentione relicta, ad rem ipsam descendere, et veritatem explorare; videlicet ut rogo ingenti accenso, se in ignem conjicerent. Quod ubi Arianus detrectavit, orthodoxus igni se commisit, atque inde cum impio sermonem conferens dispu-

(1) Tropes etiam nunc homines nostri dicunt.

ΚΕΦΑΛ. ΚΓ'.

A

Περὶ τῆς ἀρετῆς Γενναδίου τοῦ πατριάρχου, καὶ τῶν παραδόξως ἐν ταῖς ἡμέραις αὐτοῦ γενομένων.

Τούτου δὴ τοῦ Γενναδίου ἱεραρχοῦντος, καί τις ζωγράφος ἐπὶ σχήματι Διὸς τὸν Σωτῆρα γράψαι τολμήσας, ἀντιμισθίαν τῆς πράξεως, τὸ ξηρὰν αὐχῆσαι τὴν χεῖρα ἐκτήσατο· ὃν τὸ ἔγκλημα παῤῥησίᾳ ὁμολογήσαντα, εὐχῇ Γεννάδιος ἐξ'άτο. Χρεὼν μέντοι εἰδέναι, ὅτι ἐπὶ τοῦ Σωτῆρος τὸ οὖλον μᾶλλον καὶ ὀλιγότριχον ἀληθέστερόν ἐστιν, ὡς ἐκ τῶν ἱστορούντων διέγνωμεν. Οὗτος δὴ ὁ Γεννάδιος Ἐλευθερίῳ τῷ μάρτυρι ἐπιστολὴν ἔγραφε, τῶν τινα ἐκείνου κληρικῶν ἀτάκτως βιοῦντα ἐπεγκαλῶν, γράφει οὕτως· « Ἄγιε μάρτυς Θεοῦ Ἐλευθέριε, ὁ σὸς στρατιώτης ἀτάκτως διανύει τὸ ζῆν. Ἢ διορθοῦν αὐτὸν, ἢ ἐκκόπτειν σε δεῖ. » Ὁ δὲ κληρικὸς εὐθὺς ἐτελεύτα. Ὁ αὐτὸς δὲ οὐδένα ἐχειροτόνει Γεννάδιος, μὴ τὸ Ψαλτήριον πρότερον διὰ στόματος φέροντα. Τούτου δ' ἐπὶ τὸν θρόνον ὄντος, καὶ Στούδιός τις περιφανὴς ἀνὴρ ἐκ Ῥώμης ἦκων, τὸν τοῦ Προδρόμου ἀνεγείρει νεὼν, μοναχοὺς ἐκ τῆς τῶν Ἀκοιμήτων μονῆς ἐκεῖσε ἐγκαταστήσας. Ἦν Μάρκελλος ὁ θειότατος ἡγεῖτο, ἀτίγητον τὸν ὕμνον παρασκευάσας θεῷ ἀναπέμπεσθαι, εἰς τρία μέρη τὴν ποίμνην διανειμάμενος. Ἐφ' ᾗ δὴ μάνδρᾳ καὶ Ἰωάννης ὁ Καλυβίτης τὰ μοναχῶν ἐτελέσθη. Τότε καὶ Τιμοκλῆς τε καὶ Ἄνθιμος οἱ τῶν Τροπαρίων ἦκμαζον ποιηταὶ, κατὰ φατρίας διῃρημένοι. Ἀλλ' ὅσοι μὲν τοῖς ὅρασι τῇ ἐν Χαλκηδόνι συνόδῳ προσέκειντο, παρὰ τῷ Ἀνθίμῳ C συνήγοντο, ὃς πρῶτος καὶ τὰς παννυχίδας ἐπενόησε γίνεσθαι· ὅσοι δ' ἐχθρωδῶς ἐκείνῳ ἐφέροντο, μᾶλλον προσέκειντο Τιμοκλεῖ. Καὶ ἄλλο δέ τι παράδοξον ἐπὶ Γενναδίου γενόμενον διηγήσομαι· νυκτὸς γὰρ κατὰ πρόσωπον τῷ Θυσιαστηρίῳ ἑστῶτος, καὶ προσευχῇ δυσωποῦντος ὑπὲρ τοῦ κόσμου Θεὸν, φάσμα τι δαιμόνιον ἐποφθῆναι· ὃ τῷ σταυρικῷ τύπῳ ἀποτρεπόμενον, ἀποκρίνασθαι ταῦτα ἀνθρωπίνῃ φωνῇ· Ὡς αὐτοῦ μὲν ζῶντος, ἐνδίδωσί τε καὶ ὑποστέλλεται· ἐς ὕστερον δὲ λυμανεῖσθαι πάντως τὴν Ἐκκλησίαν. Ὁ δείσας Γεννάδιος, πλεῖστα λιπαρήσας Θεὸν, πρὸς τὴν ἐκεῖθεν μετέβαινε βιοτήν. Καὶ Ἀκάκιος ὁ ὀρφανοτρόφος τὸν Θρόνον ἐλάμβανε. Δύο δ' ἐπισκόπων, ὧν ὁ μὲν τῆς Ἀρείου λύσσης ἦν διαλεκτικὸς ἐς τὰ μάλιστα, ὁ δὲ ἀρετῇ καὶ εὐλαβείᾳ σὺν τῇ ὀρθοδόξῳ πίστει κοσμούμενος· τούτων οὖν περὶ τῆς θρησκείας ἀμφισβητούντων, τῷ ὀρθοδόξῳ ἐδόκει ἀφεμένους τῶν λόγων, ἔργοις τἀληθὲς πειρᾶσθαι γνωρίζειν· καὶ μεγάλης ἀναφθείσης πυρᾶς, ἔνδον ἑαυτοὺς εἰσωθεῖν. Παραιτουμένου δὲ τοῦ Ἀρειανοῦ, τὸν ὀρθόδοξον εἰσδραμόντα τὸ πῦρ, ἐκεῖθεν τῷ δυσσεβεῖ τὰ τοῦ διαλόγου ποιεῖσθαι, ἄχρι καὶ τῶν ἱματίων ἀπαθῆ διαμείναντα. Καί τινα δὲ Ἰουδαῖον ἀρχισυνάγωγον ἄλοντα σὺν δυσὶ μειρακίοις, ταραχῆς γενομένης, οἱάπερ αἴτιον, ἀπηνῶς ὁ ὑπατικὸς ἠκίζετο, πολλῶν παρόντων τοῖς πραττομένοις. Πολλαῖς δὲ βασάνοις ἐξετασθεὶς, ἄλλο γε οὐδὲν ἐπεβόα, ἀλλ' ἢ, « Ὁ Θεὸς

τοῦ ἁγίου Σεργίου, βοήθει μοι, ἅγιε Σέργιε, σὺ οἶδας.» Ὑποκρίνεσθαι δὲ τὸν Ἑβραῖον ταῦτα οἰόμενοι, πυρὶ κατεδίκαζον τὸ προῤῥηθὲν ἐπιλέγοντα. Ἐν μέσῳ δὲ τῷ πυρὶ δύο τινὲς ἐφίπποι φαιδρὰς ἡμφιεσμένοι στολὰς ἀναφανέντες, ἐπὶ πολλαῖς ὥραις ἀσινῆ τοῦ πυρὸς διετήρουν. Εἰσῆραμλν δὲ τὸ πλῆθος, ἀνάρπαστον ἦγε. Καὶ ὁ μὲν τοῦ λοιποῦ βαπτισθεὶς Σέργιος ὠνομάζετο· φωτισθεὶς δὲ καὶ τὸν νοῦν, τὸ περιὸν τῆς οὐσίας ἀπεμπολήσας, ναὸν μέγιστον ἐπὶ τῇ πυρᾷ αὐτῷ τῷ μάρτυρι Σεργίῳ ἀνίστα· καὶ τὴν κεφαλὴν ἀποθρίξας, ἐν αὐτῷ τὸ λεῖπον τοῦ ζῆν ἦνυε, μεγάλως εὐαρεστήσας Θεῷ. Ἐπίσης δὲ αὐτῷ ἐποίει καὶ τὰ μειράκια, εἰς Σέργιον καὶ Βάκχον τὰ κλήσεις ἀμείψαντα. Καὶ περὶ μὲν τούτων οὕτως.

A tavit, salvusque etiam vestibus intactis permansit. Archisynagogus quoque inter Judæos quidam cum pueris duobus in tumultu concitato, perinde atque is auctor ejus fuisset, correptus, crudeliter a viro consulari excruciatus est, multis hominibus præsentibus. Is autem inter tormenta varia illud tantum vociferatus est : « O Deus sancti Sergii, adjuva me. Sancte Sergi, tu nosti. » Judices porro fingere et assimulare hæc Hebræum putantes, ad ignem, ut vivus combureretur, qui verba ea protulisset, condemnarunt. **625** Et ecce in media flamma equites duo candidis induti stolis apparentes, horis multis illum ab igne intactum conservarunt : et multitudo in flammam insiliens, hominem inde eripuit. Qui deinde baptizatus, Sergius nominatus est : atque ille non minus mente quoque illuminatus, substantia sua, quam multam habuit, vendita, in pyræ ejus loco amplissimum Sergii martyri templum exstruxit : ubi capite raso reliquam, juxta Dei beneplacitum, exegit vitam. Idem duo ejus fecere pueri, nominibus suis in Sergii et Bacchi nomen mutatis. De his hactenus.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου, ὡς ἐξ Ἱεροσολύμων ἀναχομισθεῖσα ἐν τῷ τῶν Βλαχερνῶν στρογγύλῳ ἀπετέθη ναῷ.

CAPUT XXIV.

De veneranda sanctissimæ Dei Genitricis veste, ut ea Hierosolymis allata, in rotundo atque acuminato templo, cujus nomen est Blachernæ, sit reposita.

Ἐπὶ δὲ τῆς αὐτῆς ἡγεμονίας τοῦ Λέοντος καὶ ἡ τῆς παναγίου Μητρὸς τιμία ἐσθὴς εἰς τὴν Κωνσταντίνου εἰσήχθη τρόπῳ τοιῷδε. Ταύτην, ὡς ἔφημεν, ἡ τοῦ Θεοῦ μήτηρ μεταχωροῦσα πρὸς τὸν Υἱὸν, Ἑβραΐδι γυναικὶ παρθένῳ οὔσῃ κατέλιπεν· ἡ δὴ ἐκ διαδοχῆς ἐς ἐκεῖνο καιροῦ ἄφθορος διαμεμένηκει, πολλὰ τῶν παραδόξων διαπραττομένη. Κανδίδου δὲ καὶ Γαλβίου τῶν αὐταδέλφων ἐν πατρικίοις κατειλεγμένων, τὴν εἰς Ἱεροσόλυμα στειλαμένων, ἐπεὶ πάντα περιερχόμενοι καὶ κατασπαζόμενοι, καὶ ἐς τὰ τῆς Γαλιλαίας μέρη κατήντησαν, καὶ τὸν θησαυρὸν τουτονὶ εὑρηκότες παρά τινι Ἑβραΐδι τηρούμενον, σπουδὴν ἐποιοῦντο τοῦτον ἀφελέσθαι. Καὶ τὰ Ἱεροσόλυμα περιελθόντες, καὶ πάντα ἅγιον ἀσπασάμενοι τόπον, σορὸν τεκτηνάμενοι ἴσην τῷ τε μήκει καὶ πλάτει ᾗ ἡ θεία ἐσθὴς τῆς Θεομήτορος ἐναπέκειτο, ἐν τῷ ἐπανιέναι, ταύτην μὲν κενὴν οὖσαν, ἐπὶ σχήματος ἔθεντο, τῷ συνήθει πέπλῳ ἐπικαλύψαντες· ἐκείνην δὲ μετὰ τοῦ ἱεροῦ καὶ θείου ἐνδύματος ὑφελόμενοι, οἱ ποδῶν εἶχον, εἰς τὴν Κωνσταντίνου ἀνέτρεχον· καὶ ἐν τῷ προαστείῳ σφῶν ᾧ Βλαχέρναι ἦν ὄνομα, κατετίθεντο, τὸν θεῖον θησαυρὸν πειρώμενοι κρύπτειν. Ἐπεὶ δ' ἀδυνάτως ἐφέρεσαν ἐπιχειρεῖν, καὶ ἄκοντες βασιλεῖ κατεμήνυον. Ὁ δ' ἀῤῥήτου πλησθεὶς εἰς ἡδονῆς, σφαιροειδῆ κατασκευάσας νεὼν ἔνθα συνέβαινε κρύπτεσθαι, σεβασμίως τὴν θείαν καὶ ἱερὰν σορὸν κατετίθετο, ἔνθα νῦν καὶ ἡ τιμία ἐσθὴς ἐστὶν ἀσινὴς διατηρουμένη, ἀκαταγώνιστον φυλακτήριον τῇ πόλει ἐσαεὶ διαμένουσα, νόσων παντοίων ἐλατήρια, νικῶσα τὴν τοῦ χρόνου φύσιν τῇ καινοτομίᾳ τῶν ἐπ' αὐτῇ πραττομένων. Ἀλλὰ Πουλχερία μὲν ἡ ἀοίδιμος βασιλὶς τὸν μέγαν τῇ Θεομήτορι νεὼν ἐπὶ Μαρκιανοῦ ἀνιστᾷ, τὰ ἐντάφια σπάργανα ταύτης ἐκεῖσε καταθεμένη· Λέων δ' ὁ μέγας τὸν ἕτερον, τὴν τιμίαν ἐσθῆτα ταύτης περιφανῶς αὐτῷ καταθέμενος.

Eodem Leone imperante, veneranda immaculatæ Matris vestis Constantinopolim hoc modo perlata est. Hanc, sicuti diximus, mater Dei ad Filium migrans, mulieri Hebrææ quæ virgo erat, reliquit, quæ etiam usque ad illud ipsum tempus ex successione incorrupta permansit, et multa miracula edidit. Postquam autem Candidus et Galbius germani fratres patricia dignitate præditi, Hierosolyma profecti, omnia ibi loca perlustrarunt et exosculati sunt, atque inde etiam in Galilææ partes venerunt, et thesaurum hunc apud Judæam quamdam asservatum repererunt, consilium ejus auferendi ceperunt. Et Hierosolymorum urbe peragrata, et sancto quoque loco salutato, ex Palæstina discessuri, arcam eadem longitudine et latitudine qua illa erat, in qua divina Dei matris vestis reposita erat, fieri curarunt : eamque vacuam, solito ornamento coopertam, per fraudem in loco suo deposuerunt : alteram autem illam cum sacrosancta veste receperunt, et cum ea quam celerrime Constantinopolim recurrerunt, in suburbana regione, cui Blachernæ nomen erat, occultare divinum thesaurum volentes. Quandoquidem vero rem tentare quæ fieri nequiret visi sunt, ingrati etiam eam ad imperatorem retulere. Atque ille incredibili elatus voluptate, rotundo in eo loco ubi asservabatur constructo templo, **626** cum magna veneratione sacram arcam in eo collocavit : ubi nunc quoque veneranda illa vestis integra servatur, veluti invictum perpetuumque urbis præsidium, quæ varios repellit morbos, et novitate miraculorum quæ in ea sunt, naturam et vim temporis superat. Pulcheria quidem celebris imperatrix, ingens sub Marciano Dei Matri condidit templum, ubi sepulcrales fascias reposuit : Leo autem Magnus aliud construxit, in quo magnifice vestem illam consecravit.

CAPUT XXV.

De templo sanctissimæ Dei Genitricis ad fontem: et ut is fons admirando miraculo Leoni oblato repertus sit.

Leo iste aliud quoque templum Virgini Matri in loco qui fontis nomen habet, erexit, ubi densæ et ingentes cupressi, pratum etiam teneris refertum floribus, quasi quidam paradisus amœnus et pulcher, fons insuper pellucida et potabili aqua tacite scatens, et, ut semel dicam, quæcunque sacrum templum decerent, omnia erant. Utrumque hoc delubrum pro urbis mœnibus constructum est: alterum in Blachernis ad maris littus, alterum autem ad eas quæ dicuntur Aureæ portæ, quæ ad arcis finem sunt, ut utraque ædes inexpugnabile urbi propugnaculum esset. Abest ab urbe regio B hæc quasi stadio uno, dotes quas terra habere potest omnes obtinens, antiquitus Matri Dei consecrata. Optimum ibi est cœlum, locus ipse variis consitus arboribus, platanorum proventu plurimo et cupressorum proceritate perquam amœnus fuit. Herbam protulit mollem et copiosam, diversi generis flosculos prætendentem, toris commodam, nec minus pascuis utilem. Fons ubertim et pellucide profluens, cum loco ipsi gratiam ingentem et amœnitatem præbuit, tum pulchrum eum et conspicuum reddidit. Divina præterea gratia aquæ ipsi indita, ad miraculorum edendorum proventum efficacem eam præstitit. Intercessit tempus longum, et cœnum paulatim undæ aggestum fontem C obruit, exitumque qua unda profluere et obstruxit. Arborum etiam densitas, aditu ad fontem obstructo, cum diuturnitas insuper temporis accessisset, oblivione locum obduxit, ita ut limus uliginosus esset, et humore tantum tenui dignosceretur. **627** Verum enimvero Leo iste, cum nondum divino nutu imperiali dignitate exornatus, privatus degeret, et circa eum locum alicubi deambularet, in hominem cæcum tota via errantem incidit: et vicem ejus miseratus (erat enim vir bonus, misericors, et in rebus omnibus consideratus et providus) manu eum duxit: oculi ei vicem præstans, gressumque ejus per loca plana dirigens, si quid in itinere spinarum aut duri esset, quod incedentem offendere posset, removit. Atque ille quidem D hunc ducebat, hic autem sequebatur. Et jam itinere aliquanto confecto, prope cœnosum hunc locum venerant: cæcusque ille siti plurimum conflictebatur, et quin concideret parum aberat, ita humor omnis in eo æstu vehementissimo exaruerat. Itaque Leoni valde institit, ab eoque crebrius contendit, ut siti ejus mederetur, et viæ laborem in umbra quapiam aliquantulum recrearet. Erat hoc inenarrabilis scientiæ et sapientiæ Dei, quæ mirifice omnia instituit. Ille igitur misericordia erga pauperum motus, densam silvam omnem perlustravit, et si quis aquæ humor ibi scaturiret, scrutatus est. Ut vero post fatigationem multam infecta re ad illum rediit, et anxie admodum qui-

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου τοῦ ἐν τῇ πηγῇ, ὅπως ἐφάνη παραδόξου θαύματος ἐπὶ Λέοντος γενομένου.

Ὁ δ' αὐτὸς καὶ νεὼν ἕτερον ἐν χώρῳ ἐπιλεγομένῳ Πηγὴ ἀνετίθει τῇ Θεομήτορι· ἔνθα καὶ δάσος κυπαρίττων ἀμφιλαφὲς, ἦν, λειμὼν ἁπαλαῖς ταῖ. ἀρούραις τεθηλὼς ἄνθεσι, παράδεισος ἐφορῶν τὰ ὡραῖα, πηγὴ ἀψοφητὶ βλύζουσα γαληνὸν τὸ ὕδωρ καὶ πότιμον· ἱεροπρεπῆ ἐπιειχῶς πάντα. Ταῦτα δὲ ἄμφω τὰ ἱερὰ πρὸ τοῦ τῆς πόλεως τείχους ἵστη· τὸ μὲν ἐν Βλαχέρναις ἀρχομένῳ παρὰ τὴν τῆς θαλάσσης ᾐόνα, τὸ δὲ ἄγχιστά πη τῶν Χρυσῶν καλουμένων πυλῶν, ἃς δὴ ἀμφὶ τὸ τοῦ ἐρύματος πέρας συμβαίνει εἶναι, ὅπως δὴ ἄμφω ἀκαταγώνιστα φυλακτήρια εἶεν τῇ πόλει. Διέχει δ' ὁ χῶρος οὗτος τῆς πόλεως ὡσεὶ στάδιον ἕν, ὅση πέφυκεν ἀρετὴ γῆς κεκτημένος, ἐξ ἀρχαίου δ' ἀνειμένος τῇ Θεομήτορι. Καὶ ὁ τόπος τοῦ ἀέρος ἐν καλῷ κείμενος, δένδρεσι μὲν παντοίοις κατάφυτος, πλατάνων δὲ τὸ πλεῖστον εὐφυΐᾳ καὶ ἀναδρομῇ κυπαρίττων ὡραϊζόμενος. Πόα οὖν αὐτὸν εὐθαλὴς καὶ μαλακὴ περιέτρεχεν, ἄνθη μὲν παντοῖα προβεβλημένη, ἀποχρῶσα μὲν ἐν στιβάδι, ἀρίστη δὲ καὶ βοσκήμασιν ἐφειμένη· πηγὴ δὲ ἀψόφητον καὶ διειδοῦς νάματος ἐξεπιτηδὲς ἀνατρέχουσα, παρεῖχε μὲν τῷ τόπῳ μετὰ ῥᾳστώνης ὅσης τὸ χάριεν· εὐπρόσωπον δὲ καὶ τὸν χῶρον ἅμα καθίστα. Οὐ μὴν δὲ ἀλλὰ καὶ θεία χάρις τῷ ὕδατι ἐπιῤῥεύσασα, ἐνεργὲς αὐτίκα ἐδείκνυ καὶ πρὸς γονὰς θαυμάτων ἐῤῥωμενέστερον. Χρόνος ὁ μεταξὺ συχνὸς διεῤῥυηκώς, καὶ τῷ μὲν ὕδατι ἰλὺς κατὰ βραχὺ ἀθροισθεῖσα, τὴν πηγὴν ἀποκρύπτει, καὶ ἀρχὴν πρὸς ἀνάδοσιν ὕδατος δείκνυσιν· ἀλλὰ καὶ τὸ συνηρεφὲς τῶν δένδρων ἀναφράξαν τὴν εἴσοδον, ὑπὸ συνεργῷ τῷ μέσῳ χρόνῳ λήθῃ τὰ τοῦ τόπου δίδωσι. Καὶ ἦν ὁ τόπος ἰλὺς δὴ καὶ μόνη συνεστηκυῖα ἐπὶ νοτίδι βραχυτάτῃ γνωριζομένη. Λέων τοιγαροῦν οὗτος, πρινὴ Θεοῦ νεῦσαι τὸν βασίλειον κατακοσμῆσαι θρόνον, ἐς ἰδιώτας ἔτι τεττόμενος, ἐκεῖσέ πη διιὼν, ἀνδρὶ περιτυγχάνει πλανωμένῳ πηρῷ· καὶ τοῦτον τῆς πλάνης οἰκτίρας (ἦν δὲ ἄλλως ὁ ἀνὴρ ἀγαθὸς, καὶ τῷ συμπαθεῖ τῆς γνώμης τὸν ἐν πᾶσι σώφρονα ταμάλιστα διαγράφων), τοῦτον λαβόμενος τῆς χειρὸς, ὅσα καὶ ὁ ὀφθαλμὸς ἐγίνετο τῷ πηρῷ, δι' ὁμαλῆς ἄγων, καὶ πᾶν εἴ τι σκῶλον καὶ λυποῦν ἐκ τραχύτητος διωθούμενος. Καὶ ὁ μὲν ἠγεῖτο, ὁ δ' εἵπετο. Ὡς δὲ πολλὴν ὁδὸν ἦσαν ἐξηνυκότες, καὶ πλησίον τοῦ τέλματος γένοιντο, ἐτύγχετο μὲν ἐπὶ μᾶλλον ὁ πηρὸς τῷ δίψει, καὶ καταπίπτειν ἦν ἕτοιμος, ἅτε τοῦ ὑγροῦ σύμπαντος ἐκτακέντος τούτῳ ὑπὸ σφοδροτάτῳ τῷ καύματι. Ἐπέκειτο τοίνυν τῷ Λέοντι, καὶ συχνότερον αὐτὸν κατηνάγκαζεν ἰάσασθαι μὲν ἐκείνῳ τὸ δίψος, καὶ τὸν ἐκ τῆς ὁδοῦ κάματον βραχύ τι διαναπαῦσαι, ὑπὸ σκιάν τινα ἐφιζήσαντας· Θεοῦ δὲ ἦν ἄρα τοῦτο τῇ ἀῤῥήτου γνώσεως καὶ σοφίας, εὐμηχάνως ἅπαν καθισταμένης. Κἀκεῖνος οἴκτῳ πρὸς τὸν πένητα, τὸ βαθὺ τῆς ὕλης ἁπανταχοῦ περιῄει, εἴ που ῥανίς τις ὕδατος ἀνεσκίρτα διερευνώμενος. Ὡς δὲ πολλὰ καμὼν ὑπέστρεφεν ἄπρακτος, ἀγωνιῶν ὅτι μὴ κἂν τούτῳ τῷ

πένητι συνετέλεσεν εἰς παραμυθίαν, φωνῆς ἀῤῥήτου παρὰ δόξαν φερομένης ὑψόθεν ἀκούει, Οὐ χρεών σε, Λέον, λεγώσης, ἀγωνιᾷν· ἐγγὺς γὰρ τὸ ὕδωρ ἰδού. Ὁ δὲ τῷ ξένῳ καταπλαγεὶς τῆς φωνῆς, ἀνεζήτει πάλιν τὴν τοῦ ὕδατος εὕρεσιν. Ἀλλ' ἀτεχνῶς καὶ οὗτος τυφλὸς ἦν, περιὼν μὲν ἐκεῖνο, ἥκιστα δὲ ὁρῶν. Τό τε γὰρ τῆς ὕλης ἀπείργεν ἀμφιλαφὲς, καὶ τὸ τέλμα συνεστὼς ἐς βάθος μέγα, τὸν ἄνδρα πόρρω ἀπήλαυνεν. Ὅθεν καὶ ἀχθομένῳ ἐῴκει, εἰ ταῦτα τῷ χειραγωγουμένῳ πάσχειν ἐξῆν. Ἔνθεν τῷ νῷ συμβάλλων τὰ τῆς φωνῆς, καὶ τὸ ὕδωρ αὖθις ὅπου διερευνώμενος, πάλιν ἐν μεθέξει τῆς ἴσης φωνῆς γίνεται, ἡδύ τι καὶ ἀστεῖον ἄνωθεν ἐξηχούσης, τό τε ὄνομα αὐτῷ προστιθείσης, καὶ τὸ μέλλον ὅσον οὔπω τῆς βασιλείας αὐτῷ ἐπισφραγιζούσης ἀξίωμα· καὶ, Λέον, φησὶν οὐτωσὶ, βασιλεῦ, εἰσιὼν τὸ συνηρεφὲς τουτεὶ καὶ κατάσκιον, κἀκ τοῦ θολεροῦ τοῦδε ὕδατος ὑδρευσάμενος, καὶ τοῦ ἰλυώδους τέλματος μετὰ χεῖρας λαβὼν, ἐπίχρισον μὲν τοὺς ὀφθαλμοὺς τῷ πηρῷ, καὶ τὸ δίψος ἀκέσασθαι προθυμήθητι. Ἥτις δέ εἰμι ἐκ πολλοῦ τὸν χῶρον κληρωσαμένη, καὶ ἐπὶ τούτῳ δὴ γαννυμένη, οὐ πολλοῦ δεήσῃ γνῶναι ἐκ τοῦ αὐτίκα. Σὺ δ' ἀλλ' ὡς ἂν καὶ τὰ πρὸς οἶκόν μοι εὐτρεπίσῃς· ᾧ ἐπιμᾶλλον τὰς διατριβὰς ἔξω καὶ ἐν τοῖς περιπάτοις ἡδίους ποιήσομαι· δι' οὗ καὶ πᾶσιν αἰτουμένοις, καὶ τὸν τόπον πόθῳ καταλαμβάνουσιν ἀδιστάκτου πίστεως ἐπιμιγνυμένης, ἐπαρκέσω πάντως· καὶ οὐδέν ἐστιν ὅμοιγε ὃ ἀντιβλέψει τὸ παράπαν, καὶ μὴ θᾶττον εἴξει τῇ δυναστείᾳ· κἂν δαίμων εἴη, κἂν νόσος, ἰατρῶν ἐν δευτέρῳ γνῶσιν τιθεῖσα, κἄν τι ἄλλο τέως σὺν λόγῳ αἰτούμενον. Πεισθεὶς οὖν αὐτίκα ὁ Λέων τῇ λαλιᾷ, καὶ τοῦ πηλοῦ λαβόμενος καὶ τοῦ νάματος, ὀλιγωροῦντι καὶ τὸ πνεῦμα σβεννυμένῳ φαίνεται τῷ τυφλῷ· καὶ χρίει μὲν ἐκείνῳ τοὺς ὀφθαλμοὺς τῷ πηλῷ κατὰ τὸν ἐκ γενετῆς ἐκεῖνον τυφλόν· εἶτα καὶ τοῦ ὕδατος μετασχόντι, καὶ τοὺς ὀφθαλμοὺ, ἀνατρίψαντι, (βαθαὶ τῶν σῶν μεγαλείων, Θεογεννήτρια!) Σιλωὰμ ἐκείνῳ τὸ θολερὸν τοῦ ὕδατος καὶ ὁ πηλὸς γίνεται. Εὐθὺς γὰρ ὁρᾷ, καὶ τὸν χρόνιον ἀποτίθεται σκότον, παραδόξοις ὄμμασι τῷ ἡλίῳ ἐνατενίζων, μᾶλλον δὲ τῇ ἰλύῖ καὶ τῷ πηλῷ. Ὥσπερ γὰρ ὁ ἥλιος πρῶτον διδοὺς τῇ ὄψει τὸ φῶς, πρῶτος καὶ παρὰ ταύτης ὁρᾶται, οὕτω νῦν φωτὸς χορηγὸς γενόμενος ὁ πηλὸς, πρῶτος ὁρᾶται τῷ ἀναβλέψαντι. Καὶ τοῦτο δὴ τὸ παράδοξον· ὃ γὰρ ἐρρωμένῃ τῇ ὄψει ἐστὶ πολέμιον, τοῦτο νῦν τὴν ἕξιν ἀποβαλλομένῃ σωτήριον γίνεται.

ritaretur, quod misero illi in tali casu nihil solatii conferre posset, vocem incredibilem præter opinionem omnem ex alto ad se delatam audiit, quæ diceret : Non ita anxietate te macerari oportet, Leo, ecce aqua prope est. Proinde nova hac voce consternatus, denuo undam inquirere instituit. Sed et ipse cæcus prorsus fuit. Circum eam enim versabatur, minime tamen eam videbat : quod et silvæ densæ opacitas ei obstaret, et cœnum profundius illum inde removeret. Quapropter partim indignans, quod quem manu duxerat cæcus ærumnam eam pateretur, partim vocem eam in animo fixam considerans, et aquam rursum investigans, denuo eam ipsam exaudiit suave quiddam et facetum cœlitus sonantem vocem. Nam et de nomine eum compellavit, et imperialem dignitatem primo quoque ei tempore adventuram certo denuntiavit, ita inquiens : Leo imperator, densum hunc et umbrosum lucum ingressus, turbidam aquam hauri, eaque sitim hominis ægri refice : et limum cœnosum manibus cape, quo cæci oculos inungas. **628** Quæ vero sim, dudum hunc obtinens locum, eoque me oblectans, mox scies. Tu fac ut ædem hic mihi sacram construas, in qua identidem verser, et suaviter deambulem : in qua etiam precantibus omnibus, locumque hunc cum ardore et fide certa adeuntibus, optata præstem omnia. Neque quidquam est prorsus, quod mihi adversetur, et non continuo potestati meæ cessurum sit, etiamsi dæmon sit, aut morbus qui omnem superet medicinæ curam, aut aliud quidquam, quod factura non sim, dummodo rite pieque sit petitum. Verbis eis Leo parens, cœnum et undam ad cæcum parum id jam curantem, ut in quo spiritus prope exstinctus esset, attulit : et oculos ejus luto, non secus atque Servator illius a nativitate cæci, linivit : deinde etiam aquam præbuit, oculos attrectanti. Ecce autem majestas et magnificentia tua, o Dei Genitrix, se exhibet, et misero illi aqua turbida et lutum Siloe fit. Confestim enim visum recipit, et diuturnas abjicit tenebras, oculis præter spem omnem, solem, seu potius cœnum et lutum inspiciens. Sicuti namque sol primum, qui visui lucem primus dat, ab eo conspicitur, sic tum lutum, quod lumen illi subministrarat, primum ab eo est conspectum. Qua in re illud etiam admirandum fuit. Nam quod oculis valentibus maxime adversatur, id tum, natura et vi sua deposita, salutare est factum.

ΚΕΦΑΛ. ΚΣ'.

Ἔκφρασις τοῦ θείου ναοῦ τῆς Πηγῆς, ὃν ὁ Λέων ἀνήγειρεν.

Ἀλλ' ὁ Λέων μὲν ἐς ὕστερον κατὰ τὴν τῆς Θεομήτορος πρόῤῥησιν τῷ βασιλείῳ θρόνῳ ἐνιδρυσθείς, αὐτίκα τὴν εὐεργέτιν ἀμείβεται. Καὶ δὴ τὸν τόπον ἐκεῖνον τῆς ἰλύος ἀναχαθάρας, καὶ τῆς πηγῆς ἀναστομώσας τὴν φλέβα, ἐς πολύ τι καὶ μέγα τι βάθους ἰών, ἐκκαθαίρει μὲν αὐτῆς ἅπαν νόθον καὶ περιττόν· περικύκλῳ δὲ ταύτην ἱκανῶς διαφράξας οἰκοδομίᾳ

CAPUT XXVI.

Descriptio sacri templi, cui Fontis nomen inditum, a Leone conditi.

Leo postea, pro eo atque ei Dei Genitrix prædixerat, ad imperiale sublatus fastigium, statim pro tanto illius in se beneficio ei gratiam rependit. Et loco eo repurgato, et fontis vena altissime investigata et restituta, quidquid erat cœni et terræ aggestæ ejiciendum curavit : et fonte ipso circumquaque structura solida probe munito, delubrum

Dei Matri construxit, et ædificium ipsum supra fontem statuit. Structura ita comparata est, ut non minus ædificii subter terram sit, quam super terram emineat. Nam judicio meo ex ipsius terræ fundamentis excitata est, et in quadrangulum ita coagmentata, ut eam formam ædi sacræ præstet, qua aliquatenus longitudo latitudinem superet, et longitudini quæ assis rationem habeat, latitudo quadrantis proportione respondeat. **629** Sed ædificii muri sub terra nihil habent varietatis : quamprimum autem supra terram eminent, statim variant. Nam in quatuor porticus conformantur, quarum duæ, contra orientem altera, et occidentem solem altera, in vacuum aerem sublimes feruntur : alteræ duæ utrinque proximis suffultæ parietibus conjunguntur, eisque incumbunt. E superiore parte structura quædam apsidum et arcuum molliter ædem ipsam attollens circumit, et porticibus quibusdam æquis inter se spatiis distantibus fulcitur, quæ spatia veluti intercolumnia luminis immittendi gratia instituta sunt, per quæ lux immensa in fontem influit, et splendoris abundantia lumine multo locum omnem illustrat. Super his tholus in sublime eminet, cum testitudine rotunda et alta, paulatim sese deorsum versum incurvante, et aliquantulum in sublime evadente : cujus tam prolixa est pulchritudo, ut cœlo relucenti et igni ardenti similis videatur. Superiorem sacri adyti partem, aliud supra fontem ipsum ædificium terminat, firma porticu exornatum, ut formæ pulchritudinem, longitudine altero tanto latitudinem superante adimpleat. Gradus etiam quosdam architectus, viginti quinque opinor, ex utraque parte aptissime construxit, qui facilem ad fontem ipsum descensum præbeant : cancellis marmoreis additis, qui et pulchritudinem aliquam operi afferant, et descendentes, ne lubrico humoris labantur, manuduceant. Gradus alii directe acclives sunt, alii vero aliquantulum incurvi. Testudo summa, seu potius vertex ipse templi auro puro prolixe exornatus est : atque is luce per frequentia specularia immissa, et marmoris quo parietes incrustati sunt fulgore vibrato, veluti coruscans templum omne tanquam fulgure illustrat. Fons in medio fere templo est, parum enim id abest. Latitudo ejus bis senum pedum, undam habet jugem, frigidam et pellucidam. Structura marmorea quadrangulari continetur, cujus labrum aquantibus percommodum est. Intra id eis quos diximus pares gradus sunt, quidam semicirculi figuram, **630** alii quadratam formam referentes : seni utrinque, qui deorsum versum ad fontem quemvis ferunt. Mediocris præterea phiala paulum excavata ad os fontis stat, hydriam statim exceptura. Habet ea foramina quædam, ut effluenti latici locus sit. Hunc cavum aliud in solo pro fontis influxu excipit, quod aquæ effluere satagenti meatum exitumque ex parte omni præbet. Cuniculus per mediam ædem protenditur, adytum

A στερᾷ, νεὼν τῇ Θεομήτορι ἀνιστᾷ, ἐπ' αὐτὴν δὴ τὴν πηγὴν περιστήσας τὸν ὄροφον. Ὃ δέ ἐστιν οὐχ ἧττον ἐς γῆν βαθυνόμενος ἢ ὑπὲρ γῆν τὸ ὁρώμενον· ἄνεισι μὲν γὰρ ἐξ αὐτῶν, οἶμαι, τῆς γῆς τῶν κρηπίδων τὰ κτίσματα, ἐν τετραγώνῳ δῆθεν ξυγκείμενα, ἑτερομήκη δὲ τὴν θέσιν καθιστῶντα τῷ δόμῳ· ὡς συμβαίνειν τριτημόριόν που εἶναι τῷ μήκει τὸ εὖρος. Ἀλλ' ἀποίκιλος μὲν ἡ οἰκοδομία τοῖς τοίχοις, ἕως οὗ τῆς γῆς ὑπερκύψειαν· μικρὸν δ' ὑπερφανέντες τῆς γῆς, αὐτίκα ποικίλλονται· στοαὶ γὰρ τέσσαρας διαγράφουσιν· ὧν αἱ μὲν δύο πρὸς ἀνίσχοντα καὶ δύοντά που τὸν ἥλιον κατὰ κενοῦ τοῦ ἀέρος μετεωρίζονται· αἱ δ' ἐπὶ θάτερα τούτων τοῖς γειτνιῶσιν ἐναπερειδόμεναι τοίχοις συνεξυφαίνονται, καὶ τελευτήσασιν ἐπικάθηνται. Οἰκοδομία δέ τις ἐφύπερθεν τῶν ἀψίδων κύκλῳ περιτρέχει τὸν δόμον ἀνεσταλμένη κατὰ βραχύ· καὶ στοαῖς τισιν ἐπίσης διαλειπούσαις ἐρείδεται. Εἰς ἀγωγὴν δὲ φώτων ἀποκεκλήρωται τὸ διάλειμμα· ἐξ ὧν καὶ φῶς ἄπειρον ἐπεισρεῖ τῇ πηγῇ· καὶ περιουσία αἴγλης ἐν μεγάλῳ καὶ πολλῷ τῷ φωτὶ καταστράπτει τὸν χῶρον. Ἐπὶ τούτοις ὁ θόλος μετεωρίζεται, βροφος ἐν σφαιροειδεῖ μεταρσίῳ ἠρέμα ἐς βάθος ἐπικυρτούμενος, καὶ πῃῶς αἰρόμενος εἰς μετέωρον. Κόσμου δὲ τοσοῦτον περίεστιν, ὡς εἰκάσαι τῷ οὐρανῷ περιλαμπομένῳ καὶ ἀνθοῦντι πυρί. Τοῦ γε μὴν ἀδύτου τὸ ἄνωθεν, καὶ τὸ ὑπὲρ αὐτὴν δὴ τὴν πηγὴν οἰκοδόμημα ἕτερον διαφράττει, ἐπιπέδῳ θόλῳ κοσμούμενον, ὡς ἂν ἀποπληροίη τῷ ἑτερομήκει τὸ κόσμιον. Καί τινας δὲ βαθμίδας ἐναρμοσάμενος ὁ τεχνίτης κατὰ πέντε οἶμαί που καὶ εἴκοσι ἑκατέρωθεν, εὐμαρῆ τὴν κάθοδον ἐς αὐτὴν τὴν πηγὴν ὑπανέθειξεν ἐπὶ μαρμάροις συγκαταβαίνουσιν, ἐντιθεῖσί τι καὶ κόσμου καὶ χειραγωγοῦσι τοὺς κατιόντας, ἵνα μὴ ταῖς νοτίσι διολισθαίνωσιν. Ἡ μὲν οὖν ἐστιν ὑπτία· ἀτέρα δὲ καὶ τοῦ σκολιοῦ συμμετέχουσα. Χρυσῷ μὲν ἀκ δήλῳ ἡ ὀροφὴ πᾶσα, μᾶλλον δὲ ἡ κεφαλὴ τῷ νεῷ κατακόρως ἐγκέκρυπται, τῷ ὑέλῳ ἐπιπολάζοντι διαφαινομένῳ· καὶ αὐγὴ μαρμάρων ἃ ὁ τοῖχος ἠμφίεσται, ἁπανταχοῦ περιαστράπτει τὸ τέμενος. Ἡ δὲ πηγὴ σχεδὸν κατὰ μέσον ἐστὶ τὸν χῶρον· μικρὸν γάρ τι τοῦ μέσον εἶναι ἀνεχωρεῖ, εὖρος ὀργυιῶν που δύο διακατέχουσα, ἀένναα ψυχρά τε καὶ διειδῆ προβαλλομένη τὰ ῥεῖθρα. Μαρμάρων δὲ οἰκοδομῇ ἐν τετραγώνῳ αὐτὴν ἀποφράττει, στόμιον ἱκανὸν ἀνιεῖσα τοῖς βουλομένοις ὑδρεύεσθαι. Τοῦ δ' αὖ τετραγώνου ἐξ ἑκατέρωθεν ἴσαι ταῖς προειρημέναις βαθμίδες ἐγείρονται· αἱ μὲν εἰς ἥμισυ σφαῖρας σχηματιζόμεναι, ἄλλαι δὲ καὶ πρὸς τὸ τετράγωνον ἀποτελευτῶσαι κατὰ ἓξ ἑκατέρωθεν, ἐς τὸ ἄνωθεν τῆς πηγῆς τοὺς βουλομένους διαβιβάζουσαι. Καὶ μετρία δέ τις φιάλη πρὸ τοῦ στόματος ἕστηκε τῆς πηγῆς βραχύ τι κοιλαινομένη, ὡς αὐτίκα μάλα τὴν ὑδρίαν ἐπιδεξομένη, ἐς ὁπάς τινας διατετρημένη, ὡς ἂν τοῖς ἐκρέουσι χώραν χαρίζηται. Κοῖλον δέ τι ἕτερον ἐπ' ἐδάφους αὐτὴν ὑποδέχεται πρὸ τῆς ἐπιῤῥοῆς τῆς πηγῆς· στενοχωρουμένῳ τῷ ὑγρῷ ἀπαταχοῦ παρέχον διέξοδον. Δίεισι [illegible] ὁ ὑγρὸς, κατὰ μέσον τὸν δόμον τὸ ἄδυτον διαῤῥῶ[illegible], ἐμπυῤῥαγμένος παντάπασιν. Ὅπας δὲ δύο

ἀνίγνυσιν· ἡ μὲν κυκλοτερεῖ λίθῳ ἐνηρμοσμένη κατὰ μέσον τὸν δόμον· ἡ δ' ἑτέρα γειτνιάζει πρὸς τὰ ἄδυτα ἑτερόμηκες περικειμένη τὸ ἔλυτρον· ἀφ' οὗ καὶ τὸν ἱερὸν πηλὸν καὶ καθάρσιον διειδυκοιδεῖ τινι πτύῳ ἀρύονται, οἷς ταῦτα ἐπιτέτραπται ὑπουργεῖν. Κέκραται δὲ καὶ τὸ ὕδωρ εἰς παράδοξον ἕνωσιν. Τοῦ τε γὰρ ψυχροῦ παντάπασιν εἶναι ἐνδεῖ, καὶ τοῦ χλιαροῦ εἶναι πάλιν ἀφίσταται· ὡς συμβαίνειν παντοῖον καὶ ὅσον γίνεσθαι τοῖς ἐθέλουσι κατὰ τὸ τῷ ῥάννᾳ ᾀδόμενον. Ἔστι δὲ τὰ μάλιστα διειδές τε καὶ κοῦφον, ταῖς τοῦ πνεύματος αὔραις ἱερῶς μετεωριζόμενον. Καὶ τὸ δὴ πάντων ὑπερεκκείμενον, ὅτι τῶν ἐναντίων εἶναι θεραπείαν τὸ ὕδωρ τοῦτο συμβαίνει. Ὅσων γὰρ ἡ τέχνη νοσημάτων ἀπεῖπε τὴν περὶ τὸ ψυχρὸν ἀσχολίαν, τούτων εὕροις ἂν ὡς θᾶττον τούτῳ τὴν ἴασιν. Τοσοῦτον μὲν οὖν ὁ Λέων τὸ τέμενος τῇ Θεομήτορι ἀνιστᾷ, Πηγὴν τὸν χῶρον κατονομάσας· ἐξαίσιον οἷον ἰδόντι, κρεῖττον δὲ ἢ λέγειν. Καὶ τοῦτον τὸν τρόπον ἡ ἐν τῷ ὕδατι χάρις ἐξέλαμψεν. Ἐς ὕστερον δὲ καί τινες ἄλλοι προσθήκαις οἰκοδομημάτων τὸν χῶρον ἐσέμνυναν, κάλλος περιεργότερον περιθέμενοι, καὶ ὡραιοτέραν τῷ τόπῳ ἐπαγαγόντες εὐπρέπειαν· καθὰ δῆτα καὶ Ἰουστινιανὸς ὕστερον τὸν μέγιστον καὶ περικαλλῆ δόμον ἀνήγειρε, τῆς εὐεργεσίας αὐτὴν ἀμειβόμενος. Ταύτης δὴ τῆς πηγῆς ἃ διαφόρως ἐνήργησε θαύματα, ἡμεῖς ἐν ἰδίῳ συντάγματι διελάβομεν, ἀνδρῶν τινων φιλοθέων εἰς τοῦτο διερεθισάντων ἡμᾶς· ἐξ οὗ καὶ τὰ περὶ τῆς πηγῆς ὠδίμοι λελεγμένα ἀποτεμόντες, τῇ προούσῃ συνετάξαμεν πραγματείᾳ. Ἡμεῖς δ' ἀλλ' ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας προϊωμεν.

dividens, probe ubique munitus. Cava superne duo habet: alterum lapide rotundo constructum in medio templi loco: alterum ad adytum appropinquat, labrum longius quam latius habens: unde etiam sacrum illud et lustrale lutum vasculo in cochlearis formam facto illi hauriunt, quibus id ministerium commissum est. Aquæ istius per incredibilem mistionem mirifica est temperies: neque enim supra modum gelida est, et a tepiditate multum abest: ita ut eam omnigenam et qualem quisque velit esse contingat, non secus quam decantatum illud Manna. Est autem pellucida maxime et levis, spiritus aura sacro quodam modo extenuata. Et quod alia omnia superat, resquoque contrarias unda hæc curat. De quibus enim ægritudinibus frigore homines affligentibus ars medicorum curandis desperavit, eis statim in illa medicinam invenias. Tale delubrum Leo Dei matri erexit, atque id Fontem nominavit: opus, si videas, insigne: præstantius certe quam ut verbis explicari queat. In fontis unda, ea quam diximus gratia enituit. Postea vero alii quidam ædificiorum accessionibus locum eum exornarunt, pulchritudinem adjectitiam ei addentes, et decentiorem illi amœnitatem adjicientes: quemadmodum et Justinianus postmodum maximam et pulcherrimam exstruxit domum, gratiam eam pro beneficiis acceptis virgini Matri referens. De miraculiis quæ ad fontem ipsum quamplurima edita sunt, librum conscripsimus (a), a piis quibusdam viris, ut hoc faceremus, excitati. Unde etiam ea quæ de fonte diximus, in opus hoc transtulimus. Sed jam ad reliquam historiam progrediamur.

ΚΕΦΑΛ. ΚΖ'.

Ὡς Λέων χίλια καὶ ἑκατὸν πλοῖα κατὰ Γιζερίχου ἔπεμψε, στρατηγὸν Βασιλίσκον τὸν τῆς γαμετῆς Βηρίνης ἀδελφὸν τοῦ στόλου χειροτονήσας· ὃς ὑποθήκαις Ἄσπαρος καὶ Ἀρδαβουρίου τὸν στόλον προὔδωκε τοῖς ἐχθροῖς. Καὶ ὡς ἀνῃρέθη Ἄσπαρ καὶ Ἀρδαβούριος διὰ Ζήνωνος τοῦ Ἰσαύρου· καὶ διὰ τοῦτο ἐπὶ τῇ θυγατρὶ Λέοντος τῇ Ἀριάδνῃ γαμβρὸς τοῦ βασιλέως καθίσταται.

631 CAPUT XXVII.

Ut Leo mille et centum naves, contra Genserichum miserit, Basilisco conjugis suæ Verinæ fratre classi præfecto, qui instinctu et consilio Asparis et Ardaburii classem hostibus prodidit: et ut Aspar et Ardaburius a Zenone Isauro trucidati sint. Quam ob causam, Ariadna Leonis filia in matrimonium ducta, is gener ejus est factus.

Γιζερίχος ὁ τῶν Οὐανδήλων βασιλεὺς τῶν Ἄφρων κατάρξας, ὥς μοι προλέλεκται, καὶ ἐπὶ μέγα δυνάμεως προελθών, μετὰ τὸ ἀποθέσθαι Μαρκιανὸν, πλεῖστα δεινὰ ἔδρα, τὴν Ῥωμαίων γῆν ἐπιών. Πλὴν γὰρ Καρθαγένης πασῶν τῶν πόλεων περιεῖλε τὰ τείχη. Ὅσα δὲ χρήματα καὶ ἀγροὶ τοῖς ἑσπερίοις Λίβυσι προσῆσαν, ἐκείνων ἀφελόμενος, τοῖς ὁμοφύλοις ἀπεχαρίζετο. Καὶ λίαν ἐξέτριβε τὸ ὑπήκοον, φόρους ἐπὶ φόροις τιθείς. Τῇ πολλῇ δὲ ταλαιπωρίᾳ ἐκπιεζόμενοι οἱ περίοικοι ἀπεδίδρασκον· οἷς ἀχθόμενος Λίων, ἐκ τῆς ὑπὸ χεῖρα πάσης πλοῖα χίλια καὶ ἑκατὸν ἀθροίσας, ὅπλων τε πληρώσας σὺν ἀξιομάχῳ στρατῷ, κατά τε Γιζερίχου καὶ τῶν Οὐανδήλων ἐκπέμπει. Ἐφ' ᾧ στόλῳ χίλια διακόσια χρυσοῦ κεντηνάρια λόγος ἔχει δαπανῆσαι αὐτόν· τοὺς δ' ἐλῶντας τὰς ναῦς ὑπὲρ ἑπτὰ χιλιάδας εἶναι. Καὶ στρατηγὸν δ' αὐτοκράτορα

πίστιν ἐκθέσθαι· εἰδότα, ὡς ὁ θεοφιλέστατος βασιλεὺς, κατὰ τὴν ἔκθεσιν τῶν τι' καὶ ὀκτὼ καὶ τῶν ρν' Πατέρων, ἔτι δὲ καὶ κατὰ τὰς ἐπιστολὰς τῶν ἁγίων Πατέρων Γρηγορίου, Βασιλείου, Ἱλαρίου, Ἀθανασίου, Ἀμβροσίου, καὶ τὰς δύο Κυρίλλου, τὰς ἐν τῇ πρώτῃ ἐν Ἐφέσῳ συνόδῳ παρρησιασθείσας, πιστεύει, καί γε τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ῥωμαίων Ἐκκλησίας Λέοντα τὸν Εὐτυχῆ ἐπὶ τούτοις καθελεῖν. » Καὶ τῆς τοιαύτης δὲ συνελεύσεως πέρας λαβούσης, ἑτέρα πάλιν ἐγίνετο, μόνων τῶν ἁγιωτάτων ἐπισκόπων προκαθεσθέντων· οἷς ἑτέρους λιβέλλους Εὐσέβιος ὁ Δορυλαίου ἐπέδωκεν ὑπέρ τε ἑαυτοῦ καὶ Φλαβιανοῦ. Ἐν ᾧ καὶ μέμψιν Διοσκόρῳ ἐπῆγεν, ὡς ἐπίσης Εὐτυχεῖ θρησκεύοντι· οὗ χάριν καὶ τὴν ἱερωσύνην αὐτοὺς ἀφελέσθαι. Προσετίθει γε μὴν, ὡς καί τινα μὴ τηνικαῦτα εἰρημένα τοῖς ὑπομνήμασιν ἐνέσπειρε· καὶ ὡς ἀγράφῳ χάρτῃ ὑπέγραψαν. Κἀκ κοινῆς ἐδεῖτο ψήφου τῶν συνειλεγμένων, ἄκυρα καὶ ὡς μηδὲ γεγονότα λογίζεσθαι τὰ ἐν τῇ δευτέρᾳ συνόδῳ ἐν Ἐφέσῳ διαπεπραγμένα· καὶ τὴν μὲν ἱερωσύνην αὐτοὺς ἔχειν, τὸ δὲ βέβηλον ἐκεῖνο δόγμα ἀναθεματισθῆναι. Μετὰ δὲ τὴν ἀνάγνωσιν ἐξίου παρεῖναι καὶ τὸν ἀντίδικον. Καὶ διαλαλιᾶς γενομένης παραγενέσθαι, Ἀέτιος ὁ τῶν νοταρίων πριμικήριος παρελθὼν εἶπεν, ὡς διέβη μὲν πρὸς Διόσκορον, ὥσπερ δῆτα καὶ πρὸς τοὺς ἄλλους, καὶ εἰρήκασι μὴ ἐλθεῖν δύνασθαι ὑπὸ τῶν φυλαττόντων· καὶ διελαλήθη ζητηθῆναι τὸν Διόσκορον πρὸ τοῦ συνεδρίου. Κἀκείνου μὴ εὑρεθέντος, Ἀνατόλιος ὁ τῆς νέας Ῥώμης ἐπίσκοπος εἶπε· Δίκαιόν ἐστιν ἐκεῖνον παραγενέσθαι. Οὗ γενομένου, οἱ πεμφθέντες ἐπανελθόντες εἶπον, ὡς εἰρηκε, Φυλάσσομαι ἐγώ. Εἰ δὲ συγχωρήσουσιν, ἥκω, καὶ ἕτοιμός εἰμι πρὸς τὴν θείαν παραγενέσθαι σύνοδον. Προστέθεικε δὲ τοῦτο Ἰμέριος· ὡς ἐκ Διοσκόρου ἐρχομένων, συναντᾷ Βοηθὸς αὐτοῖς καὶ τῷ μαγίστρῳ τῶν θείων ὀφφικίων. Καὶ σὺν ἐκείνῳ οἱ ἐπίσκοποι πρὸς Διόσκορον αὖθις ἦλθον, καὶ εἶπον ἐν σημείοις τινὰ ἔχειν ἐρεῖν αὐτῷ. Ὑπὲρ ἀναγνωσθέντων, δηλοῖ ταῦτα πρὸς λέξιν εἰπεῖν τὸν Διόσκορον· « Συναγαγὼν ἐμαυτὸν, καὶ γνοὺς τὸ συμφέρον, τάδε ἀποκρίνομαι· Ἐπειδὴ ἐν τῇ πρὸ ταύτης συνόδῳ καθεζόμενοι οἱ μεγαλοπρεπέστατοι ἄρχοντες, ὥρισαν πολλὰ μετὰ πολλὰς ἑκάστῳ διαλαλιάς· νῦν δὲ εἰς δευτέραν καλοῦμαι σύνοδον εἰς τὴν τῶν προειρημένων ἀνασκευὴν, παρακαλῶ τοὺς πρώην ἐν τῇ συνόδῳ παραγενομένους μεγαλοπρεπεστάτους ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον καὶ νῦν παρεῖναι, ἵνα πάλιν τὰ αὐτὰ γυμνασθῇ. » Πρὸς οὖν ταῦτα Ἀκάκιον ἡ πρᾶξις δηλοῖ τοιάδε ἀπολογήσασθαι· Οὐχ οὕτως ἐκέλευσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος τὴν ὑμετέραν ἁγιότητα παρεῖναι, ὥστε ἀνασκευασθῆναι τὰ ἐπὶ τῶν μεγαλοπρεπεστάτων ἀρχόντων καὶ ἐπὶ τῆς ἱερᾶς συγκλήτου πραχθέντα· ἀλλ' ἡμᾶς ἀπέστειλεν ὥστε καταλαβεῖν σε τὸ συνέδριον, καὶ μὴ ἀπολειφθῆναι αὐτοῦ τὴν σὴν ὁσιότητα. Πρὸς ὃν ἀντεῖπε Διόσκορος, ὅτι Νῦν εἰρήκατέ μοι ὅτι λιβέλλους ἐπιδέδωκεν ὁ Εὐσέβιος. Εἰ τοίνυν τοῦτο, πάλιν δέομαι τὰ κατ' ἐμὲ τυχεῖν ἐξετάσεως ἐπὶ τῶν ἀρχόντων καὶ τῆς συγκλήτου.

A tales rursum : « Hoc justum est judicium ; Christus Dioscorum exauctoravit, Christus martyres vindicavit. » **641** Hic senatum episcopum quemque fidei suæ professionem in scriptum referre jussisse : quibus etiam is, ut scirent, indicarit, Dei amantissimum imperatorem, juxta formulam a trecentis decem et octo, et rursum a centum quinquaginta Patribus editam, et juxta epistolas sanctorum Patrum Gregorii, Basilii, Hilarii, Athanasii, Ambrosii, et duas illas Cyrilli, quæ in priore Ephesina synodo publicatæ essent, credere, et religiosissimum Romanæ Ecclesiæ antistitem Leonem Eutychetem abdicasse. Conventu seu congressu eo soluto, alium rursum institutum esse, in quo soli sanctissimi episcopi consederint. Eis libellum alium, de se et B Flaviano conscriptum, Eusebium Dorylæi antistitem obtulisse, in quo Dioscorum eo etiam nomine criminatus sit, quod idem cum Eutyche sentiret, cujus rei gratia et Flavianus et ipse ab eo exauctorati essent. Addidisse quoque pleraque verba, quæ tum dicta non essent, commentariis actorum esse aspersa. Et quod subscriptiones in charta pura factæ essent. Petiisse insuper ut communi eorum qui sic congregati essent, suffragio, quæcunque in posteriore Ephesina synodo acta essent, auctoritate eis omni adempta, perinde atque acta non essent, abolerentur, ipsis sacerdotalis dignitas restitueretur, et impium illud dogma anathemate jugularetur. Post libelli lectionem eumdem postulasse, ut adversarius quoque adesset. Ibi cum interlocutione C prolata jussum esset, ut adesset, Aetium primicerium inter notarios progressum, ad eos dixisse, accessisse se ad Dioscorum, sicuti etiam ad reliquos. Illos autem dixisse, venire se propter adversariorum insidias non posse. Ibi rursus facta interlocutione decretum est, ut Dioscorus ante concilium quæreretur. Eo vero non invento, Anatolius novæ Romæ episcopus dixit, æquitatem et justitiam, ut ille adesset, efflagitare. Itaque quæsitum esse, et qui ad eum missi erant reversos, hoc sic eum dixisse renuntiasse, insidias sibi fieri. Sin ei tuto venire permitteretur, paratum se ut in sanctam synodum veniret, esse. Himerium illud addidisse, cum a Dioscoro digressi essent, D Boethum eis et magistro divinorum officiorum obviam venisse, cum quo episcopi ad Dioscorum reversi, habere se dixerint, quod cum eo ex scripto agerent. Quod ubi lectum esset, Dioscorum hæc verba dixisse actorum liber refert : **642** « Cum de me ipso deliberarim, et id quod utile commodumque est considerarim, hoc sic respondeo : Quandoquidem in proximo consessu magnificentissimi principes qui in concilio sedent, multa post multas interlocutiones decrevere : et nunc ego in consessum alium, ad ea quæ dicta sunt revocanda atque abolenda evocor, peto ut magnificentissimi principes qui proxime synodo interfuere, et sacer senatus nunc etiam intersint, ut de iisdem rebus denuo inquiratur. » Ad quæ verba

acta Acacium ita respondisse testantur : Non ita sancta et magna synodus sanctitatem tuam adesse jussit, ut ea inducantur, quæ in præsentia magnificentissimorum principum et sacri senatus acta sunt. Sed nos ad te misit, ut in concessum ejus venires, et ab eo sanctitas tua non abesset. Ad quem Dioscorus : Modo, inquit, mihi dixistis, Eusebium libellum contra me obtulisse. Quod si id factum est, iterum peto, ut de rebus meis in principum et senatus præsentia disquisitio fiat. Et aliis quibusdam hujusmodi verbis interpositis, alios rursum missos esse, qui Dioscorum, ut rebus agendis adesset, accerserent. Quod ubi factum esset, reversos illos, hisce eum verbis usum esse retulisse : Antea quoque pietati vestræ indicavi, valetudine adversa me correptum esse, et petere, ut magnificentissimi principes et sacer senatus nunc quoque rerum inquisitioni et judicio adsint. Cum vero valetudo mea invaluerit, diffundi ob eam causam diem postulo. Commentarii actorum porro indicant, Cecropium Dioscoro dixisse : Nihil eum antea de valetudine allegasse. Proinde illum, pro eo atque deberet, canonibus satisfacere oportere. Cui rursum Dioscorus responderit : Semel se dixisse, principes adesse debere. Sub hæc Rufinum Samosatenum episcopum retulisse : canonice synodum atque consessum institutum esse, ad quem si veniret, liberum ei, ut quæ vellet diceret, fore. Et cum Dioscorus, an rebus agendis etiam Juvenalis et Thalassius et Eustathius interessent, roparet : nihil illos ad rem id pertinere, respondisse. Ad quæ verba Dioscorum acta subintulisse tradunt : Imperatorem Christi amantissimum se oravisse, ut principes viri, et qui cum ipso judicio contendunt, adsint. Tum vero eos qui missi ad eum fuerant dixisse : Eusebium solum eum accusare, et omnes adesse debere. Atque ibi Dioscorum, eos quoque præsto oportere esse, dixisse, qui una secum judicis munere functi essent. **643** Nihil enim, inquit, mihi privati negotii aut criminis cum Eusebio est, quod non cum aliis qui mecum condemnationis sententiam tulerunt, commune sit. Et cum ejus rei gratia diutius internuntii apud eum morati essent, Dioscorum tandem hisce verbis eis respondisse : Semel vobis quæ dicenda erant dixi, et quod amplius dicam non habeo. Quæ ubi ad episcopos fuissent relata, Eusebium, cum uno Dioscoro, neque cum alio quopiam judicium sibi esse, dixisse. Dioscorumque tertio etiam citari postulavisse. Ibi tum Aetium significasse, paulo ante quosdam, qui se clericos esse dixissent, et alios ab Alexandria laicos et populares homines, libellos sibi adversus Dioscorum obtulisse, eosque pro consessus foribus vociferantes astare. Dedisse autem libellum primum Theodorum Alexandrinæ Ecclesiæ diaconum, deinde diaconum alterum Ischyrionem (1) nomine, et Athanasium presbyterum Cy-

(1) Sive Ischyram.

Καὶ ἄλλων δή τινων τοιούτων κειμένων, αὖθις ἐστέλλοντο ἕτεροι καὶ μετεστέλλοντο τὸν Διόσκορον τοῖς πραττομένοις παρεῖναι. Οὗ γενομένου, ἐπανελθόντες οἱ πεμφθέντες, τάδε εἰπεῖν ἐκεῖνον εἰρήκασιν· Ἤδη φθάσας δεδήλωκα τῇ ὑμετέρᾳ θεοσεβείᾳ ὅτι καὶ ἀρρωστίᾳ συνέχομαι, καὶ ἐξαιτῶ, ὥστε καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας καὶ τὴν ἱερὰν σύγκλητον καὶ νῦν παρεῖναι τῇ τῶν ἐξετασθησομένων κρίσει. Ἐπειδὴ δέ μοι τὰ τῆς ἀρρωστίας ἐπετάθη, τούτου χάριν τὴν ὑπέρθεσιν πεποίημαι. Δηλοῦσι δὲ τὰ ὑπομνήματα Κεκρόπιον εἰπεῖν πρὸς Διόσκορον, μηδὲν εἰρηκέναι πρότερον περὶ ἀσθενείας, καὶ ὀφειλὴν ἔχειν τὸ ὀφειλόμενον τοῖς κανόσι ποιεῖν. Πρὸς ὃν εἰπεῖν αὖθις Διόσκορον· Ἅπαξ εἶπον ὀφείλειν παρεῖναι τοὺς ἄρχοντας. Ῥουφῖνον δὲ τῶν Σαμοσάτων ἐπίσκοπον ἀντιφθέγξασθαι, κανονικὴν εἶναι τῶν κεκινημένων τὴν σύνοδον· καὶ εἴ γε παραγένοιτο, ἃ βούλεται διεξελθεῖν, ἐλευθέρως ἔχειν. Ἐρομένου δὲ Διοσκόρου εἰ πάρεστι τοῖς δρωμένοις καὶ Ἰουβενάλιος καὶ Θαλάσσιος καὶ Εὐστάθιος, ἀποκρίνασθαι μηδὲν εἶναι πρὸς λόγον ἐκείνους. Πρὸς ἃ Διόσκορον, Ἡ πρᾶξις, φάναι, δηλοῖ, παρακαλέσαι τὸν φιλόχριστον βασιλέα, ὥστε καὶ τοὺς ἄρχοντας παρεῖναι, καὶ τοὺς σὺν αὐτῷ τηνικαῦτα δικάσαντας. Ἴδιον γάρ τι πρᾶγμα μὴ ἔχειν πρὸς τὸν Εὐσέβιον, ἀλλ' ἢ ἄρα περὶ ὧν καὶ ἄλλοι κατεψηφίσαντο. Πλεῖστα δ' ἐπιμεινάντων τῶν πεμφθέντων τούτου χάριν, ἀπέφησεν ὁ Διόσκορος εἰπών· Ἅπαξ εἶπον ὅπερ εἶπον, καὶ περαιτέρω λέγειν οὐκ ἔχω. Εὐσέβιον δὲ πρὸς ταῦτα φάναι, πρὸς μόνον τὸν Διόσκορον τὴν δίκην ἔχειν, καὶ πρὸς μηδένα ἕτερον· καὶ ἠξίου καὶ ἐκ τρίτου κληθῆναι Διόσκορον. Καὶ ὑπολαβὼν Ἀέτιος ἔλεγε, τινὰς οὐ πάνυ πόρρω κληρικοὺς ἑαυτοὺς εἶναι λέγοντας μετὰ καὶ ἄλλων λαϊκῶν τῆς Ἀλεξάνδρου, λιβέλλους ἐπιδοῦναι κατὰ Διοσκόρου· νῦν δὲ πρὸ τοῦ συνεδρίου ἑστῶτας ἀναβοᾷν. Καὶ πρῶτος Θεόδωρος διάκονος τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας γενόμενος, λίβελλον ἐπιδέδωκεν· εἶτα καὶ διάκονος ἕτερος Ἰσχυρίων ὄνομα, καὶ Ἀθανάσιος πρεσβύτερος ἀδελφιδοῦς Κυρίλλου, πρὸς ἐπὶ τούτοις δὲ καὶ Σωφρόνιος· δι' ὧν βλάσφημόν τε ἐκεῖνον ἐδείκνυον, καὶ χρήματα βίᾳ ἀφελόμενον· καὶ περί τινων σωματικῶν διεξῆσαν. Καὶ ἐπὶ τούτοις καὶ τρίτη κλῆσις Διοσκόρῳ ἐγίνετο ὥστε παρεῖναι. Καὶ ἐπανελθόντες οἱ τὸν λόγον διασωσάμενοι, εἰρήκασι φάναι Διόσκορον, αὐτάρκως πρώην ἀπολογήσασθαι, καὶ νῦν μηδὲν ἔχειν πλέον ἐρεῖν. Τῶν δ' ἀπεσταλμένων ἐπικειμένων, κἀκείνου τὰ ἴσα λέγοντος, Πασκασῖνος ἐπίσκοπος εἶπε· Καὶ ἐς τρίτον ἤδη κληθεὶς ὁ Διόσκορος οὐδαμῶς παρεγένετο, τῇ συνειδήσει ἴσως βαλλόμενος. Καὶ τῶν ἐπισκόπων ἀνεπυνθάνετο, τίνος ἄξιος εἴη. Ἐκείνων δὲ τοῖς κανόσιν ὑποπεσεῖν εἰρηκότων, Πρωτέριος ἐπίσκοπος Σμύρνης εἶπεν· Ὅτε ἐφονεύθη Φλαβιανός, οὐδέν τι ἀκόλουθον ἐπ' αὐτῷ διεπράχθη. Οἱ τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπου ταῦτ' ἐπὶ λέξεως ἀπεφήναντο· « Δῆλα γεγένηται τὰ τετολμημένα Διοσκόρῳ τῷ

γενομένῳ τῆς Ἀλεξανδρίων μεγαλοπόλεως ἐπισκόπῳ κατὰ τῆς τῶν κανόνων τάξεως καὶ τῆς ἐκκλησιαστικῆς κατασάσεως ἐκ τῶν ἤδη ἐξετασθέντων ἐν τῷ πρώτῳ συνεδρίῳ, καὶ ἀπὸ τῶν σήμερον πεπραγμένων. Οὗτος γὰρ, ἵνα τὰ πολλὰ παραλίπωμεν, Εὐτυχῆ τὸν ὁμόδοξον αὐτοῦ καθαιρεθέντα κανονικῶς παρὰ τοῦ ἰδίου ἐπισκόπου, τοῦ ἐν ἁγίοις φαμὲν Πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Φλαβιανοῦ, αὐθεντήσας ἀκανονίστως εἰς κοινωνίαν ἐδέξατο, πρινὴ συνεδρεῦσαι ἐν τῇ Ἐφεσίων μετὰ τῶν θεοφιλῶν ἐπισκόπων. Ἀλλ' ἐκείνοις μὲν ὁ ἀποστολικὸς θρόνος συγγνώμην ἀπένεμεν ἐπὶ τοῖς ἐκεῖσε μὴ κατὰ γνώμην αὐτῷ πεπραγμένοις· οἳ καὶ διετέλεσαν μέχρι τοῦ παρόντος ἐπόμενοι τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Λέοντι καὶ πάσῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ. Οὗ δὴ χάριν καὶ ἐν τῇ αὐτοῦ κοινωνίᾳ αὐτοὺς ὁμοπίστους ἐδέξατο. Οὗτος δὲ καὶ μέχρι τοῦ παρόντος διέμεινε σεμνυνόμενος ἐπ' ἐκείνοις, ἐφ' οἷς ἔδει στένειν, καὶ εἰς γῆν κεκυφέναι ὤφειλεν. Πρὸς τούτοις δὲ οὐδὲ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι συνεχώρησε τοῦ μακαριωτάτου πάππα Λέοντος, τὴν γραφεῖσαν παρ' αὐτοῦ πρὸς τὸν μακαριώτατον Φλαβιανὸν, καὶ ταῦτα πολλάκις παρακληθεὶς ἀναγνῶναι ταύτην ὑπὸ τῶν κεκομικότων, καὶ μεθ' ὅρκων ποιήσασθαι τὴν ἀνάγνωσιν ὑποσχόμενος· ἧς μὴ ἀναγνωσθείσης, σκανδάλων καὶ βλάβης αἱ ἀνὰ τὴν οἰκουμένην ἁγιώταται ἐπληρώθησαν Ἐκκλησίαι. Ἀλλ' ὅμως τοιούτων παρ' αὐτοῦ τολμηθέντων, ἐπισκοποῦμεν περὶ τῆς προτέρας αὐτοῦ ἀνοσίας πράξεως, φιλανθρωπίας τινὸς αὐτὸν ἀξιῶσαι, ὡς καὶ τοὺς λοιποὺς θεοφιλεστάτους ἐπισκόπους, καίτοι μηδὲ τὴν αὐθεντίαν αὐτῶν παραπλησίως τῆς κρίσεως ἐσχηκότας. Ἐπειδὴ δὲ τοῖς δευτέροις τὴν προτέραν παρανομίαν ὑπερηκόντισεν, ἐτόλμησε δὲ καὶ ἀκοινωνησίαν ὑπαγορεῦσαι κατὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγάλης Ῥώμης Λέοντος, πρὸς δὲ τούτοις καὶ λιβέλλων παρανομιῶν μεστῶν κατ' αὐτοῦ προτενεχθέντων τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς διὰ θεοφιλῶν ἐπισκόπων κανονικῶς κληθεὶς οὐχ ὑπήκουσεν, ὑπὸ τοῦ ἰδίου συνειδότος δηλονότι κεντούμενος, καὶ τοὺς παρὰ συνόδων διαφόρων ἐνθέσμως καθαιρεθέντας παρανόμως ἐδέξατο, αὐτὸς καθ' ἑαυτοῦ τὴν ψῆφον ἐξήνεγκε διαφόρως τοὺς ἐκκλησιαστικοὺς πατήσας θεσμούς. Ὅθεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος τῆς μεγάλης καὶ πρεσβυτέρας Ῥώμης Λέων δι' ἡμῶν καὶ τῆς παρούσης συνόδου μετὰ τοῦ τρισμακαρίου καὶ πανευφήμου Πέτρου τοῦ ἀποστόλου, ὅς ἐστι πέτρα καὶ κρηπὶς τῆς καθολικῆς Ἐκκλησίας, καὶ τῆς ὀρθοδόξου πίστεως θεμέλιος τυγχάνει, ἐγύμνωσεν αὐτὸν τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος, καὶ πάσης ἱερατικῆς ἠλλωτρίωσεν ἐνεργείας. Τοιγαροῦν ἡ ἁγία αὕτη καὶ μεγάλη σύνοδος τὰ δόξαντα τοῖς κανόσιν ἐπὶ τῷ μνημονευθέντι Διοσκόρῳ ψηφίσηται.

rilli fratris filium, et item Sophronium : in quibus libellis blasphemum illum esse, et per vim pecuniam hominibus extorsisse, et de corporalibus insuper quibusdam supplicantes retulerint. Sub hæc, tertio Dioscorum, ut se sisteret, citatum esse. Et eos qui ad illum missi fuerant, reversos, verba ejus memoriæ mandata retulisse : Dioscorum scilicet dixisse, abunde satis se antea respondisse, neque jam quod insuper diceret habere. Atque ubi internuntii ei identidem institissent, et ille eadem sæpe verba repetiisset, Paschasinum episcopum dixisse : Tertio etiam evocatus Dioscorus haudquaquam comparet, propterea fortasse quod eum conscientia mordeat : episcoposque cum interrogasse, quidnam is commeritus esset? Et cum illi in canones eum commisisse dixissent, Proterium Smyrnensem episcopum prolocutum esse : Cum Flavianus cæsus est, nihil tum ordine legitimo de eo est actum. Et Leonis veteris Romæ antistitis legatos in hæc verba sententiam dixisse, commentarius synodi perhibet : « In lucem producta sunt, quæ Dioscorus, qui magnæ Alexandrinorum urbis episcopus fuit, adversus canonum sanctiones et ecclesiasticas constitutiones facere ausus est, per inquisitionem in consessu primo institutam, et per ea quæ hodierno die sunt acta ; illic enim, ut multa omittamus, Eutychetem opinionis suæ popularem, canonice et legitime ab episcopo suo, eo scilicet qui inter sanctos degit, 644 Patre nostro et archiepiscopo Flaviano, exauctoratum, auctoritatem sibi ipsi arrogans contra canonum sententiam, prius etiam ad communionem admisit, quam piis Dei amantibus episcopis Ephesi assederit. Sedenti sedes apostolica, aliis gratiam de rebus quas contra voluntatem et sententiam ejus admiserunt, fecit : atque illi ad hunc usque diem sanctissimum archiepiscopum Leonem, et sanctam universalem Ecclesiam sequi perseverarunt. Quamobrem in communionem etiam suam ipsos, ut ejusdem fidei cultores, recepit. Iste autem ad præsens etiam tempus se gloriose de rebus eis jactitat, propter quas anxie cum lugere et submisse terram spectare oportuit. Ad hæc epistolam quoque beatissimi papæ Leonis legi non permisit, ad beatissimum Flavianum ab eo scriptam, cum quidem de ea legenda, ab eis qui illam attulerant rogatus, jurejurando interposito, lectionem ejus pollicitus esset, quapropter ea non lecta, per scandala et offendicula sanctissimæ in orbe Ecclesiæ plurimum cepere detrimenti. Nos vero, tametsi talia ausus sit, de prioribus tamen ejus impie factis, ut misericordia eum, sicuti et alios Dei amantissimos episcopos, qui non eam quam sibi usurparunt judicandi habuere potestatem, dignaremur, prospeximus. Quandoquidem autem ille priora facinora posterioribus flagitiis superarit, et excommunicationem adversus sanctissimum et piissimum magnæ Romæ archiepiscopum Leonem dictare et promulgare ausus est, atque insuper libellum contra illum criminibus iniquis plenum sanctæ et magnæ synodo obtulit : semel denique iterum ac tertio a piis episcopis canonice citatus, dicto audiens non fuit, conscientia scilicet ipse sua ictus, multosque rite atque ordine a pluribus synodis exauctoratos

contra leges et constitutiones suscepit, sententiam ipse adversus seipsum ecclesiasticis sanctionibus variis modis proculcatis tulit. Proinde sanctissimus et beatissimus archiepiscopus magnæ et veteris Romæ Leo, per nos et synodum præsentem, una cum ter beato et celeberrimo Petro apostolo, qui est petra et basis Ecclesiæ catholicæ, fundamentumque orthodoxæ et rectæ fidei, **645** episcopalem ei abrogavit dignitatem, et ab omni sacerdotali ministerio alienum esse decrevit. Itaque sancta hæc et magna synodus, de eo qui dictus est Dioscoro, juxta sententiam canonum, calculis suffragiisque suis, quod ei videbitur, statuet. »

Hæc omnia, cum auctoritate sua Anatolius, A Maximus, et cæteri episcopi, præter eos qui una cum Dioscoro exauctorati fuerant, confirmassent, relationem de omnibus rebus synodalem ad Marcianum imperatorem missam esse acta dicunt. Cui sententiæ quoque qua Dioscoro dignitas abrogata est, adjuncta fuerit, verbo ad verbum sic habens, sicuti etiam ipsi Dioscoro et insinuata. « Scito te, propter sacrorum canonum contemptum, et quam sanctæ isti universali synodo exhibuisti inobedientiam, propterea quod præter crimina alia, de quibus manifesto convictus es, tertium a sancta hac magna synodo juxta sacros canones citatus, ut ad dicendam causam adesses, non comparueris, decimo tertio vertentis hujus Octobris mensis die, a sancta et universali synodo B exauctoratum, ab episcopatu et omni ecclesiastica constitutione alienum esse. » Post hæc, ubi de his rebus litteræ ad episcopos Alexandriam scriptæ, et edicta contra Dioscorum composita fuissent, finem etiam suum congressum istum habuisse. Cæterum cum rursum convenissent, de recta fide tractatum, et ne formula ulla alia conciperetur, decretum esse : et posteaquam res Eutychetis finem suum accepissent, et ab episcopo Romano per constitutionem conformatæ essent, quam etiam omnes comprobarent, omnes eadem se dicere sæpiusque repetere, exclamasse. Postquam etiam principes postulassent, ut patriarcha quilibet unum aut alterum episcopum ex diœcesi et administratione sua designaret, quo unius cujusque sententia manifesto apud omnes proferretur : Florentium Sardensem episcopum, episcopis ut re deliberata id faceret permittentibus, et Cecropium Sebastopolis episcopum, sic postea verba fecisse : « Fides rite a trecentis decem et octo sanctis Patribus in formulam redacta, et rursum a sanctis Patribus Athanasio, Cyrillo, Cœlestino, Hilario, Basilio, Gregorio, atque nunc denuo a sanctissimo Leone confirmata est. Rogamus igitur, ut sanctorum trecentorum decem et octo Patrum, sanctissimique **646** Leonis scriptum legatur. » Id ubi factum esset, synodum universam exclamasse : « Hæc orthodoxorum rectoque sentientium fides est : ita omnes credimus : papa Leo sic credit: Cyrillus sic credidit : D papa fidem sic exposuit. » Porro interlocutione et deliberatione alia habita, ut etiam quæ centum et quinquaginta Patres ediderunt, legerentur, lecta ea quoque esse. Ad quæ synodus rursum exclamaverit : « Hæc omnium nostrum et fides, hæc orthodoxorum est fides: ita omnes credimus. » His dictis, Aetium

Τούτων δὲ πάντων κῦρος εἰληφότων παρά τε Ἀνατολίου, καὶ Μαξίμου, καὶ τῶν λοιπῶν ἐπισκόπων, πλὴν ἐκείνων, ὅσοι σὺν Διοσκόρῳ καθῃρέθησαν, ἀναφορὰ περὶ πάντων συνοδικὴ Μαρκιανῷ τῷ βασιλεῖ ἀπεστέλλετο. Ἐπέμπετο δὲ καὶ ἡ καθαίρεσις Διοσκόρου ἔχουσα ἐπὶ λέξεως ὧδε· « Γίνωσκε σαυτὸν διὰ τὴν τῶν θείων κανόνων ὑπεροψίαν, καὶ διὰ τὴν ἀπείθειάν σου τὴν περὶ τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον, ὑπὲρ ὧν πρὸς τοῖς ἄλλοις πλημμελήμασιν οἷς ἔλεγες, καὶ τρίτον κληθεὶς παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου κατὰ τοὺς θείους κανόνας ἐπὶ τὸ ἀποκρίνασθαι, τοῖς ἐπαγομένοις οὐκ ἀπήντησας, μηνὶ Ὀκτωβρίῳ τῷ ἐνεστῶτι τρισκαιδεκάτῳ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθῃρῆσθαι τῆς ἐπισκοπῆς, καὶ παντὸς ἐκκλησιαστικοῦ θεσμοῦ ὑπάρχειν ἀλλότριος. » Μετέπειτα τῶν περὶ τούτων γραφέντων καὶ πρὸς τοὺς κατὰ Ἀλεξάνδρειαν ἐπισκόπως προθέματος κατὰ Διοσκόρου γενομένου, πέρας καὶ τὰ τῆς τοιαύτης ἐδέχετο συνελεύσεως. Αὖθις τοίνυν συναλισθέντων, τὰ περὶ τῆς ὀρθῆς πίστεως ἠρευνῶντο· καὶ διεκρίνετο μήτε περαιτέρω τυποῦσθαι, ἅπαξ τῶν κατ' Εὐτυχῆ πέρας δεξαμένων, καὶ παρὰ τοῦ ἐν Ῥώμῃ ἐπισκόπου διατυπωθέντων· οἷς καὶ πάντες συνῆνεσαν· καὶ πόντων εἰπόντων τὰ αὐτὰ καὶ πάλιν λέγειν· ἐπειπόντων δὲ καὶ τῶν ἀρχόντων, ἕκαστον πατριάρχην ἓν ἢ δύο ἐπιλεξάμενον πρόσωπα τῆς κατ' αὐτὸν διοικήσεως εἰς μέσον ἧκειν, ὡσὺ' ἑκάστου γνώμην φανερὰν ἅπασιν ἐγγενέσθαι, Φλωρέντιος ἐπίσκοπος Σάρδεων, τῶν ἐπισκόπων ἐνδιδωκότων, ἐφ' ᾧ μετὰ σκέψεως C ἐπὶ ταῦτα ἐλθεῖν, Κεκροπίου ἐπίσκοπος Σεβαστοπόλεως ταῦτ' ἐπὶ λέξεως ἔφησεν· « Ἡ πίστις καλῶς εἴρηται τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων· καὶ ἐβεβαιώθη πάλιν παρὰ τῶν ἁγίων Πατέρων, Ἀθανασίου, Κυρίλλου, Κελεστίνου, Ἱλαρίου, Βασιλείου, Γρηγορίου, καὶ νῦν πάλιν διὰ τοῦ ἁγιωτάτου Λέοντος. Ἀξιοῦμεν καὶ τὰ τῶν ἁγίων Πατέρων τῶν τριακοσίων ιη', καὶ τὰ τοῦ ὁσιωτάτου Λέοντος ἀναγνωσθῆναι· » ὧν ἀναγνωσμένων, ἡ πᾶσα σύνοδος τάδ' ἐπεκραύγασεν· « Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων· οὕτω πάντες πιστεύομεν· ὁ πάππας Λέων οὕτω πιστεύει· Κύριλλος οὕτως ἐπίστευσεν· ὁ πάππας οὕτως ἡρμήνευσεν. » Ἑτέρας τοίνυν διαλαλιᾶς γενομένης, ὥστ' ἀναγνώσεως τυχεῖν καὶ τὰ παρὰ τῶν D ρν' ἁγίων ἐκτεθειμένα, ἀνεγνώσθη καὶ ταῦτα· πρὸς ἃ οἱ τῆς συνόδου αὖθις ἐβόησαν· « Αὕτη ἡ πάντων πίστις· αὕτη ἡ πίστις τῶν ὀρθοδόξων· οὕτω πάντες πιστεύομεν. » Τούτων εἰρημένων Ἀέτιος ὁ ἀρχιδιάκονος παρελθὼν εἶπεν ἀνὰ χεῖρας ἔχειν τὴν πρὸς Νεστόριον ἐπιστολὴν Κυρίλλου τοῦ θεσπεσίου, ἣν οἱ ἐν Ἐφέσῳ ἀθροισθέντες οἰκείαις χερσὶν ἐκύρωσαν· ἔτι δὲ φέρειν καὶ ἑτέραν ἐπιστολὴν αὐτοῦ Κυρίλλου

πρὸς Ἰωάννην τὸν Ἀντιοχείας γραφεῖσαν, ἐπίτης τε καὶ ταύτην βεβαιωθεῖσαν· ἃς καὶ ἐζήτει ἀναγνώσεως ἀξιωθῆναι. Καὶ διαλαλιᾶς γενομένης, καὶ ἄμφω ἀναγνώσεως ἔτυχον, ὧν τῆς προτέρας αὐτοῖς ὀνόμασιν ἡ περιοχὴ ταῦτα ἐδήλου· « Τῷ εὐλαβεστάτῳ καὶ θεοσεβεστάτῳ συλλειτουργῷ Νεστορίῳ Κύριλλος. Καταφλυαροῦσιν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας· καὶ τοῦτο συχνῶς τὰς τῶν ἐν τέλει συνόδους καιροφυλακτοῦντες μάλιστα, καὶ τάχα που καὶ τέρπειν οἰόμενοι τὴν σὴν ἀκοήν. » Καὶ μετ' ὀλίγα· « Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὐτὸν τὸν ἐκ Θεοῦ καὶ Πατρὸς μετὰ φύσιν γεννηθέντα Υἱὸν μονογενῆ, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινόν, τὸ φῶς ἐκ τοῦ φωτός, δι' οὗ τὰ πάντα πεποίηκεν ὁ Πατήρ, κατελθεῖν, σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθεῖν εἰς οὐρανούς. Τούτοις καὶ ἡμᾶς ἕπεσθαι δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς παραδείγμασιν, ἐννοοῦντας, τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν Θεὸν Λόγον. Οὐ γὰρ φαμεν ὅτι ἡ τοῦ Λόγου φύσις μεταποιηθεῖσα γέγονε σάρξ, ἀλλ' οὐδὲ εἰς ὅλον ἄνθρωπον μεταβληθῆναι τὸν ἐκ ψυχῆς καὶ σώματος· ἐκεῖνο δὲ μᾶλλον, ὅτι σάρκα ἐψυχωμένην, ψυχῇ λογικῇ ἑνώσας ὁ Λόγος ἑαυτῷ καθ' ὑπόστασιν, ἀῤῥάστως καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος, καὶ κεχρημάτικεν Υἱὸς ἀνθρώπου· οὐ κατὰ θέλησιν μόνην ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου· καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις· εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ Υἱός· οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν· ἀποτελεσαθεισῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα Κύριον καὶ Χριστὸν καὶ Υἱὸν ἐκ θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀῤῥάστου καὶ ἀπορῥήτου πρὸς ἑνότητα συνδρομῆς. » Καὶ μεθ' ἕτερα· « Ἐπειδὴ δὲ δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν τὸ ἀνθρώπινον προῆλθεν ἐκ γυναικὸς, ταυτὶ λέγεται καὶ γεννηθῆναι σαρκικῶς. Οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινῶς ἐκ τῆς ἁγίας Παρθένου, εἶθ' οὕτως καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ Λόγος· ἀλλ' ἐξ αὐτῆς τῆς μήτρας ἑνωθεὶς ὑπομεῖναι λέγεται γέννησιν σαρκικὴν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. Οὕτω φαμὲν αὐτὸν παθεῖν καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ Θεοῦ Λόγου παθόντος εἰς ἰδίαν φύσιν, ἢ πληγὰς, ἢ διατρήσεις ἥλων, ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων· ἀπαθὲς γὰρ τὸ Θεῖον, ὅτι καὶ ἀσώματον. Ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθε ταῦτα πάλιν, αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. Ἦν γὰρ ἀπαθὴς ἐν τῷ πάσχοντι σώματι. » Τῆς δ' αὖ ἑτέρας ἐπιστολῆς τὰ μὲν πλεῖστα τῇ πρὸ ταύτης ἱστορίᾳ ἐμπεριείληπται· ἔστι δὲ καὶ ἐν αὐτῇ ῥῆσις τοιάδε· ἣν Ἰωάννης μὲν ὁ τῆς Ἀντιόχου ἔγραψεν, ἁπάσαις δὲ ψήφοις προσεδέξατο Κύριλλος, φάσκων· « Ὁμολογοῦμεν τὴν ἁγίαν Παρθένον Θεοτόκον, διὰ τὸ τὸν Θεὸν Λόγον σαρκωθῆναι ἐξ αὐτῆς, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. Τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς ἐπὶ τοῦ Κυρίου φωνὰς ἴσμεν τοὺς θεοφόρους ἄνδρας, τοὺς μὲν κοινοποιοῦντας ὡς

archidiaconum progressum, in manibus se habere divini Cyrilli ad Nestorium epistolam, dixisse, quam manibus suis Patres Ephesi confirmarint. Et aliam item epistolam ipsius Cyrilli ad Joannem Antiochenum, itidem ut alteram illam confirmatam: easque publice legi petiit. Interlocutione igitur facta utrumque scriptum publice lectum esse. Epistola prior hisce verbis composita fuit: « Religiosissimo et piissimo collegæ Nestorio Cyrillus. Obloquuntur, ut audio, nonnulli, de existimatione mea, apud tuam pietatem: et id crebrius faciunt, sollicite admodum, ut cum magistratibus propterea congrediantur, opportunitatem observantes, et fortasse alicubi auribus se tuis rem gratam facere putantes. » Et post pauca: « Sancta igitur et magna synodus profitetur, inquit, ipsum qui ex Deo et Patre natura genitus est, Filium unigenitum ex vero Deo Deum verum, lumen de lumine, per quem Pater condidit omnia, descendisse: incarnatum et hominem factum, et passum esse: resurrexisse tertia die, ascendisse in cœlos. Quæ et nos sequi oportet, doctrina simul et exemplo illud nobiscum reputantes, quid sibi velint verba hæc, Deum Verbum incarnatum et hominem factum esse. Non enim dicimus, Verbi naturam transmutatam carnem factam, sed neque in totum hominem ex anima et corpore constantem versum esse. Verum illud potius, carne rationali anima animata sibi ipsi secundum subsistentiam unita, Verbum eo, qui verbis exprimi et intelligentia percipi nequeat, modo, hominem factum, et Filium hominis dictum esse. Atque **647** id quidem non juxta voluntatem aut beneplacitum solum, sed neque veluti per solius personæ assumptionem, et quod diversæ ad unionem veram convenerint naturæ; verum quod unus ex utrisque Christus et filius factus sit, non quod naturarum diversitas propter unionem sublata sit, sed quod illæ potius unum Dominum et Christum et Filium ex divinitate atque humanitate ineffabili et inenarrabili ad unitatem concursu perfecerint. » Et rursum post pauca: « Quandoquidem vero propter nos et nostram salutem, unita sibi ipsi, juxta subsistentiam, humanitate, processit ex muliere, idcirco carnaliter etiam genitus esse dicitur. Non enim primum communi more ex sancta Virgine homo genitus est, et deinde in eum Verbum pervenit: sed id ex utero ipso unitum, carnalem nativitatem subiisse dicitur, utpote carnis suæ nativitatem proprie sibi asciscens. Sic ipsum dicimus passum esse, et resurrexisse, non quod Deus Verbum propria sua natura passum sit, aut plagas aut clavorum fixuras aut vulnera reliqua exceperit. Divinitas enim perpessioni obnoxia non est, propterea quod etiam incorporea est. Quoniam vero corpus, quod proprie ejus factum est, ista passum est, propterea Verbum ipsum pro nobis passum esse dicitur. Nam id perpessione liberum in corpore perpessioni obnoxio fuit. » Alterius porro epistolæ partes pleræque antea in hoc opere

insertæ sunt. In ea autem dictum quoddam est, a Joanne quidem Antiocheno prolatum, a Cyrillo vero suffragiis omnibus comprobatum, qui sic inquit: « Virginem sanctam, Θεοτόκον, hoc est Dei Genitricem, profitemur, propterea quod Deus Verbum ex ea caro et homo factus sit, et ab ipsa usque conceptione assumptum ex ea templum sibi univerit. Evangelicas vero et apostolicas voces de Domino divinos illos viros scimus partim communiter veluti et una persona protulisse, partim vero tanquam de duabus naturis discrevisse. Et alias quidem magnifice, sicuti Deum decet, juxta divinitatem Christi, alias autem submisse et humiliter, secundum humanitatem ejus tradidisse. » Quibus intulit: « Sacras hasce voces vestras ubi legimus, sicuti et nos ipsos, sentire vos comperimus. Unus enim Dominus, una fides, unum baptisma. Itaque rerum universarum Servatorem Deum glorificavimus, alteri alteris congratulantes, **648** quod congruentem divinitus inspiratis Scripturis, et traditioni sanctorum Patrum nostrorum, nostræ simul et vestræ Ecclesiæ habeant fidem. » Hæc ub lecta sunt (acta synodi habent), synodus exclamavit: « Omnes ita credimus, papa Leo ita credit: Anathema in eum qui vel dividit, vel confundit. » Hæc ipsa Leonis archiepiscopi est fides, Leo ita credit, Leo et Anatolius ita credunt: Omnes ita credimus: et Cyrillus ita credit. Sempiterna est memoria Cyrilli: epistolæ Cyrilli ita sunt, sic sentimus, sic credidimus, sic credimus. Leo archiepiscopus ita sentit, ita credit, ita scripsit. » Atque ubi de Leonis epistola legenda Patres interlocuti sunt, sicuti in Græcum sermonem translata fuerat, et ipsam lectam esse commentarius refert, eamque de verbo ad verbum actis annexam. « Post cujus lectionem episcopi vociferati sunt: Hæc ipsa Patrum fides est: hæc ipsa apostolorum fides: omnes ita credimus. Nos orthodoxi et recte sentientes ita credimus. Anathema in eum qui ita non credit. Petrus per Leonem ita protulit. Apostoli ita docuerunt. Pie et vere Leo docuit. Cyrillus ita docuit. Leo et Cyrillus ad eumdem modum docuerunt. Anathema in eum qui non ita credit. Hæc vera est fides. Orthodoxi ita credunt. Hæc fides est Patrum. Cur hæc Ephesi lecta non sunt? Dioscorus hæc suppressit. » Illud quoque in actorum commentariis reperitur: « Postquam pars quædam epistolæ Leonis lecta est, hoc complectens: Et ad naturæ nostræ debitum persolvendum, natura divina ei quæ perpessioni obnoxia est, unita est, ut quod ita sanationi nostræ affine commodumque esset, unus et idem mediator Dei et hominum Christus Jesus, mori ex altero posset, ex altero prorsus non posset. » De hac voce Leonis Illyricos atque itidem Palæstinos episcopos contendisse: et eum qui dictus est Aetium archidiaconum sanctissimæ Ecclesiæ Constantinopolitanæ, sententiam aliam Cyrilli, hisce verbis compositam protulisse: « Quandoquidem proprium ejus corpus, gratia Dei,

A ἐφ' ἑνὸς προσώπου, τοὺς δὲ διαιροῦντα; ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας. » Οἷς ἐπήγαγε· « Ταῦτας ὑμῶν ταῖς ἱεροῖς ἐντυχόντες φωναῖς, οὗ μὲν καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκομεν· εἷς δὲ Κύριος, μία πίστις, ἓν βάπτισμα. Ἐδοξάσαμεν οὖν τὸν ζῶντων σωτῆρα Θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις Γραφαῖς, καὶ τῇ παραδόσει τῶν ἁγίων ἡμῶν Πατέρων, συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν Ἐκκλησίαι. » Τούτων ἀνεγνωσμένων, τοιούτοις ῥήμασιν οἱ τῆς συνόδου ἐβόησαν· « Πάντες οὕτω πιστεύομεν· ὁ πάπας Λέων οὕτω πιστεύει. Ἀνάθεμα τῷ μερίζοντι καὶ τῷ συγχέοντι. Αὕτη ἡ πίστις Λέοντος τοῦ ἀρχιεπισκόπου· Λέων οὕτως πι-
B στεύει· Λέων καὶ Ἀνατόλιος οὕτω πιστεύουσι. Πάντες οὕτω πιστεύομεν· καὶ Κύριλλος οὕτω πιστεύει. Αἰωνία ἡ μνήμη Κυρίλλου· καὶ αἱ ἐπιστολαὶ Κυρίλλου εἰσὶν οὗ φρονοῦμεν, οὗ ἐπιστεύσαμεν, οὗ πιστεύομεν. Λέων ὁ ἀρχιεπίσκοπος οὕτως φρονεῖ, οὕτω πιστεύει, οὕτω ἔγραψε. » Διαλαλιᾶς δὲ γενομένης ὥστε καὶ τὴν Λέοντος ἀναγνωσθῆναι ἐπιστολὴν, εἰς Ἑλληνα γλῶσσαν μεταβληθεῖσα ἀνεγινώσκετο, ἥτις τοῖς πεπραγμένοις πρὸς λέξιν ἐμφέρεται· ἧς μετὰ τὴν ἀνάγνωσιν ἐπεβόησαν οἱ ἐπίσκοποι· « Αὕτη ἡ πίστις τῶν Πατέρων· αὕτη ἡ πίστις τῶν ἀποστόλων. Πάντες οὕτω πιστεύομεν· οἱ ὀρθόδοξοι οὕτω πιστεύομεν. Ἀνάθεμα τῷ μὴ οὕτω πιστεύοντι. Πέτρος διὰ
C Λέοντος ταῦτα ἐδίδαξεν· οἱ ἀπόστολοι οὕτως ἐδίδαξαν. Εὐσεβῶς καὶ ἀληθῶς Λέων ἐδίδαξε· Κύριλλος οὕτως ἐδίδαξε· Λέων καὶ Κύριλλος ὁμοίως ἐδίδαξαν. Ἀνάθεμα τῷ μὴ οὕτω πιστεύοντι. Αὕτη ἡ ἀληθὴς πίστις· οἱ ὀρθόδοξοι οὕτω φρονοῦσιν. Αὕτη ἡ πίστις τῶν Πατέρων. Ταῦτα ἐν Ἐφέσῳ διὰ τί οὐκ ἀνεγνώσθη; Ταῦτα Διόσκορος ἔκρυψεν. Καὶ τοῦτο δὲ τοῖς πεπραγμένοις ἐμφέρεται· ὡς ἡνίκα τὸ μέρος τῆς ἐπιστολῆς Λέοντος ἀνεγνώσθη, τοῦτοι περιέχον· καὶ πρὸς τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτίσθῆναι, ἡ θεία φύσις ἡνώθη τῇ παθητῇ· ἵνα τοῦτο ἐκ τὸ ταῖς ἡμετέραις ἴδιστιν ὑπάρχον ἀρρόδιον, ὁ εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Χριστὸς Ἰησοῦς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἐνὸς δυνηθῇ, καὶ τελευταῖον ἐκ τοῦ ἑτέρου μὴ δυνηθῇ. »
D Πρὸς ἣν ῥῆσιν Λέοντος τῶν Ἰλλυριῶν ἀμφιβόλους ἐχόντων, ὡσαύτως δὲ καὶ τῶν Παλαιστινῶν ἐπισκόπων, ὁ εἰρημένος Ἀέτιος ὁ ἀρχιδιάκονος τῆς ἁγιωτάτης Ἐκκλησίας Κωνσταντινουπόλεως ἄλλην ῥῆσιν τοῦ ἁγίου Κυρίλλου παρῆγε τάδε διεξιοῦσαν· « Ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ ἀπόστολος Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸν τὸν ὑπὲρ ἡμῶν θάνατον· οὐχ ὡς εἰς πεῖραν ἐλθὼν θανάτου, τόγε ἦκον εἰς τὴν αὐτοῦ φύσιν· ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν· ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου. » Καὶ αὖθις πρὸς τὴν ῥῆσιν τῆς ἐπιστολῆς Λέοντος τὴν λέγουσαν· « Ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν Λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ Λόγου, τοῦ δὲ σώματος ἐκτελοῦν-

τος, ὅπερ ἐστὶ τοῦ σώματος. Καὶ τὸ μὲν αὐτῷ διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. » Τῶν δὲ Ἰλλυριῶν καὶ Παλαιστινῶν αὖθις ἀμφιβαλλόντων, Ἀέτιος ἄλλο Κυρίλλου κεφάλαιον ἀνέγνω περιέχον οὕτως· « Αἱ μὲν ἄλλαι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς· αἱ δὲ μέσην τινὰ τάξιν ἔχουσιν, ἐμφανίζουσαι τὸν Υἱὸν τοῦ Θεοῦ Θεὸν ὄντα καὶ ἄνθρωπον ὁμοῦ ἐν αὐτῷ. » Καὶ μετὰ ταῦτα πρὸς ἕτερον μέρος τῆς ἐπιστολῆς Λέοντος ἀμφιβαλλόντων τῶν εἰρημένων ἐπισκόπων ἔχον οὕτως· « Εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῷ Δεσπότῃ Ἰησοῦ Χριστῷ τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου ἓν πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως· καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. Ἐξ ἡμῶν μὲν γὰρ αὐτῷ ἡ ἐλάττωσις τοῦ Πατρὸς ἀνθρωπότης· ἐκ δὲ τοῦ Πατρὸς ἐστιν αὐτῷ ἡ μετὰ τοῦ Πατρὸς αὐτοῦ ἴση θεότης. » Θεοδώρητος ζυγοστατῶν ἔλεγε καὶ τῷ μακαρίῳ Κυρίλλῳ ἐπὶ λέξεως εἰρῆσθαι οὕτως· « Καὶ γενόμενον ἄνθρωπον καὶ μὴ μεθέντα τὸ ἴδιον, μεμένηκεν ὅπερ ἦν· καὶ ἕτερον ἐν ἑτέρῳ τὸ κατοικοῦν· τουτέστιν ἡ θεία φύσις μετὰ τῶν ἀνθρώπων. » Εἶτα τῶν ὑψηλοτάτων ἀρχόντων πυθομένων εἴ τι ἔτι τις ἀμφισβητεῖ, πάντες εἶπον, μηδαμῶς ἀμφιβάλλειν. Ἐν τούτῳ δὲ Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως ἐνδοῦναί οἱ ἠτεῖτο, ἀταράχῳ διανοίας λογισμῷ ἐν βραχέσιν ἡμέραις τὸ τῷ Θεῷ δοκοῦν καὶ τοῖς θείοις Πατράσι διατυπωθῆναι. Ἐζήτει δὲ λαβεῖν καὶ τὴν ἐπιστολὴν Κυρίλλου τὴν πρὸς Νεστόριον· ἐν ᾗ παρακελεύεται αὐτὸν, συνθέσθαι τοῖς δώδεκα αὐτοῦ κεφαλαίοις, οἷς καὶ οἱ λοιποὶ πάντες συνέθεντο καὶ τῶν ἀρχόντων διαλαλησάντων, ἡμερῶν πέντε δωρίαν ἔδοντο, ὥστε συνελθεῖν Ἀνατολίῳ τῷ προέδρῳ τῆς Κωνσταντινουπόλεως, οἱ ἐπίσκοποι πάντες ἀπεψήφισαν ταῦτα εἰπόντες· « Ἡμεῖς οὕτω πιστεύομεν· πάντες οὕτω πιστεύομεν· ὡς Λέων οὕτω πιστεύομεν. Ἡμῶν οὐδεὶς ἀμφιβάλλει. Ἡμεῖς πάντες ὑπεγράψαμεν. » Περὶ ἃ ἐπὶ ῥήματος ταῦτα λελάληται· « Οὐκ ἀναγκαῖον πάντας ὑμᾶς συνελθεῖν. Ἀλλ' ἐπειδὴ ἀκόλουθόν ἐστι πιστωθῆναι τοὺς ἀμφιβάλλοντας, ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀνατόλιος ἀπὸ τῶν ὑπογραφάντων ἐπιλέξηται οὓς ἐὰν νομίσῃ πρὸς διδασκαλίαν τῶν ἀμφιβαλλόντων. » Οἷς ἐπήγαγον οἱ τῆς συνόδου εὐτῶς· « Δεόμεθα παρὰ τῶν Πατέρων τῇ συνόδῳ τὰς φωνὰς τῷ βασιλεῖ, τὰς ἱκεσίας τῶν ὀρθοδόξων· πάντες ἡμάρτομεν, πᾶσι συγχωρηθείη. » Οἱ δὲ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας ἐπεβόησαν· « Ὀλίγοι κράζουσιν, οὐ λέγει ἡ σύνοδος. » Μεθ' οὓς οἱ τῆς ἕω εἶπον, « Τὸν Αἰγύπτιον τῇ ἐξορίᾳ. » Οἱ δὲ Ἰλλυριοὶ ἐκραύγασαν· « Δεόμεθα, πάντας ἐλέησον. » Μεθ' οὓς οἱ ἀνατολικοὶ, « Τὸν Αἰγύπτιον τῇ ἐξορίᾳ. » Ἐπίσης δὲ καὶ Ἰλλυριῶν λεγόντων, οἱ τῆς Κωνσταντίνου ἐκραύγασαν· « Τὸν Διόσκορον τῇ ἐξορίᾳ· τὸν Αἰγύπτιον τῇ ἐξορίᾳ· τὸν αἱρετικὸν τῇ ἐξορίᾳ· Διόσκορον ὁ Χριστὸς καθεῖλεν. » Οἱ δὲ Ἰλλυριοὶ, « Πάντες ἡμάρτομεν, » εἶπον, « πᾶσι συγχώρησον, Διόσκορον τῇ συνόδῳ· Διόσκορον ταῖς ἐκκλησίαις. » Καὶ ἄλλων δέ τινων

A quemadmodum inquit apostolus Paulus, pro omnibus mortem gustavit, oppetiisse mortem pro nobis ipsum (Verbum scilicet) dicitur: **649** non quod id periculum mortis adierit, quantum ad naturam ipsius pertinet (nam hoc dicere, aut sentire, attoniti stuporis est), sed quod, sicuti modo dixi, caro ejus mortem gustavit.» Rursum ad epistolæ Leonis dictum, quod sic habet: « Operatur namque utraque forma, cum alterius communione, quod ei proprium est, Verbo quidem, id quod Verbi est, perficiente, corpore autem, quod corporis est, absolvente; » atque illud quidem in eo miraculis relucet, hoc autem injuriis et contumeliis subjacet; » ad hoc, inquam, dictum Illyrici et Palæstinis rursum ambigentibus, Aetius aliud Cyrilli B capitulum legit, quod sic habet: « Quædam sane voces quam maxime Deum decent, quædam autem rursus homini conveniunt, quædam porro medium obtinent locum, Filium Dei Deum simul et hominem esse significantes.» Post hæc, de alia epistolæ Leonis parte, quos diximus, episcopi addubitarunt, cujus hæc sunt verba: «Etiamsi enim in Domino Jesu Christo Dei et hominis persona una est, aliud tamen illud est, ex quo in utroque communis est injuria et contumelia: et aliud, eo quo communis consistit gloria. Ex nobis enim in eo est minor Patre humanitas, ex Patre autem æqualis ei cum Patre divinitas.» Ibi tum Theodoritus æqua lance verba ea ponderans, beatum quoque Cyrillum de verbo ad verbum hæc dixisse retulit: « Et homo C factus, eo quod ejus proprium fuit, non mutato, id quod erat permansit, et alterum in altero habitat, videlicet natura divina cum hominibus.» Sub hæc, amplissimi principes, num aliqua adhuc reliqua esset controversia, interrogarunt: et omnes, minime se ambigere dixerunt. Deinde Atticus Nicopolitanus episcopus permitti sibi postulavit, ut in diebus paucis, animo tranquillo et quieto, Dei et divinorum Patrum decretum in constitutionem referre posset. Epistolam quoque Cyrilli ad Nestorium dari sibi petiit, in qua illum Cyrillus, ut duodecim capitibus suis, ita ut alii omnes fecissent, assensionem suam præberet, admonuit. Et principes interloculi, dierum quinque tempus D ei concessere, ut cum Anatolio Constantinopolitano antistite congrederetur. **650** Et episcopi omnes faustis acclamationibus hæc laudarunt, vociferantes: «Nos sic credimus: omnes ita credimus, sicut Leo, ita credimus. Nemo nostrum ambigit. Nos omnes subscripsimus.» Deinde verba hæc dicta sunt: «Non necesse est ut omnes conveniamus. Cæterum quoniam æquum est, ambigentium fidem confirmari, religiosissimus episcopus Anatolius ex subscriptoribus deligat, quos ad ambigentes docendos judicaverit esse idoneos.» Ibi qui in synodo convenerant, intulerunt: « A Patribus petimus, ut Patres synodo restituant, ut voces et preces orthodoxorum ad imperatorem referant: omnes peccavimus, omni-

lus venia detur. » Tum Ecclesiæ Constantinopolitanæ clerus exclamavit : « Pauci vociferantur, non synodus hoc dicit. » Post quos Orientales dixerunt : « Ægyptium in exsilium. » Illyrici autem exclamarunt : « Omnium imperator misereatur, oramus. » Et Orientales : « Ægyptium in exsilium. » Et cum contra ex æquo Illyrici vociferarentur, Constantinopolitani exclamarunt : « Dioscorum in exsilium, Ægyptium in exsilium, hæreticum in exsilium, Dioscorum Christus exauctoravit. » Et Illyrici rursus : « Omnes peccavimus, omnibus gratiam facito : Dioscorum synodo, Dioscorum ecclesiis redde. » Et cum alia quædam in eumdem modum fierent, consessus quoque is finem suum cepit.

A παραπλησίων γεγενημένων, καὶ τὰ τῆς τοιαύτης συνελεύσεως πέρας ἐλάμβανε.

In proxima deinde sessione, postquam senatus per interlocutionem jussisset, ut decreta concilii in constitutionis formam redacta legerentur : progressus Constantinus secretarius, ex scheda hæc recitavit : « De recta quidem et catholica fide sequenti die, conveniente concilio, diligentiorem inquisitionem fieri debere, cernimus. Et quia Flavianus divinæ memoriæ antistes, et Eusebius religiosissimus episcopus, ex actorum commentariorum, qui lecti sunt, inquisitione, et dictis ipsis quorumdam qui synodo tum celebratæ præfuerunt, quique hallucinatos se esse, et perperam eos exauctorasse, qui nihil a fide aberraverint confessi sunt, inique exauctorati esse probati sunt : videtur nobis, pro eo atque Deo æquum esse placet, quatenus hoc etiam divinissimus et religiosissimus noster Dominus arbitrabitur, ut eadem pœna multentur **651** Dioscorus religiosissimus Alexandriæ episcopus, et Juvenalis religiosissimus Hierosolymorum episcopus, et Thalassius religiosissimus Cæsareæ Cappadocum episcopus, et Eusebius religiosissimus Ancyræ episcopus, et Eustathius religiosissimus Beryti episcopus, et Basilius religiosissimus Seleuciæ Isaurorum episcopus, qui tum synodo præfuerunt : videlicet ut juxta sacros canones ab episcopali dignitate sint alieni, et omnia quæ consequenter acta fuerint sacræ majestati referantur. » Et post quarumdam sententiarum lectionem, episcopi qui ibi congregati erant, interrogati sunt, an fidei trecentorum decem et octo, et rursum centum et quinquaginta Patrum, litteræ Leonis papæ consonæ essent? Tum Anatolius Constantinopolitanus episcopus, et reliqui, quam maxime epistolam Leonis concordare cum eis qui dicti sunt patribus responderunt : et confestim cum omnes manuum suarum adnotatione roborarunt. His ita actis, synodus universa exclamavit : « Omnes assentimur, omnes comprobamus, omnes idem credimus, omnes idem sentimus : omnes ita credimus. Patres synodo reddantur, subscriptores synodo reddantur. Vivat ad multos annos imperator Augustus. Vivat ad multos annos imperatrix Augusta. Patres synodo reddantur. Qui idem nobiscum credunt, synodo reddantur. Vivat ad multos annos imperator. Qui nobiscum in sententia concordant, synodo reddantur. Multos annos vivat imperator. Omnes fidei subscripsimus. Sicuti Leo, ita et nos sentimus. » Sub hæc, interlocutio in hæc verba prolata est : « Retulimus ad divinissimum et piissimum dominum

Τῇ δ' ἐφεξῆς συνελεύσει ἐπεὶ ἡ σύγκλητος διελάλησε τοὺς ἤδη γενομένους τύπους ἀναγνωσθῆναι, παρῆν Κωνσταντῖνος σεκρετάριος ἀπὸ σχέδους ἀνέγνω ταῦτα ἐπιλέξεως ἔχοντα· « Περὶ μὲν τῆς ὀρθοδόξου καὶ καθολικῆς πίστεως συνόδου γενομένης μετὰ μίαν, τελεωτέραν καὶ ἀκριβεστέραν ἐξέτασιν δεῖν γενέσθαι συνορῶμεν. Ἐπειδὴ δὲ Φλαβιανὸς ὁ τῆς θείας μνήμης ἐπίσκοπος, καὶ Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐκ τῆς τῶν πεπραγμένων καὶ διεγνωσμένων ἐρεύνης, καὶ αὐτῆς τῆς φωνῆς τινῶν τῶν ἐξάρχων γενομένων τῆς τότε συνόδου, ὁμολογησάντων ἐσφάλθαι καὶ μάτην αὐτοὺς καθῃρηκέναι, οὐδὲν περὶ τὴν πίστιν σφαλέντας, δείκνυνται ἀδίκως καθαιρεθέντες· φαίνεται ἡμῖν κατὰ τὸ τῷ Θεῷ ἀρέσκον δίκαιον εἶναι, εἰ παρασταίη τῷ θειοτάτῳ καὶ εὐλαβεστάτῳ ἡμῶν δεσπότῃ τῶν αὐτῶν ἐπιτιμίων τυχεῖν Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀλεξανδρείας, καὶ Ἰουβενάλιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἱεροσολύμων, καὶ Θαλάσσιον τὸν εὐλαβέστατον ἐπίσκοπον Καισαρείας Καππαδοκίας, καὶ Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀγκύρας, καὶ Εὐστάθιον τὸν εὐλαβέστατον ἐπίσκοπον Βηρυτοῦ, καὶ Βασίλειον τὸν εὐλαβέστατον ἐπίσκοπον Σελευκείας τῆς Ἰσαυρίας, οἳ τῆς τότε συνόδου ἐξῆρχον, κατὰ τοὺς ἱεροὺς κανόνας, τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἀλλοτρίους γενέσθαι, πάντων τῶν παρακολουθησάντων τῇ θείᾳ κορυφῇ γνωριζομένων. » Καὶ μετά τινας ἄλλας ἀναγνώσεις ἠρωτήθησαν οἱ συνειλεγμένοι ἐπίσκοποι, εἰ τῇ πίστει τῶν τιη' Πατέρων καὶ τῶν ρν' συνάδει καὶ τὰ Λέοντος τοῦ πάππα συγγράμματα. Καὶ ἀπεκρίνατο Ἀνατόλιος ὁ τῆς Κωνσταντίνου πρόεδρος καὶ οἱ λοιποὶ, καὶ μάλιστα συνᾴδειν τὴν ἐπιστολὴν Λέοντος τοῖς εἰρημένοις θείοις Πατράσι· καὶ αὐτίκα πάντες ἐκείνην ὑπεσημήναντο. Τούτων δ' οὕτω πραχθέντων, οἱ τῆς συνόδου πάντες ἐπεβόησαν· « Πάντες συντιθέμεθα, πάντες συνανοῦμεν, πάντες ὁμοίως πιστεύομεν, πάντες τὰ αὐτὰ φρονοῦμεν, πάντες οὕτω πιστεύομεν. Τοὺς Πατέρας τῇ συνόδῳ, τοὺς ὑπογράψαντας τῇ συνόδῳ, πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. Τοὺς πατέρας τῇ συνόδῳ, τοὺς ὁμοπίστους τῇ συνόδῳ, πολλὰ τὰ ἔτη τοῦ βασιλέως· τοὺς ὁμόφρονας τῇ συνόδῳ πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Οἱ πάντες τῇ πίστει ὑπεγράψαμεν· ὡς ὁ Λέων οὕτω φρονοῦμεν. » Καὶ εἰσηνέχθη διαλαλιὰ ἔχουσα ὧδε· « Ἀνηνέγκαμεν τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ περὶ αὐτῶν· καὶ ἀναμένομεν τὴν ἀπόκρισιν τῆς αὐτοῦ εὐσεβείας. Ἡ δὲ εὐλάβεια ἡ ὑμετέρα καὶ περὶ Διοσκόρου τοῦ παρ' ὑμῖν καθαιρεθέντος, ἀγνοούσης καὶ τῆς θειοτάτης κορυφῆς καὶ ἡμῶν,

καὶ περὶ αὐτῶν τῶν πέντε, ὑπὲρ ὧν τὴν παράκλη- A
σιν ποιεῖσθε, καὶ πάντων τῶν πεπραγμένων ἐν τῇ
συνόδῳ ἑώσει λόγον τῷ Θεῷ. » Ἐπευφήμησαν λέ-
γοντες· « Διόσκορον ὁ Θεὸς καθεῖλε· Διόσκορος δι-
καίως καθῃρέθη· Διόσκορον ὁ Χριστὸς καθεῖλε. »
Τῆς δ' ἀπὸ Μαρκιανοῦ ἀποκρίσεως ἐνεχθείσης, κἀ-
κείνοις ἐπιτρεπούσης τὰ τῶν καθῃρημένων ἐπισκό-
των, ὡς διὰ τῶν ἀρχόντων ἐδηλώθη, ταῦτα ἡ σύ-
νοδος ἐπὶ λέξεως εἶπε· « Παρακαλοῦμεν αὐτοὺς
εἰσελθεῖν, τοὺς ὁμοδόξους τῇ συνόδῳ, τοὺς ὁμόφρο-
νας τῇ συνόδῳ, τοὺς ὑπογράψαντας τῇ ἐπιστολῇ
Λέοντος τῇ συνόδῳ. » Ἐπὶ τούτοις αἱ δεδομέναι δε-
ήσεις ἐπισκόπων τῆς Αἰγυπτιακῆς διοικήσεως τῷ
βασιλεῖ Μαρκιανῷ ἀναγνώσεως ἔτυχον· αἳ πρὸς τοῖς
ἄλλοις καὶ ταῦτα δὴ περιεῖχον· « Φρονοῦμεν καθὼς
καὶ οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἐν Νικαίᾳ ἐξέθεντο, B
καὶ ὁ μακάριος Ἀθανάσιος, καὶ ὁ ἐν ἁγίοις Κύρι-
λλος, ἀναθεματίζοντες πᾶσαν αἵρεσιν, τήν τε Ἀρείου
καὶ Εὐνομίου, καὶ Μάνου καὶ Νεστορίου, καὶ τῶν
λεγόντων ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ Κυρίου ἡμῶν
εἶναι, καὶ μὴ ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθέ-
νου Μαρίας καθ' ὁμοιότητα πάντων ἡμῶν χωρὶς
ἁμαρτίας. » Πρὸς ἅπερ οἱ τῆς συνόδου ἔκραξαν λέ-
γοντες· « Τὸ δόγμα Εὐτυχοῦς, διὰ τί μὴ καὶ αὐτὸ
καθυπέβαλον ἀναθέματι; Τῇ ἐπιστολῇ Λέοντος ὑπο-
γράψαι ὀφείλουσιν· ἀναθεματίζοντες Εὐτυχεῖ καὶ
τοῖς δόγμασιν αὐτοῦ, σύνθωνται τῇ ἐπιστολῇ Λέον-
τος. Διαπαῖξαι ἡμᾶς βούλονται καὶ ἀπελθεῖν. »
Πρὸς ταῦτα οἱ Αἰγύπτιοι ἐπίσκοποι εἶπον· « Πολλοί
εἰσιν ἐν Αἰγύπτῳ ἐπίσκοποι· καὶ οὐκ ἔξὸν ἡμῖν τὸ
τῶν ἀπολιμπανομένων ἀναδέξασθαι πρόσωπον. » C
Καὶ ἱκεσίαν τῇ συνόδῳ προσῆγον, τὸν αὐτῶν ἀρχιε-
πίσκοπον περιμένειν, ὡς ἂν τῇ ἐκείνου γνώμῃ κατὰ
τὸ συνοδικὸν ἔθος ἔψωνται. Εἰ γὰρ πρὸ τῆς τοῦ κα-
θηγεμόνος βουλῆς τι προαχθῶσι πράξαι, ἐπιθεῖναι
αὐτοῖς τοὺς τῆς ἐπαρχίας ἐπισκόπους. Πολλῆς δ'
ἔριδος μεταξὺ ἐκείνων καὶ τῆς συνόδου γεγενημέ-
νης, μόλις ἐνεδόθη αὐτοῖς ἕως οὗ ἐπίσκοπος ἐκείνοις
προχειρισθείη. Εἶτα δεήσεις τινῶν μοναχῶν παρῆ-
γοντο· ὧν τὸ κεφάλαιον ἦν, μὴ ἐπάγειν ἀνάγκην
αὐτοὺς χάρταις καθυπογράφειν τισὶ, μέχρις ἂν ἡ
πᾶσα σύνοδος ἀθροισθείη, ἣν ἐθέσπιζε βασιλεύς,
καὶ τὰ τετυπωμένα καλῶς διαγνῷ. Ὧν ἀναγνωσθει-
σῶν, Διογένης ἐπίσκοπος Κυζίκου ἀνεῖπεν ἕνα εἶναι
ἐκείνων Βαρσουμᾶν, αὐτὸν γὰρ κράξαι, Σφάξον, ὃς D
σφάξοι Φλαβιανόν· καὶ μὴ ὡς εἰκὸς εἰσέδου τυχεῖν
μὴ ἐγκείμενος ταῖς δεήσεσιν· οἷς ἐπεδόησαν πάντες
οἱ ἐπίσκοποι, « Πᾶσαν Συρίαν Βαρσουμᾶς ἠφάνισεν·
ἐπήγαγεν ἡμῖν χιλίους μονάζοντας· » καὶ λόγου γε-
νομένου τοὺς συνεληλυθότας ἀναμεῖναι τὴν συνοδι-
κὴν διατύπωσιν, οἱ μοναχοὶ κατηξίωσαν τοὺς συν-
τεθέντας τούτοις λιβέλλους ἀναγνωσθῆναι· ὧν μέρος
ἦν, ὥστε Διόσκορον [καὶ τοὺς σὺν αὐτῷ ἐπισκόπους
τῷ συνεδρίῳ παραβαλεῖν. Πρὸς δὲ ταῦτα πάντες οἱ
ἐπίσκοποι ἐπεδόησαν· « Ἀνάθεμα Διοσκόρῳ. Διόσ-
κορον ὁ Χριστὸς καθεῖλε. Τούτους ἔξω βάλε. Ἄρον
ὕβριν τῆς συνόδου· ἄρον βίαν τῆς συνόδου· ἄρον
αἶσχος τῆς συνόδου. » Πρὸς ἃ οἱ μοναχοὶ ἀντιτεί-
νοντες ἔκραζον· « Ἄρον ὕβριν τῶν μοναστηρίων. »

Ὁ δ' Ἀκάκιος τὸ διερρωγὸς σχίσμα συνάπτειν βουλόμενος, πρός τε τοὺς ἐν Αἰγύπτῳ ἐπισκόπους καὶ κληρικοὺς ἔγραφε καὶ πρὸς Πέτρον αὐτόν. Τοῦ δὲ κακοῦ ἐν Ἀλεξανδρείᾳ μᾶλλον ἀκμάζοντος, Πέτρος ἑνίους τῶν ἀρχιμανδριτῶν κοινωνεῖν αὐτῷ ἔπεισε, τά τε ἐν Χαλκηδόνι πραχθέντα καὶ τὸν Λέοντος τόμον περιβαλὼν ἀναθέματι, καὶ ὅσοι μὲν τὰ Διοσκόρου καὶ Τιμοθέου συγγράμματα δέχοιντο· οὓς δὲ πεῖθειν ἥκιστα εἶχε, τῶν σφῶν μοναστηρίων ἐξήλαυνεν. Ἃ δὴ πάντα Ζήνων πρός τινος Νηφαλίου μεμαθηκὼς ἐκεῖθεν ἥκοντος, ταραχθεὶς Κοσμᾶν τινα πέμπων ὑπασπιστὴν οἱ καθεστηκότα, πολλὰ παρῄνει πάντα κάλων κινεῖν ὥστ' ἑνοῦν τὸν λεὼν Πέτρῳ, τοῖς δ' ἄλλως ἔχουσι πολλὰς ἐπάγειν τὰς ἀπειλάς· ὃς τῇ σφετέρᾳ τραχύτητι τοσοῦτον ἀπεῖχε συνάπτειν τὸ διερρωγὸς, ὥστε καὶ διάστασιν μείζονα εἰργασμένος, κενὸς ἐς βασιλέα ἀνέτρεχε, τοῖς ἀπελαθεῖσι μόνοις ἰσχύσας ἀποδοῦναι τὰ κατηγώνια. Μετὰ δὲ τοῦτον ἕτερος πρὸς Ζήνωνος ἔσταλτο, Ἀρσένιος ὄνομα, τῶν ἐν Αἰγύπτῳ στρατιωτικῶν καταλόγων τὴν ἡγεμονίαν ἐγχειρισθείς· ὃς σύναμα τῷ ῥηθέντι Νηφαλίῳ τὴν Ἀλεξάνδρειαν εἰσιὼν, τοὺς τῆς ἑνώσεως αὐτίκα λόγους ἐκίνει. Ἐπεὶ δὲ πείθειν ἥκιστα εἶχε, πολλοὺς ἐκείνων ἀνὰ τὸ Βυζάντιον ἔπεμπεν· οἳ Ζήνωνι πρὸς λόγους ἰόντες, πολλὰ περὶ τῆς ἐν Χαλκηδόνι συνόδου διεξῆσαν. Οὐδὲν δὲ πρὸς ἔργου ἐξέβαινε, Ζήνωνος καθάπαξ τὴν ἐν Χαλκηδόνι σύνοδον διαγράφοντος.

Acacius dissidium quod intervenit tollere et unionem inducere volens, ad episcopos et clericos Ægyptios, atque ad ipsum Petrum scripsit. Sedenim cum id malum Alexandriæ magis magisque invalesceret, Petrus quibusdam episcopis et archimandritis, ut secum communicarent, persuasit : et in acta Chalcedonensia, Leonisque tomum, atque eos qui Dioscori et Timothei scripta non reciperent, anathemata conjecit. Eos vero qui ei non parebant, monasteriis suis exegit. Quæ omnia postquam Zeno ex Nephalio quodam qui Alexandria Constantinopolim venerat, intellexit, magnopere conturbatus, ex satellitibus Cosmam quemdam Alexandriam misit, qui multis admonitionibus omnem funem, ut in proverbio est, moveret, ut plebem et Petrum inter se conciliaret, atque eis qui aliter facerent, minas ingentes denuntiaret. Verum ille severitate sua tantum abest ut quod per dissidium ruptum fuerat, conjunxerit, ut seditionem quoque auxerit, et infectis rebus ad imperatorem redierit, eis tantum qui monasteriis suis exacti fuerant, restitutis. Post hunc autem a Zenone Arsenius, militarium ordinum in Ægypto præfectus, una cum eo qui dictus est Nephalio, Alexandriam missus, de reconciliatione et unione egit. Cum autem nihil efficeret, multos ex Alexandrinis Byzantium misit, qui cum Zenone collocuti, multa de Chalcedonensi synodo disseruerunt.

D

nihil autem ad rem ipsam collatum est, propterea quod Zeno prorsus Chalcedonensem synodum non reciperet. Basilius Cilix memoriæ prodidit, Felicem etiam Acacio condemnationis sententiam qua dignitas ei abrogaretur, misisse, eamque ei in sanctiore sacrario a monachis Dii monasterii redditam esse. Et eam ob causam sectatores ejus, multos ex eis quos diximus monachis occidisse, quosdam vulneratos rejecisse, nonnullos vero custodiis inclusisse : atque Acacium usque adeo exauctorationem eam despexisse, ut mente sensuque omni captus, primus ipse papæ nomen e sacro albo exemerit (1). Et ille ita et animo et corpore est viam.

A Ἱστορεῖ γε μὴν ὁ Κίλιξ Βασίλειος, ὡς καὶ Ἀκακίῳ Φῆλιξ τὴν καθαίρεσιν ἐξαπέστειλεν. Ἐδόθη δὲ αὐτῷ πρὸς τῶν μοναχῶν τῆς Δίου μονῆς τῶν ἀδύτων ἐντός. Οἱ δὲ περὶ αὐτὸν διὰ ταύτην καὶ πολλοὺς μὲν τῶν εἰρημένων μοναχῶν ἀνεῖλον· οὓς δὲ καὶ τραυματίας ποιήσαντες ἤλασαν· ἄλλους δὲ καὶ καθεῖρξαν. Ἀκακίῳ δὲ τοσοῦτον τῆς καθαιρέσεως ἐμέλησεν, ὥστ' ἀναισθήτως διατεθεὶς, πρῶτος καὶ τὸ τοῦ πάππα μνημόσυνον τῶν ἱερῶν περιεῖλε διπτύχων. Οὕτω δ' ἔχων δεσμοῦ καὶ ψυχῆς καὶ τοῦ σώματος, μετὰ βραχὺ τὴν κοινὴν ἅπασι πορείαν ἐστείλατο.

vinctus, brevi post communem omnibus ingressus

684 CAPUT XVIII.

De Flavita Acacii successore, ut is dolo malo sedem episcopalem invaserit.

Post hunc Flavitas (2) Constantinopolitanum suscepit episcopatum : vir, qui quidem presbyter esse visus sit, sed usque adeo audaciam et improbitatem summam pervenerit, ut id quod dicturus sum facinus, satis, qualis is fuerit, indicare possit. Zeno chartam puram in sacro reposuit altari, atque in charta alia per scriptum Deo supplicavit, ut per angeli manum, quæ in hominum conspectum non veniret, nomen ejus ascriberet, quem cœlesti calculo Constantinopolitanæ Ecclesiæ hierarcham præfectum vellet. Atque ob eam rem quadraginta dierum jejunium indixit, et Deum omnes orare, ut qui illi placitus esset, ostenderet, jussit. Hæc ubi Flavitas cognovit, auro multo templi custodem qui idem princeps imperialium cubiculariorum erat, corrupit, ut in charta pura nomen ejus adnotaret, eamque rursum imperatoris sigillo obsignaret. Hoc ubi factum est, atque ubi constitutum jejunii præteriit tempus, sigillo in charta sublato, derepente Flavitas ingenti gloria, perinde atque a Deo designatus esset, affluens, correptus est, et magnifico saltu in patriarchæ thronum is conscendit. Verum enimvero piaculum id omnipotens Providentia non diu latere passa, illusionem eam scenicamque actionem quamprimum in apertum produxit. Infelix enim ille cum non totos quatuor menses in sede ea transegisset, morte repentina ex hominibus sublatus est, cum ne dimidiam quidem partem muneris ejus, quo episcopalem dignitatem redemerat, corradere potuerit. Argentarii hæredibus ejus instituere, et pecuniam nuper

ΚΕΦΑΛ. ΙΗ'.

B *Περὶ Φλαυΐτα τοῦ μετὰ Ἀκάκιον τὴν Κωνσταντίνου ἐπισκοπήσαντος, ὡς δόλῳ τὸν θρόνον ἥρπασε.*

Μετὰ δὲ τοῦτον Φλαυΐτας τὴν τῆς Κωνσταντίνου ἐπισκοπὴν διεδέχετο· ἀνὴρ πρεσβύτερος μὲν εἶναι δοκῶν, ἐπὶ τόσον δὲ τόλμης ἦκων καὶ πονηρίας εἰς τὸ ἀκρότατον, ὡς ἱκανόν γε εἶναι τὸ ῥηθησόμενον τεκμηριῶσαι τὸν ἄνθρωπον. Ζήνων γὰρ χάρτην ἄγραφον κατὰ τῆς ἁγίας ἐπαρῆκε τραπέζης· ἔγγραφον δι' ἑτέρου χάρτου ποιούμενος πρὸς Θεὸν, ὥστ' ἀγγέλου χειρὶ ἀοράτως ἐγγράφεσθαι τοὔνομα, ὃν ἂν ἡ ἄνωθεν ψῆφος ἱεραρχεῖν ἐπιλέξηται τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας. Διά τοι τοῦτο καὶ τεσσαρακονθήμερον νηστείαν ταῖς ἐκκλησίαις ἐθέσπιζε, καὶ πάντας ἐκίνει δεῖσθαι Θεοῦ, ἀναδεῖξαι C τὸν αὐτῷ οἱ ἀρέσοντα. Ἐπὶ δὲ ταῦτα Φλαυΐτας ἀνέγνω, ἀδρῷ χρυσίῳ τὸν τῆς ἐκκλησίας διαφθείρας φρουρὸν, ὃς ἦν τῶν τοῦ βασιλέως πρώτος θαλαμηπόλων, τῷ ἀγράφῳ χάρτῃ τὸ ἐκείνου ὄνομα γραφῆναι παρασκευάζει, καὶ τῷ σφραγιστῆρι αὖθις τὸ βιβλίον ἐνσημανθῆναι. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ ἡ τῆς νηστείας προθεσμία παρῴχηκε, τῆς σφραγῖδος ἐπαρθείσης, αἴφνης ἀνάπαστος Φλαυΐτας ἀπείρῳ δόξῃ περιῤῥεόμενος, ἅτε δὴ θεοπρόβλητος, ἐπὶ τὸν πατριαρχικὸν μετὰ σοβαρῶν τῶν ἁρμάτων ἀνέβαινε θρόνον. Ἀλλ' οὐκ ἐς πολὺ λανθάνειν τὸ ἄγος παρῆκεν ἡ παντοδύναμος Πρόνοια· ἀλλὰ θᾶττον τὸ παίγνιον καὶ τὴν σκηνικὴν δραματουργίαν ἐξήλεγχεν· ὁ γὰρ δυστυχὴς ἐκεῖνος οὐδ' D εἰς τετράμηνον διαρκέσας τῷ θρόνῳ, ἐξ ἀνθρώπων αἰφνιδίῳ μόρῳ ἠφάνιστο, μηδ' τὸ ἥμισυ τῆς δωροδοκίας δυνηθεὶς ἐρανίσασθαι. Οἵ γε μὴν δανεισταὶ τοῖς ἐκείνου κληρονόμοις ἐπέκειντο, τὸ τῆτες εἰσπραττόμενοι δάνειον. Οἱ δ' ἀποτίσαι μὴ ἔχοντες,

(1) In ecclesiasticis censuris et excommunicationibus, causa in primis valet. (Orig.) — Cum aliquis exit a veritate, a timore Dei, a fide, a charitate, exit de castris Ecclesiæ, etiamsi per episcopi vocem minime abjiciatur. Sicut e contrario aliquis non recto judicio foras mittitur : sed si ante non exivit, id est, si non egerit ut mereretur exire, nihil læditur. Interdum enim qui foras mittitur, intus est : et qui foris est, intus videtur retineri. (24, quæst. 3, Aug.) — Custodi intus innocentiam tuam, ubi nemo opprimit causam tuam. Præ-

valebit in te falsum testimonium, sed apud homines. Numquid apud Deum valebit? ubi causa dicenda est. Quando Deus erit judex, alius testis, quam conscientia tua non erit. Inter justum judicem et conscientiam tuam noli timore nisi causam tuam. (11, quæst. 3.)— Quid obest homini, quod ex illa tabula vult eum delere humana ignorantia, si de libro viventium non deleat iniqua conscientia? (Aug., *ibid.*)

(2) Evagrius habet *Phravitas*.

προσῆσαν Ζήνωνι, τῶν πικρῶν δανειστῶν ἀπαλλάττειν δεόμενοι· καὶ τὴν πρᾶξιν μυστικῶς ἐξεκάλυπτον, ἐκείνου βασάνῳ ταύτην γυμνάζοντος. Ἐν ἐκστάσει δὲ Ζήνων γενόμενος τῷ ἀκούσματι, καὶ συνεὶς ὡς οὐ Χριστὸς, Χρυσὸς δὲ μᾶλλον τῷ βιβλίῳ τὸν Φλαυῖταν ἐνέγραψε, κρῖμα ταῖς ἀληθείαις καὶ δικαιοσύνην ἐποίει, τὸ τοῦ Ψαλμοῦ, καὶ τὸν μὲν εὐνοῦχον, ὡς τὴν θεῖκὴν δόξαν σφετερισάμενον, ὀπαχθῆναι ἐκέλευε, τὸ δὲ δάνειον τὴν ἐκείνου περιουσίαν ἀποτίσαι τοῖς δανεισταῖς. Τὴν δ' Ἐκκλησίαν τοῖς ἐπισκόποις ἀνῆκεν, ἐκλέγεσθαι καὶ ἐπιψηφίζειν ὃν ἂρ' αὐτοὶ δεξιὸν εἶναι δοκιμάσαιεν πρὸς τὴν ταύτης ἐπιτροπήν. Καὶ εὐθὺς Εὐφήμιος πρεσβύτερος τῆς ἐκκλησίας, ἀνὴρ λογιώτατος, καὶ ὀρθοδοξίας καὶ ἀρετῆς πάσης ἔμπλεως, ἐπὶ τῶν τῆς Ἐκκλησίας οἰάκων ἀνήγετο.

A admodum mutuo datam exegere. Atque illi quod solvendo non essent, Zenonem adiere, eique ut eos ab acerbis illis creditoribus liberaret, supplicarunt, et rem ipsam secreto ei ipsi qui de illa inquirebat indicarunt. Zeno, ea audita, obstupuit: et postquam non Christum, **685** sed Chrysum, hoc est, aurum potius, Flavitæ nomen in libello illo ascripsisse cognovit, judicium revera et justitiam (juxta Psalmum [1]) fecit: atque eunuchum quidem, qui sibi divinam existimationem et gloriam arrogasset, abigi, pecuniam autem creditam ex substantia ejus dissolvi argentariis jussit. Ipsam vero Ecclesiam episcopis permisit, ut illi suffragiis suis quem idoneum esse procurationi ei B judicarent, eligerent. Sic citra moram omnem, Euphemius, Ecclesiæ presbyter, vir eloquentissimus, orthodoxæ fidei et virtutis omnis studiosissimus, Ecclesiæ gubernandæ præfectus est.

ΚΕΦΑΛ. ΙΘ'.

Περὶ τῶν συνοδικῶν γραμμάτων Φλαυῖτα, Πέτρου τε καὶ Φήλικος, καὶ Εὐφημίου τοῦ μετὰ Φλαυῖταν ἱεραρχήσαντος.

Ἔτι δ' ἀνηνεγμένος ἐπὶ τὸν θρόνον Φλαυῖτας συνοδικοῖς πρὸς τὸν Ἀλεξανδρείας Πέτρον ἐχρήτατο γράμμασιν. Ἀμειβόμενος δ' ὁ Πέτρος τοῖς ἴσοις, τὰ αὐτὰ περὶ τῶν ἐν Χαλκηδόνι πεπραγμένων διέξεισιν, ἀναθέματι ταῦτα καθυποβάλλων. Ἐπεὶ δ' ἐν τῷ μεταξὺ Φλαυῖτας ἐκδημῶν ἦν, τέσσαρας μόνους μῆνας ἱεραρχήσας· Εὐφήμιος δ' ἐπὶ τῶν οἰάκων καθῆστο, καὶ τὰς πρὸς Φλαυῖταν συνοδικὰς Πέτρου ἐδέχετο, C εὑρὼν τὰ ἐν Χαλκηδόνι ὑπὸ ἀνάθεμα ταῖς ἐπιστολαῖς, λίαν διεταράχθη· καὶ τῆς πρὸς Πέτρον κοινωνίας διέστελλεν ἑαυτόν. Παρέθηκα δ' ἂν καὶ ἄμφω τὰ γράμματα Πέτρου τε καὶ Φλαυῖτα, εἰ μὴ τὸ τῆς γραφῆς ἀπεῖργε μακρόστιχον· καίπερ Φλαυῖτα Φήλικι γράφοντος, ὡς ἐκείνῳ μὲν κοινωνεῖ, Πέτρου δὲ τὴν κοινωνίαν ἐκτρέπεται. Ἐπίσης δὲ καὶ πρὸς Πέτρον ἐποίει, ἐκείνου μὲν τὴν κοινωνίαν ἀποδεχόμενος, μὴ προσιέμενος δὲ Φήλικα. Ἃ δὴ καὶ δεξάμενος Φῆλιξ παρά τινων εὐσεβῶν διακομισθέντα, τοὺς πρέσβεις Φλαυῖτα τῆς Ῥώμης ἀτίμους ἤλαυνεν. Εὐφήμιος δ' οὐ μελήσας, ἅμα τῷ τὸν θρόνον ἐγχειρισθῆναι, χερσὶν ἰδίαις τὸ μὲν τοῦ Μογγοῦ ὄνομα τῶν ἱερῶν ἀπήλειφε δέλτων, τὴν δὲ Φήλικος κλῆσιν D ἐνέτατε· καὶ οὕτως ἐπὶ τῶν ἱερῶν ἐκάθιζε θώκων, καὶ συνοδικὰ σχεδιάσας, ἐς Ῥώμην κατ' ἔθος Φήλικι ἔπεμπεν. Ὁ δὲ πάππας τὰ μὲν γραφέντα προσήκατο, καὶ ὡς ὀρθοδόξῳ προσετίθετο Εὐφημίῳ· οὐ μὴν καὶ ἐπισκοπικῆς κοινωνίας αὐτῷ μετεδίδου, ὅτι μὴ καὶ τὸ ὄνομα Ἀκακίου καὶ Φλαυῖτα τῶν ἱερῶν διπτύχων ἀπήλειφε.

CAPUT XIX.

De litteris synodalibus Flavitæ, Petri et Felicis: et de Euphemio, qui post Flavitam episcopatum gessit.

Cum Flavitas adhuc thronum obtineret, synodales ad Petrum Alexandrinum epistolas dedit, et ejusdem generis litteras ab eodem accepit, in quibus eadem de Chalcedonensibus actis, anathemati ea subjiciens, scripsit. Cum autem interea Flavitas ex rebus humanis excessisset, quatuor tantum mensibus episcopatu gesto, et Euphemius Ecclesiam administrandam suscepisset, ut ei Petri ad Flavitam synodales litteræ redderentur, accidit: in quibus ubi res Chalcedonenses anathemate damnatas comperit, perquam est conturbatus, et se a communione Petri subduxit. Apposuissem hic et Petri et Flavitæ litteras, nisi me prolixitas illarum absterruisset. Et Flavitas ad Felicem scribens, se communionis illius esse, Petri autem conjunctionem aversari, significaverat. Idem ad Petrum litteras dans, fecerat: communionem se illius recipere, Felicem autem rejicere, insinuans. Quas litteras ubi Felix a piis quibusdam ad se perlatas accepit, legatos Flavitæ cum contumelia Roma expulit. At Euphemius simul atque episcopatum iniit, nihil moratus, suis ipse manibus in sacris tabulis Moggi nomen expunxit, et Felicis appellationem reposuit: atque in sacro suggestu considens, synodales more recepto epistolas Romam ad Felicem dedit. Porro Papa scripta quidem illius recepit, et Euphemio veluti orthodoxo favit, sed illum in episcopalem communionem non admisit. **686** propterea quod Acacii quoque et Flavitæ nomen in sacro libro non induxisset.

ΚΕΦΑΛ. Κ'.

Ὡς τὸν Μογγὸν Πέτρον Ἀθανάσιος, τὸν δὲ Κναφέα Παλλάδιος διεδέχετο· καὶ περὶ τῶν διαδόχων αὐτῶν.

Μελλόντων δὲ Εὐφημίου καὶ Πέτρου πρὸς ἀλλήλους διαφέρεσθαι, καὶ συνόδους ἐφ' ἑαυτοὺς κατ' ἀλλήλων

CAPUT XX.

Ut Petro Moggo Athanasius, et Cnapheo Palladius successerit: deque eorumdem successoribus.

Et cum Euphemius et Petrus inter se dissensuri, et synodos in provinciis suis, alter adversus alte-

[1] Psal. CII, 6 et alibi.

ram, propter Chalcedonensem synodum congregaturi essent, Petrus Alexandriæ e vita excessit, eique Athanasius, cognomento Celetes sive Hieruosus, in episcopali throno successit. Atque is cum multa quoque experiretur, ut dissidentia membra conjungeret, nihil tamen egit. In multas namque et varias opiniones discesserant. Non multo vero post et Petrus Gnapheus, Antiochiæ defunctus, Palladium successorem habuit. Cujus suffragator etiam fuit Anastasius Dicorus, qui post Zenonem Romanum male administravit imperium. Porro Athanasius synodalia scripta ad Palladium mittens, eadem et ipse quæ Moggus de Chalcedonensi synodo retulit. Idem fecit Joannes quoque, qui post eum Alexandrinæ præfuit Ecclesiæ. Sed et Palladio Antiocheno mortuo, et Flaviano procurationem ejus sortito, Solomon quidam Antiochiæ presbyter Alexandriam cum synodalibus litteris missus est, solitas rursum ejuscemodi epistolas a Joanne ad Flavianum requirens. Ea quoque scripta idem de synodo pronuntiabant. Huic vero Joanni Joannes alter Alexandriæ successit, de quibus paulo post dicemus. Nam ad aliquot usque Anastasii imperii annos, ad hunc modum res Ecclesiarum processere. Euphemium namque ille expulit. Hæc vero ita ordine exponere, quo facilius intelligerentur, coactus sum. Et Ecclesiæ quidem tum sic habebant. Nos autem orationem ad alia convertamus.

A ἔλκειν διὰ τὴν ἐν Χαλκηδόνι σύνοδον, φθάνει Πέτρος ἐν Ἀλεξανδρείᾳ τὸ βιώσιμον ἀπειπών· καὶ διάδοχος ἐκείνῳ τοῦ θρόνου καθίσταται Ἀθανάσιος ὁ ἐπίκλην Κηλήτης. Πολλὴν δ' οὗτος πεῖραν εἰσαγαγὼν ὥστε τὰ διεστῶτα μέλη συναγαγεῖν, οὐδὲν ἤνυσεν· εἰς πολλὰς γὰρ καὶ διαφόρους ἀπεκρίθησαν δόξας. Οὐκ εἰς μακρὰν δὲ καὶ Πέτρος ὁ Κναφεὺς ἀνὰ τὴν Ἀντιόχου τέλει τοῦ βίου χρησάμενος, Παλλάδιον ἔσχε διάδοχον· ᾧ σύμψηφος ἐγεγόνει καὶ ὁ Δίκορος Ἀναστάσιος, ὁ κακῶς μετὰ Ζήνωνα τὴν Ῥωμαίων ἡγεμονεύσας. Συνοδικὰ δὲ πέμπων καὶ Ἀθανάσιος πρὸς Παλλάδιον, τὰ παραπλήσια τῷ Μογγῷ, καὶ οὗτος περὶ τῆς ἐν Χαλκηδόνι συνόδου ἠγόρευε· τὰ ἴσα καὶ ὁ μετ' αὐτὸν Ἰωάννης τὸν τῆς Ἀλεξάνδρου θρόνον ἐπιστατῶν ἔλεγεν. Ἀλλὰ καὶ τοῦ Ἀντιοχείας
B Παλλαδίου θανόντος, καὶ Φλαβιανοῦ τὴν ἐπιτροπὴν ἐκείνου προτειληφότος, Σολομῶν τις Ἀντιοχείας πρεσβύτερος εἰς τὴν Ἀλεξάνδρου πρὸς Ἰωάννην ἐπέμπετο, τὰ συνοδικὰ κομίζων, καὶ τὰς εἰωθυίας ἀμοιβαίας ἐπιστολὰς ἀπαιτῶν Ἰωάννου πρὸς Φλαβιανόν· αἳ καὶ αὐταὶ τὸν ἴσον κατὰ τῆς συνόδου διηγόρευον τρόπον. Τοῦτον δὲ τὸν Ἰωάννην Ἰωάννης ἕτερος ἀνὰ τὴν Ἀλεξάνδρειαν διεδέχετο· περὶ ὧν μικρὸν ὕστερον ἐροῦμεν. Μέχρι γάρ τινος τῶν Ἀναστασίου χρόνων οὕτω τὰ τῶν Ἐκκλησιῶν προεχώρησεν· Εὐφήμιον γὰρ ἐκεῖνος ἀπήλασε. Ταῦτα δ' οὕτω καθ' εἱρμὸν ἠναγκάσθημεν παραθεῖναι διὰ τὸ εἰς κατάληψιν πρόχειρον. Τὰ μὲν οὖν τῶν Ἐκκλησιῶν οὕτω τηνικαῦτα ἐφέρετο· ἡμεῖς δ' ἐφ' ἕτερα
C τὸν λόγον ἀγάγωμεν.

687 CAPUT XXI.

De Theuderici Scythæ vastatione, et ut is interierit.

Theudericus (1) Scytha, magnis comparatis opibus, adversus Zenonem arma cepit. Et cum copiis in Thracia coactis Romanam ditionem ingressus, obvia quæque diripuit, et usque ad os Euxini pervenit. Atque ille imperialem etiam fere cepisset urbem, nisi ex necessariis ejus quidam vitæ ejus insidiati fuissent. Quos veritus, retrocessit. Neque ita multum intercessit temporis, cum vitam etiam finivit, per causam hujusmodi. Hasta expeditæ patrio more pro tabernaculo ejus sublimis collocata erat. Cum autem corpus exercere deberet, equum adduci jussit : cumque uti minime soleret, ex terra in illum insiluit. Quod autem ex pascuis et equitio is nuper admodum venisset, ferocitatemque spiraret, necdum Theuderichus recte ei insedisset, priores pedes in sublime jactans, posterioribus tantum institit. Theudericus autem cum equo concertans, neque freno cohibere eum potuit (ne scilicet fera super eum resupina concideret), neque satis certo aut firmiter illi inhæsit. Atque cum ita cum equo huc atque illuc in gyrum verteretur, nescio quomodo hastam illam concussit : et illa obliquo in eum illata latus ejus vulneravit. Ex quo

(1) Theoderichus, Theodemiri filius, Ostrogothorum rex, a Zenone patricia et consulari dignitate est exornatus. (Blond.) Idem Odoacrum vicit, et Italiam obtinuit.

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῆς ἐπαναστάσεως Θευδερίχου τοῦ Σκύθου, καὶ ὡς διεφθάρη.

Θευδέριχος ὁ Σκύθης, ἐπὶ μέγα δυνάμεως προελθών, ἐπανίσταται Ζήνωνι· καὶ τὰς ἐν Θράκῃ ξυνάμεις ἀθροίσας, ἔπεισι πάντα τὰ ἐν ποσὶ λείαν ποιούμενος, ἄχρι δὴ καὶ τοῦ κατὰ τὸν Εὔξεινον στόματος παραβραχὺ δ' ἂν καὶ τὴν βασίλειον εἶλε πόλιν, εἰ γε μὴ τῶν ἐπιτηδείων τινὲς ἐπίβουλα φρονήσαντες, ἀφαιρεῖσθαι αὐτῷ τὴν ζωὴν ἐπειρῶντο· οὓς δείσας, ἐς τοὐπίσω ἐχώρει. Καὶ χρόνου δ' οὐ πολλοῦ διαγενομένου, τὸν βίον μετήλλαττε τοιᾷδε ἠγησαμένης αἰτίας. Τὸ δόρυ αὐτῷ " διηγγελμένον κατ' ἔθος τι
D ἐπιχώριον, πρὸ τῆς ἐκείνου σκηνῆς ἀπηώρητο· δεῆσαν δὲ τὸ σῶμα γυμνάσαι, ἵππον ἐκέλευεν ἄγεσθαι. Οὐκ εἰωθὼς δ' ἔχων, γῆθεν τῷ ἵππῳ προσήλατο. Ὁ δ' ἄρτι ἐκ βοτάνης ἥκων, ἅτ' ἀγελαῖος καὶ ὕβριν πνέων, μήπω περιβάδην τοῦ Θευδερίχου ἐπαναβάντος, τοὺς ἐμπροσθίους τοῖν ποδοῖν μετεώρους εἶχε, τοῖς ὀπισθίοις μόνοις ἀκροβατῶν. Διαφιλονεικῶν δ' ὁ Θευδέριχος, οὔτε χαλινῷ ὀναστέλλειν εἶχεν, ἵνα μὴ ἐμπέσοι αὐτῷ, καὶ τῆς ἕδρας οὐ πάνυ τι βεβαίως ἐξείχετο. Οὕτω δ' ἔνθεν κἀκεῖθεν σὺν τῷ ἵππῳ περιδονούμενος, οὐκ οἶδ' ὅπως τὴν αἰχμὴν διασείει· παγία δ' ἐπ' αὐτὸν ἐναχθεῖσα, βάλλει κατὰ πλευράν· ἐντεῦθεν δὲ κλινήρη γενόμενον, μετ' ὀλίγον σφακε-

λισθέντων αὐτῷ τῶν ἔνδον τῷ τῆς αἰχμῆς τραύματι, τὸ βιοῦν καταστρέψαι.

vulnere lecto affixus, ubi viscera ejus ex convulsione et inflammatione commarcuerunt, brevi vitam amisit.

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τῆς τυραννίδος Μαρκιανοῦ, Ἀνθεμίου παιδὸς τοῦ ἐν Ῥώμῃ κρατήσαντος· καὶ ὡς ληφθεὶς, ἱερωσύνῃ τιμᾶται.

Μετὰ τοῦτον Μαρκιανὸς τῷ Ζήνωνι ἐπανίσταται· ὃς παῖς μὲν ἦν Ἀνθεμίου, τοῦ ἐν Ῥώμῃ οὐ πρὸ πολλοῦ βεβασιλευκότος· κῆδος δ' ἐπὶ θυγατρὶ Λεοντίᾳ τῷ πενθερῷ Ζήνωνος εἶχε τῷ βασιλεύσαντι Λέοντι. Προσήκειν γὰρ μᾶλλον ἑαυτῷ ᾤετο τὴν ἀρχὴν, τὴν νεωτέραν τῶν θυγατέρων Λέοντος γήμαντι, ἣν ἐκείνῳ Βηρίνα ἐπὶ τῆς ἀρχῆς ὄντι ἐγέννα· τὴν γὰρ Ἀριάδνην ἰδιοπραγῶν ἔτι προῆγε· καὶ διὰ τοῦτο τυραννεῖν ἐπειρᾶτο. Ἰσχυρᾶς δὲ μάχης συῤῥαγείσης περὶ τὰ ἀνάκτορα, φόνος ἑκατέρωθεν ἐῤῥύη πολύς· ἡ νίκη δ' ὅμως ἐπὶ Μαρκιανὸν ἔβαινεν· καί γε ἂν τῶν τε σκήπτρων καὶ τῶν ἀνακτόρων ἐν κατοχῇ ἦν, εἰ μὴ ἀναβολῇ ἐχρήσατο τῇ ἑσαύριον. Ὀξυπετὴς γὰρ ἀεὶ ὁ καιρὸς, καὶ ἁλώσεταί πως, τινὶ παρὰ πόδας ἰών· εἰ δ' ἀποδράσοι, ὑφοῦ ἐς ἀέρα βαίνει μετέωρος, ἐπεγγελῶν τοὺς διώκοντας, οὐδαμῇ αὐτοῖς ἐφικτὸς εἶναι ἐθέλων. Ἀμέλει τοι καὶ ὅσοι δὴ πλάσται καὶ γραφεῖς εἰκόνων εἰσὶ, κόμην μὲν ἐπὶ μετώπῳ καθιᾶσιν αὐτῷ, ἀνθρωπίνην περιπλάττοντες κεφαλήν· τὰ δ' ὄπισθεν περὶ τὸν ἐγκέφαλον ἐν χρῷ ξυρῶσι, σοφῶς μάλα ὑπαινιττόμενοι, ὡς εἴ γ' ὀπισθόπους ὢν τύχοι, τῷ καθειμένῳ τῆς κόμης ἴσως ἁλώσεται· ἔμπροσθεν δὲ τὼ πόδε γενόμενος, κρατεῖσθαι ἥκιστα ῥᾴδιος παντάπασιν ἀποφεύγων· μηδ' ὅθεν κρατηθείη παρέχων λαβὴν τῷ διώκοντι. Ὅ δὴ τηνικαῦτα συνέπιπτε καὶ Μαρκιανῷ, τὸν μὲν προσήκοντα καιρὸν ἀναβαλλομένῳ, τοῦ λοιποῦ δὲ τοῦτον μὴ δυνηθέντι πορίσασθαι. Τῇ γὰρ ἐπιούσῃ πρὸς τῶν οἰκείων καταπροδοθείς, καὶ μόνος γενόμενος τῷ τῶν ἱερῶν ἀποστόλων τεμένει ἱκέτης ἦν. Ὅθεν πρὸς βίαν ἀφελκυσθείς, ἐς τὴν Καππαδοκῶν ἀπορρίπτεται· μικρὸν δ' ἔσαν φωραταί τισι μοναχοὶ, φυγὴν ἑαυτῷ μνηστευόμενος· κἀκεῖθεν εἰς Ταρσὸν τῆς Κιλικίας ἀχθεὶς, καὶ τὴν κόμην ἀποβαλὼν, ἱερωσύνῃ τιμᾶται. Ἃ δὴ μάλα κομψῶς Εὐστάθιος ὁ ῥήτωρ ἱστόρησεν, ὃς καὶ τάδε συγγράφει.

CAPUT XXII.

De Marciani tyrannide. Anthemii, qui Romæ obtinuerat imperium, filii: et ut idem Marcianus captus, sacerdotali dignitate sit decoratus.

Post hunc adversus Zenonem bellum movit Marcianus, Anthemii, qui non multo ante Romæ imperaverat, filius, Leontiam, Leonis Romani imperatoris Zenonis soceri filiam, in matrimonio habens. Is enim ad se magis quam ad Zenonem imperium pertinere putabat, quod minorem natu Leonis filiam, quam illi Verina imperii tempore genuit, conjugem haberet, Ariadnam autem Leo adhuc privatus ex uxore sua sustulisset. Eam ob causam Marcianus ad tyrannidem spectavit. Et pugna ad imperiale palatium commissa, cædes utrinque facta ingens, **688** et victoria Marciani fuit. Atque ille et sceptro potitus esset, et palatium occupasset, nisi rem in crastinum distulisset. Celerrima namque aquila est temporis opportunitas et occasio: quæ ad pedes advolans, capi a quopiam potest: sin aufugiat, in altum aerem sublimis sublata, eos qui se persequuntur ridet, neque ut ad eos redeat, in animum inducit. Proinde quicunque imagines vel pingunt, vel fingunt, Occasioni caput humanum tribuentes, comam in fronte demittunt, occipitium autem ad ipsam usque cutim tondent, subobscure quidem, sed sapienter admodum indicantes, si ea a tergo tardius nos sequatur, coma prolixiore teneri fortasse comprehensam posse: sin præcedat, minime prehendi facillime avolantem, neque persequenti quidquam quo teneatur præbentem. Id tum Marciano accidit. Cum namque tempus opportunum neglexisset, nancisci id deinde haudquaquam potuit. Postridie enim diei ejus a suis desertus, solus ad sacrorum Apostolorum templum supplex confugit: unde per vim extractus, Cæsaream Cappadociæ missus est, et paulo post inter monachos quosdam latitare et fugam meditari deprehensus, Tarsum inde Ciliciæ abductus est, ubi capite raso sacerdotii dignitate est cohonestatus. Quam rem Eustathius Syrus rhetor, qui hæc conscripsit, sane quam eleganter memoriæ prodidit.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τυραννίδος Ἴλλου καὶ Λεοντίου· καὶ περὶ τῶν κτισμάτων Ἀμμιανοῦ.

Ὡς Ζήνων τῇ ἰδίᾳ πενθερᾷ Βηρίνῃ ἐπιβουλὰς συῤῥάψειε πλείστας, τέλος δὲ καὶ πρὸς τὴν Κιλίκων ἐποίει ἐξόριστον· ὕστερον δὲ καὶ πρὸς τὸ Παπυρίου γενέσθαι φρούριον· ὅπηνίκα Ἴλλοῦς καὶ Λεόντιος ἐτυράννησαν, περιθεμένης ἐκείνοις τὰ τῆς ἀρχῆς· ἔνθα δὴ καὶ τὸν βίον συνέβη ταύτην ἀπολιπεῖν. Λαμυρᾷ δὲ γλώττῃ καὶ τὰ κατὰ Ἴλλοῦν ἱστορεῖ ὁ Εὐστάθιος· ὅπως τε τὴν ἐπιβουλὴν Ζήνωνος διέῤῥα, καὶ ὡς τὸν πεμφθέντα αὐτὸν ἀνελεῖν, Ζήνων μᾶλλον ἀνεῖλε· ποινὴν τῆς ἀστοχίας, τὴν τῆς κεφαλῆς

CAPUT XXIII.

De Illi et Leontii tyrannide, et de structuris atque ædificiis Ammiani.

Idem Eustathius quoque refert, Zenonem socrui Verinæ varie insidias tetendisse, et postremum eam Tarsum in Ciliciam relegasse: quæ postea cum in Papyrii castello esset, quo tempore Illus et Leontius, quibus ipsa imperii insignia contulerat, tyrannidem exercuerunt, vitam ibi finivit. Historiam Illi Eustathius quoque stylo terso prosequitur: quemadmodum videlicet is Zenonis insidias effugerit, et Zenonem qui ad Illum necandum percussor submissus fuerat, jugulari præceperit: ea-

pitis supplicium pro eo quod Illi cædes ei non successisset, veluti multam reportantem. Zenonem deinde rem eam consulto premere volentem, Illum Orientalibus copiis præfecisse : Illum autem, Leontio et Pamprepe in societatem ascitis, **689** tyrannidem in Cilicia apud Tarsum arripuisse. Adhæc Eustathius idem addit, nihil illis tyrannidem profuisse, eo quod Theuderichus Gothus cum ingentibus provincialibus simul et externis copiis adversus eos a Zenone missus sit, cujus etiam jussu miserandum in modum sint occisi, condignam ab eo, quod illum in imperium restituissent, gratiam ferentes. Addit rhetor idem illud quoque Theuderichum, quem Zeno consulem et Thraciæ ducem renuntiaverat, ubi insidias sibi ab eo strui sensit, adversus veterem Romam exercitum duxisse, Odoacrum bello vicisse, et regia veste sumpta, regem se dixisse : multas præterea Occidentales gentes absque prælio, item Vandalos, magnam urbem Romam, et (ut semel dicam) Hesperiam plagam omnem cepisse, atque ditioni suæ subjecisse. Sunt qui dicunt, Zenonis suggestione ea Theuderichum egisse. Eodem tempore et Mammianus, vir curuli honore clarus, et ex ordine senatorio in Daphne, qui suburbanus Antiochiæ vicus fuit, ædificium construxit, quod ab illis Antiforum dictum est. Intra urbem autem imperiales duas porticus magnifice admodum, magni pretii et varii coloris lapidibus exornatas condidit : inter quas Tetrapylum medium ingentibus columnis et ære conspicuum statuit, solo lapide Proconesio constrato. Hæc de his hactenus.

CAPUT XXIV.

De obitu Zenonis, et electione Anastasii Dicori.

Zeno (1) finem vitæ sibi appropinquare videns, ex eis qui futura prædicere existimantur, Maurianum quemdam nomine, quisnam post eum (liberos enim ex lumbis suis procreatos non habebat) imperaturus esset, consuluit. Qui respondisse dicitur, ex Silentiariis aliquem non imperium modo, sed et uxorem ejus recepturum esse. Zeno autem, quod Pelagium designari putabat, virum præclarum et sapientem, ferro eum cædi jussit, atque insuper alios etiam nihil commeritos necari curavit. Et morbo comitiali correptus, quod vim ejus non ferret, animam egit, Pelagii **690** nomen in ore habens. Fertur etiam, quod eum Ariadna conjux odisset, cum epilepsiæ doloribus distenderetur, et speciem defuncti præberet, vivum adhuc ab illa sepulcro inclusum esse. Alii vero tradunt, cum ex ebrietate sensum omnem amisisset, in tumulum conjectum esse : et postquam ad seipsum per sobrietatem rediisset in ipso monumento exclamasse, vitam se solam, non etiam im-

(1) Zenone principe incendium sævissimum fuit, in quo præter maximam urbis partem conflagratam, centum et viginti millia librorum disperiere. Et in his et Homeri poema intestino dra-

A ἀφαίρεσιν ὑποσχόντα· ἐν ἐπιτηδείῳ δὲ λανθάνειν πειρώμενος, τῶν Ἑώων ἐξηγεῖσθαι δυνάμεων ἔστατε τὸν Ἴλλοῦν. Ἐκεῖνος δὲ Λεοντίῳ φιλιωθεὶς σὺν Παμπρεπίῳ, τυραννεῖν ἐπέβαλον περὶ Ταρσὸν τῆς Κιλικίας. Ἐπὶ δὴ τούτοις, ὡς μηδὲν τῆς τυραννίδος ὀνάμενοι, Θευδερίχου τοῦ Γότθου κατ' αὐτῶν στρατῷ ἐπελθόντος· μεγάλῳ, σὺν ἡμεδαπῇ καὶ ἀλλοδαπῇ δυνάμει δεινὰ ἀνήρηνται· ἀξίαν ἀμοιβὴν οἷς ἐκεῖνῳ τὴν τῆς βασιλείας ἐπάνοδον ἐχαρίσαντο εὑρηκότες. Καὶ τοῦτο δὲ τῷ συγγράμματι καταλέγει Εὐστάθιος· ὡς Θευδέριχος αἰσθόμενος τῆς κατ' ἐκείνου βουλῆς, ὃν ὕπατον ἀνηγόρευε καὶ στρατηγὸν Θρᾴκης, ἐπὶ τὴν ἀρχαιοτέραν Ῥώμην ἐχώρει· καὶ Ὀδόακρον μάχῃ κρατήσας, τῆδενναν περιέθετο, καὶ ῥῆγα ἑαυτὸν ἀνεῖπε. Πολλὰ δὲ καὶ B τῶν Ἑσπερίων ἐθνῶν ἀμαχεὶ ἐχειρώσατο· καὶ Οὐανδήλους, Ῥώμην τε αὖ τὴν μεγάλην καὶ, ἁπλῶς εἰπεῖν, πᾶσαν τὴν ἑσπερίαν λῆξιν ὑφ' ἑαυτὸν ἐποιήσατο· εἰσὶ δὲ οἳ φασιν ὑποθήκαις Ζήνωνος ταῦτα τὸν Θευδέριχον καταπράξασθαι. Τηνικαῦτα δὲ καὶ Μαμμιανὸς, ἀνὴρ ἐξ ἐπιδιφρίων ἐπίσημος καὶ συγκλήτου βουλῆς μετασχών, κατὰ Δάφνην τὸ τῆς Ἀντιόχου προάστειον τὸ παρ' ἐκείνοις ἐγεῖραι ἀντίφορον· καὶ δύο δὲ βασιλείους στοὰς ἔνδον στῆσαι, εὐπρεπεῖς ἰσάγαν, λίθων τε πολυτελέσι χρόαις ᾠραϊσμένας· τετράπυλόν τε μέσον τῶν δύο βασιλείων στοῶν μεγαλοπρεπῶς ἐγεῖραι, κίοσιν ἐξαισίοις καὶ τῇ ἐν χαλκῷ ὕλῃ μάλα κομψῶς ἠσκημένας, καὶ λίθῳ τῷ ἐκ Προικονήσου τοὐδαφος καὶ τἆλλα ἡμφιεσμένας. Ταῦτα μὲν περὶ τούτων.

C

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς τελευτῆς Ζήνωνος καὶ ἀναγορεύσεως Ἀναστασίου τοῦ Δικόρου.

Τῷ δὲ Ζήνωνι τοῦ τέλους ἐγγίζοντος, τῶν τινα τὸ μέλλον εἰδέναι νομιζομένων Μαυριανὸν ὄνομα διηρώτα, τίνι ἄρα μετ' αὐτὸν ἡ ἀρχὴ προσκυρήσει· παῖδα γὰρ ἐξ ὀσφύος οὐκ ἔσχε· τὸν δὲ φάναι λέγεται, τινὰ τῶν ἀπὸ Σιλεντιαρίων, οὐ τὴν ἀρχήν γε μόνον, ἀλλὰ καὶ τὴν γαμετὴν λήψεσθαι. Πελάγιον δὲ οἰηθεὶς τοῦτον εἶναι, ἄνδρα περίδοξόν τινα καὶ σοφίᾳ προήκοντα, ὑπῆγε τῷ ξίφει, καὶ ἄλλους δ' ἀνῄρει μηδὲν ἀδικήσαντας· ἐπιληψίᾳ δὲ συσχεθεὶς τῷ τοῦ πράγματος ἀνυποίστῳ, θνήσκει τὴν Πελαγίου προσηγορίαν ἀνὰ στόμα φέρων. Φασί γε μὴν ὡς τῇ γυναικὶ Ἀριάδνῃ διὰ μίσους ὢν, ταῖς ἐκ τῆς D ἐπιληψίας περιωδυνίαις ληφθεὶς, καὶ δόξαν παρεσχηκὼς ὡς ἤδη θάνοι, ἔτι ζῶν ὑπ' αὐτῆς τῷ τάφῳ περιεκλείσθη· ἄλλοι δὲ μέθῃ σχεθέντα καὶ ἀναισθήτως ἔχοντα, τῇ σορῷ καθειρχθῆναί φασιν· ἀνανήψαντα δὲ κάτωθεν ἐκβοᾶν, ζωῆς μόνης, οὐ μὴν τῆς ἀρχῆς ἐφίεσθαι· καὶ ἐνόρκως αὐτῇ· τῷ βουλομένῳ παραχωρεῖν. Τὸν δὴ τοιαῦτα λέγοντα οὐδεὶς ἦν εἰκτείρων, Ἀριάδνης ἐπεχούσης τῆς γυναικός. Καὶ ὁ

conis CXX pedum aureis litteris descriptum. (Egnat.) Adnotatio est de Zenone ex Suida in fine hujus libri.

μὲν τοῦτον ἀπεβίω τὸν τρόπον, ἑπτακαιδέκατον ἔτος τὴν βασιλείαν τυραννήσας Ῥωμαίων· οἷς καὶ οἱ Βασιλίσκου μῆνες ἠριθμηνται. Τούτων δ' οὕτω γενομένων, ἦλπισε μὲν Λογγῖνος ὁ Ζήνωνος ἀδελφὸς, ἐς πολύ τι καὶ μέγα δυνάμεως ἥκων, περιποιεῖν τὴν ἀρχὴν ἑαυτῷ· ἀλλ' ἐσφάλη παντάπασιν. Ἡ γὰρ Ἀριάδνη σὺν τῇ συγκλήτῳ, Ἀναστασίῳ τῷ Δικόρῳ μήπω ἐς γερουσίαν τελέσαντι, τὸν τῆς βασιλείας περιτίθησι στέφανον, τῇ σχολῇ δὲ τῶν Σιλεντιαρίων κατειλεγμένῳ. Ὁ δ' Εὐστάθιος, οὗ πρώην ἐμνήσθημεν, ἱστορεῖ μετὰ τὴν ἀνάρρησιν Διοκλητιανοῦ τοῦ τυράννου ἄχρι τέλους Ζήνωνος καὶ ἀναγορεύσεως Ἀναστασίου, διελθεῖν ἔτη πρὸς τοῖς ἑπτὰ διακόσια· ἀφ' οὗ δ' Αὔγουστος μόναρχος ἤρθη, δύο ἔτη καὶ τριάκοντα καὶ πεντακόσια πρὸς μησὶν ἑπτά· ἀπὸ δ' Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀρχῆς, ἑπτὰ μῆνας σὺν δυσὶν ἔτεσι τριάκοντά τε ὀκτακόσια· ἐκ δὲ τῆς Ῥωμαίων καὶ Ῥωμύλου βασιλείας, χίλια καὶ πεντήκοντα πρὸς δυσὶ, πρὸς δὲ καὶ μῆνας ἑπτά· ἀπὸ δὲ ἁλώσεως Τροίας, ἓξ καὶ ὀγδοήκοντα, ἑξακόσιά τε καὶ χίλια ἔτη πρὸς μησὶν ἑπτά· ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου σαρκώσεως, τετρακόσια ϟ' καὶ δύο· ἀπὸ δὲ Ἀδάμ, ,ϛφδ'.

A perium petere, paratumque esse cuivis jurejurando interposito eo cedere, neminem autem illum ea dicentem, propterea quod conjux Ariadna id prohibuisset, miseratum esse. Hic ad hunc modum vitam finivit, cum decem et septem annos in imperio tyrannidem exercuisset. Quibus annis Basilisci etiam menses connumerati sunt. His ita gestis, Longinus Zenonis frater, quod ad magnam potentiam pervenisset, imperium se sibi vendicaturum speravit. Verum ille opinione sua falsus est. Nam Ariadna una cum senatorum ordine, Anastasio Dicoro (1), qui nondum in senatum lectus, adhuc in schola Silentiariorum erat, imperatoriam imposuit coronam. Eustathius, cujus paulo ante meminimus, scripsit, ab initio Dioc
B letiani tyranni imperii, usque ad finem Zenonis et designationem Anastasii, intercessisse ducentos et septem : ab eo autem tempore quo Augustus monarcha factus est, quingentos triginta duos annos et menses septem : ab Alexandri Macedonis regno, annos octingentos triginta duos, menses septem ; a Romanorum porro et Romuli regno annos mille et quinquaginta duos (2), menses septem ; et a Troja capta mille sexcentos octoginta sex annos, menses septem ; a divina Domini incarnatione annos quadringentos et nonaginta duos, ab ipso denique Adamo annos quinquies mille (3) noningentos octoginta quatuor (4).

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς τηνικαῦτα τῶν ἐκκλησιῶν καταστάσεως, ὅπως δόξης εἶχον περὶ τῆς ἐν Χαλκηδόνι συνόδου· καὶ περὶ τῆς ἐξορίας Εὐφημίου τοῦ Κωνσταντινουπόλεως.

691 CAPUT XXV.

De Ecclesiarum ejus temporis statu, qua quæque fuerit de Chalcedonensi synodo opinione : et de exsilio Euphemii Constantinopolitani.

C

Ὁ δ' Ἀναστάσιος περιβαλλόμενος τὸ διάδημα, καὶ τὴν Ἀριάδνην ἑαυτῷ εἰσφέρεται, μήπω γυναικὶ ὁμιλήσας· Ἐπίδαμνον δ' ἔχων πατρίδα (Δυρράχιον νῦν λέγεται), πρὸς τὸ κάλλιστον αὐτὸ καὶ ὀχυρώτερον μετεσκεύασεν, ἄξια γέρα παρασχὼν αὐτῷ· καὶ πρῶτα μὲν Λογγῖνον τὸν μάγιστρον, τῶν δ' ἐν τῇ αὐλῇ τάξεων ἡγεῖτο, ἀνὰ τὴν Σελεύκειαν ἔπεμπεν· ἔπειτα δὲ καὶ τὸ ἄλλο τῶν Ἰσαύρων γένος ἐξέβαλε, τοῦτο δῆθεν αἰτησάντων· οἳ συνάμα Λογγίνῳ ὄντες, τυραννίδι ἐπέθεντο, ὡς προϊόντες ὀηλώσομεν. Εἰρηναῖος δέ τις θέλων εἶναι ὁ Ἀναστάσιος, παντάπασι μηδέν τε καινουργεῖν ἤρείτο περὶ τὴν τῆς Ἐκκλησίας κατάστασιν· καὶ πολλήν τινα περὶ τούτου ἐποιεῖτο σπουδὴν, ὡς ἂν αἵ τε θεῖαι τοῦ Χριστοῦ D Ἐκκλησίαι θορύβων καὶ τῆς ἐντεῦθεν ἐρεσχελίας εἶεν ἐκτός· ἐν βαθείᾳ τε γαλήνῃ καὶ τὸ ὑπήκοον κατασταίη, ἔριδος ἁπάσης καὶ φιλονεικίας ἐκποδὼν κατ' ἀμφότερα γενομένης. Καὶ τοίνυν ταῖς ἐκείνου ἡμέραις ἡ ἐν Χαλκηδόνι σύνοδος οὔτε εἰς πρῦτπτον ἀνεκηρύττετο, ἀλλ' οὐδ' ἀποκήρυκτος ἦν· ὡς δ' ἑκάστῳ τοῖς τῶν Ἐκκλησιῶν ἡγεμόσιν ἐδόκει τὰ ταύτης ἐφέρετο. Οἱ μὲν γὰρ καὶ λίαν ταύτης ἀντείχοντο γενικώτερον ἀνθιστάμενοι· μήτοι γε λέξιν τῶν ἐκείνῃ ὁρισθέντων, ἀλλ' οὐδὲ συλλαβὴν, ἢ κἂν γράμμα, ἢ

Anastasius, diademate sumpto, cum nondum matrimonium contraxisset, Ariadnam uxorem duxit : et Epidamnum patriam suam, quæ nunc Dyrrachium dicitur, ut natale solum honore prosequeretur, pulcherrime exornavit, eamque dignis muneribus ditavit. Et primum Longinum magistrum, aulicorum scilicet ordinum præfectum, Seleuciam, ubi ortus fuerat, misit : deinde reliquum etiam Isaurorum genus ejecit, qui hoc postulaverant, et una cum Longino discedentes, ad tyrannidem aspirarunt, sicuti postea dicemus. Anastasius cum pacificus esse, neque quidquam rerum novarum in Ecclesiæ statu excitare vellet, plurimumque studii in eo collocaret, ut sanctæ Christi Ecclesiæ tumultibus et verborum contentionibus, disputationibus et dissidiis ecclesiasticis simul et civilibus omnibus sublatis, homines in multa tranquillitate viverent, et subditi populi pacati essent, evenit, ut temporibus ejus Chalcedonensis synodus, neque propalam per ipsum constitutionibus imperialibus edendis promulgaretur, neque etiam reprobaretur. Verum sicuti quibusque Ecclesiarum præsidibus videbatur, ita de ea sentiebant. Nam qui eam fortiter defendentes propugnabant, non ver-

(1) Dicorus cognominatus est a discoloribus oculorum pupillis, quæ κόραι dicuntur, quarum dextra nigricans, sinistra cærulea fuerit.

(2) Rectius 1244.

(3) Secundum neotericos a mundo condito 4470.

(4) Postremum hoc Evagrius non habet, lib. III, cap. 29.

bum unum in ejus decretis, ac ne syllabam quidem, aut litteram, aut apicem saltem loco moveri aut mutari passi sunt, et per libertatem magnam a commercio et communione aliorum resiliere : adeo ut ne in ædes quidem suas eos admitterent, qui ea quæ recte ibi decreta essent, non reciperent. Fuere autem qui eam non tantum non approbarent, sed etiam publice una cum Leonis tomo anathemate jugularent. Alii de henotica Zenonis constitutione itidem faciebant, atque a seipsis inter se dissidebant : ita ut quidam duas naturas in Christo, quidam unam dicerent ; atque ii quidem litteris insidiose compositis, per fraudem decipererentur ; ii autem pacem sibi consectandam esse putarent. Id malum eo processit, ut Ecclesia quælibet in factiones suas divideretur, et episcopi a consuetudine mutua abhorrerent. Proinde in multas sectas orientales occidentalesque atque etiam Libycæ partes dissectæ sunt. **692** Neque enim Oriens consentire cum Occidente, neque rursum Libya conciliari hisce voluit. Et quod omnium indignissimum est, neque ipsi inter se Orientalium Ecclesiarum antistites ad communionem conveniebant, neque Europæi, neque etiam Libyci episcopi conventus inter se agebant : nedum cum eis qui extra regionum suarum fines essent, congrederentur. Tanta confusio mentiumque caligo orbem universum incessit. Porro Anastasius tametsi tranquillitatem sibi conservandam esse proposuerat, neque mutare quidquam in Ecclesiis volverat, inconsulta tamen eorum temeritate, qui ad res novas spectabant, permotus, quoscunque præter morem nugas agere, et vel impudenter synodum sanctam damnare, crudeliterque anathemate configere, vel rursum aperte eamdem et clare in sacris templis deprædicare intelligebat, e thronis utrosque dejiciebat, inhumaniterque exigebat : atque ad eum modum permulti episcopi multati sunt, et in primis, sicuti antea etiam diximus, Constantinopolitanum ille Euphemium proscripsit ; deinde post hunc et Macedonium, cui Timotheus successit.

A κεραίαν μετακινεῖν, ἢ ἐναλλάττειν καταδεχόμενοι. Παῤῥησίᾳ δὲ πολλῇ χρώμενοι ἀπεκήδων, μηδ' ἐν οἴκῳ κοινωνεῖν ἠρημένοι τοῖς μὴ παραδεχομένοις τὰ ἐκείνῃ καλῶς ὁρισθέντα. Ἦσαν δὲ οἳ οὐ μόνον αὐτὴν οὐκ ἐδέχοντο, ἀλλὰ καὶ ἀναθέματι αὐτὴν ἀναφανδὸν περιέβαλον· οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὸν τόμον Λέοντος. Ἄλλοι δὲ τῷ Ζήνωνος ἐνωτικῷ ἐπίσης ἐνίσταντο· καὶ πρὸς ἀλλήλους διῤῥωγότες, τῷ τὸν μὲν δύο φύσεις, ἄλλον δὲ μίαν λέγειν ἐπὶ Χριστοῦ· καὶ τοὺς μὲν τοῖς γράμμασι παρακλέπτεσθαι, τοὺς δὲ καὶ εἰρηνεύειν αἱρεῖσθαι· καὶ ἐπὶ τόσον τὸ δεινὸν προχωρῆσαι, ὡς ἑκάστην Ἐκκλησίαν εἰς ἰδίαν μοῖραν ἀποκριθῆναι, καὶ μὴ συνέρχεσθαι ἀλλήλους τοὺς προεδρεύειν λαχόντας. Καὶ εἰς πολλὰ τμήματα τὸ διῤῥωγὸς ἦν, ἀνά τε τὴν Ἑῴαν καὶ Ἑσπερίαν λῆξιν καὶ Λιβύην αὐτήν. Οὔτε γὰρ ἡ Ἑῴα τῇ Ἑσπέρᾳ συμφωνεῖν ἠρεῖτο, ἀλλ' οὐδὲ Λιβύη πάλιν ταύταις σπένδεσθαι ἤθελε· τὸ δὲ δὴ πάντων ἀτοπώτατον, ὅτι περ οὐδὲ σφίσιν αὐτοῖς οἱ κατὰ τὴν Ἑῴαν τῶν Ἐκκλησιῶν ἡγεμόνες εἰς κοινωνίαν συνῆσαν, ἀλλ' οὐδὲ οἱ κατὰ τὴν Ἑσπέραν τοῖς Ἑσπερίοις· ἀλλ' οὐδὲ μὴν οἱ τῆς Εὐρώπης ἢ Λιβύης προεδρεύειν λαχόντες, μήτοι γε δὴ τοῖς ὑπερορίοις. Τοιαύτη τις σύγχυσις καὶ σκοτόμαινα τὴν οἰκουμένην ἐπέδραμεν. Ὁ δ' Ἀναστάσιος, καίπερ προθέμενος εἰρηνικώτερον διάγειν, καὶ μή τι τῶν τῆς Ἐκκλησίας μετακινεῖν, ὅμως τῷ ἐάσαι παραφόρῳ τῶν νεωτεριζόντων ὑποσυρεὶς, ὅσους γνοίη παρὰ τὸ εἰωθὸς ἐρεσχελοῦντας, καὶ ἢ ἀναίδην τὴν ἁγίαν ἀκηρύττοντας σύνοδον, ἢ ἀπηνέστερον ἀναθεματίζοντας, ἢ αὖθις ἐκείνην τόποις ἐν ἱεροῖς διαῤῥήδην κηρύττοντας, καὶ ἄμφω ἀπωθεῖτο τῶν θρόνων, καὶ ἀπανθρώπως ἐξήλαυνε. Καὶ δὴ πολλοῖς μὲν τοὺς τῶν ἐπισκόπων ἐπίτιμον ἔθετο. Πρὸ δὲ πάντων ἐξώθει τὸν τῆς Κωνσταντίνου Εὐφήμιον· εἶτα καὶ τὸν μετ' αὐτὸν, Μακεδόνιον· ἔπειτα καὶ ὃς μετ' ἐκεῖνον ἐγεγόνει, Τιμόθεον.

B

C

D

CAPUT XXVI.

De Macedonio Constantinopolis episcopo, ut et is sede sua sit expulsus, et quem vitæ finem habuerit. Item de episcopis Alexandrinis.

Verum enim vero veluti Patrocli prætextus (1) hic ab Anastasio contra eos obtendebatur, quod res novas in Ecclesias inducerent : sed quæ occulte Anastasium male habebant, longe alia erant ; præclara scilicet Euphemii pietas, et quod is antea Anastasium Ecclesia excluserat, propterea quod opinionem de se præbuisset, contagione Dioscori infectum esse ; et quod turbam concitare volens, comminatus Euphemio esset, se illi accepta a Zenone potestate caput tonsurum, cathedramque ejus everteret. Præterea cum Ariadna purpuram Anastasio circumdaret, Euphemius sacrorum antistes

ΚΕΦΑΛ. ΚϚ'.

Περὶ Μακεδονίου τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως· ὡς ἀπηλάθη καὶ οὗτος τοῦ θρόνου, καὶ ὡς τέλει τοῦ βίου ἐχρήσατο· καὶ περὶ τῶν τῆς Ἀλεξάνδρου ἀρχιερέων.

Ἀλλὰ Πάτροκλος ἦν πρόφασις ἐκείνοις, τὰ κατὰ τὰς ἐκκλησίας οὕτω νεωτερίζειν· ἃ δ' ἐν παραῤῥύτῳ πλήττοντα ἦσαν τὸν Ἀναστάσιον, ἕτερα ἦν· τό τε τῆς εὐσεβείας μάλα περιφανὲς, καὶ ὅτι περ Εὐφήμιος Ἀναστάσιον πρότερον τῆς Ἐκκλησίας ἀπήλασε, νόμισιν παρασχόντα, ὡς εἴη τὰ Διοσκόρου νοσῶν, καὶ τάραχον κινεῖν ἠρημένου, ἠπείλει τὰς τρίχας θερίζειν, πρὸς Ζήνωνος εἰληφὼς τὴν ῥοπὴν, καὶ τὴ ἐκείνου καθέδραν ἀνέτρεπεν. Ἄλλως τε καὶ ἡνίκ' Ἀριάδνη τὸ ἀλουργὲς αὐτῷ σχῆμα περιβαλεῖν ἤμελλεν, ὁ Εὐφήμιος τὸ ἱεράσθαι λαχὼν, γενναίως ἀνθίστατο, μὴ ἂν ἄλλως αὐτῷ τὰ ἐξ ἔθους τελέσαι φά-

(1) Proverbialiter hoc dictum. Erasmus Roterod. in proverb. *Patrocli accusio.*

σκων, ἄχρις οὗ ἐγγράφοις ὅρκοις καὶ δεινοῖς μάλα κατασφαλίσηται, ἢ μὴν ἀθιγῆ φυλάξαι τὴν πίστιν, καὶ μηδέν τι καινουργὸν εἰσάγειν πειρᾶσθαι τῇ Ἐκκλησίᾳ ἐπὶ τῶν σκήπτρων γενόμενον· πρὸς δὲ καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον, προθέσει πάσῃ ψυχῆς, ταῖς λοιπαῖς συντάττειν τρισίν. Οἷς δῆτα συνθέμενον ἐγγράφως τὸν Ἀναστάσιον, ἔπειτα τὰ εἰωθότα καὶ ἐπ' αὐτῷ τὸν ἱερέα τελέσαι. Οὐ πολλῷ δ' ὕστερον ἐπιβαλλόμενον, τὸν ἔγγραφον χάρτην αἰτεῖν. καὶ μὴ παρασχόμενον τὸν Εὐφήμιον, ὑπερόριον ἄγεσθαι· πολλὰς δ' ἐπιβουλὰς αὐτῷ καὶ θάνατον δὴ προσεπισκευάσαι· ὡς καί τινα τῶν συνόντων Εὐφημίῳ Παῦλον ὄνομα, ὑπερωμίαν δὲ ἄλλως καὶ μέγιστον, τὸ φερόμενον κατ' ἐκείνου ξίφος εἰσδέξασθαι· ἀλλὰ τὸν μὲν οὕτω, καὶ ἐπὶ τοιαύταις αἰτίαις, ὑπερόριον ἦγε, καίπερ τοῦ πλήθους πολλὰ δυσχεραίνοντος· Μακεδόνιον δὲ, ᾧ Εὐφήμιος τὸν αὐτόγραπτον τῆς ὁμολογίας χάρτην παρέθετο, ἅτε δὴ τῶν ἱερῶν κειμηλίων τὴν φυλακὴν ἐπιτετραμμένον, ὁ Ἀναστάσιος ἐπὶ τὴν ἱερὰν ἀνῆγε καθέδραν. Ταῦτα δ' ἔπραττεν ὁ Εὐφήμιος, καὶ δι' ἅπερ μοι εἴρηται, καὶ ὅτι περ δόξαν Μανιχαϊκῆς αἱρέσεως ὑποθάλπειν τοῖς πολλοῖς ἐδόκει ὁ Ἀναστάσιος· ἅτε δὴ καὶ τῆς ἐκείνου μητρὸς τἀκείνων μάλα διαφερόντως ζηλούσης· ἧς ὁ ἀδελφὸς Κλέαρχος αὖθις, τὰ Ἀρείου ἐφωρᾶτο πρεσβεύων. Διὸ καὶ Μανιχαίοις καὶ Ἀρειανοῖς χαίρειν ἐπῆει τῇ ἀλουργίδι Ἀναστασίου, μεταβολήν τινα ἔσεσθαι προσδοκῶσιν αὐτοῖς. Ὡς δ' οὖν ὁ Μακεδόνιος ἐπὶ τὸν θρόνον ἀνῆει, αὖθις καὶ τούτῳ πεῖραν προσῆγε τὴν οἰκείαν ὁμολογίαν λαβεῖν· ὕβριν γάρ οἱ ἐνόμιζεν, εἰ τὸ εἰρημένον τῷ βίῳ ἀπολειφθείη πρὸς ἔλεγχον. Ἐκείνου δὲ ἐπίσης Εὐφημίῳ μάλα γεννικῶς διαφέροντος, καὶ ἄντικρυς προδοσίαν πίστεως κρίνοντος τὴν τῆς ὁμολογίας ἀπόδοσιν, καὶ ἀντικαθισταμένου ῥωμαλεώτερον, παντοῖος ἐγίνετο Ἀναστάσιος καὶ τοῦτον ἀπελάσαι τοῦ θρόνου· καὶ πάντα τυρεύων ἦν, ἀνῦσαι τὸ σπουδαζόμενον. Μὴ ἔχων δ' ὅ τι καὶ δράσειε, σύλλογον ἀθροίσας αἱρετικῶν, βίαν προσῆγε καὶ τοῦτον τὴν ἐν Χαλκηδόνι σύνοδον ἀποβάλλεσθαι. Αἰσθόμενα δὲ τὰ πλήθη συνέῤῥεον, Καιρὸς μαρτυρίου, διαῤῥήδην βοῶντα, μηδεὶς τοῦ ποιμένος πόῤῥω γένοιτο. Ἐλοιδοροῦντο δὲ τῷ κρατοῦντι, Μανιχαῖον καλοῦντες καὶ τοῦ κράτους ἀνάξιον. Ὁ δὲ δείσας, πρυτροπάδην φεύγειν ἕτοιμος ἦν· καὶ ἐζήτει τὸν Μακεδόνιον, ὃν πρότερον μὴ ποτε διώμνυτο κατιδεῖν. Μακεδόνιος δὲ πολλῇ παῤῥησίᾳ χρησάμενος διήλεγχεν Ἀναστάσιον, οἷα δὴ τῆς Ἐκκλησίας πολέμιον. Ὁ δὲ τότε μὲν ἔστεργε καὶ ὑπέκειτο, πρότερον ἑαυτὸν παρέχων· ἐς ὕστερον δὲ τῷ δυστρόπῳ τῆς γνώμης, κατηγόρους τε ἐμισθοῦτο· καὶ παῖδες μειρακίσκοι, συκοφάνται σφῶν αὐτῶν καὶ Μακεδονίου, παρήγοντο, αἰσχρουργίαν καταζευδόμενοι. Ἐπεὶ δὲ ταῦτα ἐκ τοῦ σχεδὸν διήλεγχε Μακεδόνιος, ἅτερ τῶν ἀνδρείων ἑαυτὸν ἀποδείξας τῇ τοῦ χιτωνίου ἀναστολῇ, πρὸς ἕτερα μετεχώρει δολιότητος γέμοντα. Διὰ γὰρ Κέλλωρος, ὃς τῶν ἐν τῇ αὐλῇ τάξεων ἡγεμὼν καθειστήκει, χάρτῃ τὰς δύο μόνας συνόδους ἐγγράψας, δέχεσθαι ὡμολόγει, παρεὶς τὴν τρίτην καὶ τὴν τετάρτην. Ὃ δὴ καὶ μέμψιν οὐ

animo forti restiterat : neque prius se quæ statæ cæremoniæ postularent, facturum esse dixerat, quam ille gravi juramento in scriptum relato confirmasset, fidem se inviolatam servaturum, neque quidquam rei novæ imperii sui tempore in Ecclesiam illaturum, nec non Chalcedonensem synodum ex animi sententia reliquis tribus additurum esse. **693** Consenserat conditionibus his, et eas in scriptum retulerat Anastasius, et sub hæc cærimonias solitas in eo episcopus peregerat. Non longe vero post Euphemium adortus Anastasius, libellum eum ab eo repetiit : et quod eum ille non reddidit, solum exilii causa vertere jussus est. Vitæ quoque ejus ita insidiatus est, ut ex familiaribus Euphemii quidam nomine Paulus, vir procerus, et humeris ipsis superexstans, quod adversus eum dispositum circumferebatur ferrum, exceperit; atque hunc, ob eum modum, et ob talem causam in exsilium egit, cum quidem id populus ægerrime ferret. Macedonium autem, cui Euphemius syngrapham stipulationis suæ crediderat (nam ei sacrorum quoque donariorum custodia commissa fuerat), in sacram sustulit cathedram. Fecerat autem ea quæ dicta sunt Euphemius, cum ob eas quas commemoravimus causas, tum quod Manichæorum hæresim Anastasius vulgo fovere visus esset, quippe cujus etiam mater eam ardore ingenti consectaretur, frater quoque ejus, Anastasii scilicet avunculus Clearchus, Arianismi compertus fuerat. Quapropter et Manichæis et Arianis purpura sua Anastasius lætitiam attulit, mutationem aliquam futuram exspectantibus. Postquam igitur Macedonius episcopalem thronum conscendit, ab eo quoque promissi sui scriptum Anastasius recipere contendit : contumeliam injuriamque sibi fieri ratus, si libellum suum qui vitam ejus redargueret, post se relinqueret. Cæterum cum et ipse itidem ut Euphemius, constanter ei adversaretur, et fidei omnino proditionem esse si libellum eum redderet, existimaret, fortiterque prorsus contra eum contenderet, varia Anastasius iniit consilia, ut et hunc e sede deturbaret : tentavitque adeo omnia, ut quod conabatur, efficeret. Sed enim cum quod faceret non haberet, hæreticorum consessu collecto, per vim Macedonium, ut synodum Chalcedonensem damnaret, cogere voluit. Quod ubi multitudo sensit, ad eum locum accurrit, et aperte exclamavit : Martyrii tempus adest, nemo longius a pastore absistat. Et convicia in imperatorem conjecit, Manichæum, qui imperio indignus esset, vocans. Et Anastasius sibi metuens, ad fugiendum paratus fuit ; Macedoniumque quæsivit, quem antea se neque respecturum esse adjuraverat. Macedonius cum libertate multa Anastasium, veluti rei ecclesiasticæ hostem, objurgavit. Atque ille tum in verbis ejus acquievit, **694** seque placabiliorem præbens, submisit. Postmodum autem propter animi improbitatem accusatores adversus eum mercede conduxit. Et præsto fuere adolescen-

tuli quidam, qui non minus seipsos quam Macedonium per sycophantiam calumniose detulere, et flagitium obscœnum et fœdum mendaciter produxere. Sedenim postquam in continenti illorum confictam calumniam Macedonius, tunica subducta, viribus se carere ostendens, convicit, ad consilium aliud fraudis plenum confugit. Nam per Celerem ordinum aulæ præfectum libellum confici jussit, in quo duæ synodi tertia et quarta, reliquis duabus omissis, conscriptæ erant, eumque sè recipere professus est. Quæ res a Macedonio approbata, et quod præterea henotico Zenonis is subscripsisset, reprehensione non caruit. Quamvis postea cum in Dalmati monasterio esset, in oratione quadam omnibus pietatem consectantibus, offendiculum id et crimen objectum diluit, disertis verbis sanctam quartam synodum comprobans : et eos qui illam non reciperent, hæreticos vocans. Anastasius, Celere magistro ad se evocato, per eum clam Macedonium ex throno deduxit, et Euchaitem in exsilium misit. Senatus et populus Constantinopolitanus eam ob causam in magno fuit mœrore. Nam et vitæ sanctitatem et doctrinæ sinceritatem in Macedonio admirabantur, et religionis monasticæ professione et dignitate sacerdotali is valde enitebat, ut qui a Germadio educatus atque doctus fuisset, cujus etiam fratris filius fuit. Contra sectatores ejus postea gravis persecutio orta. Quidam enim exsilio, nonnulli relegatione, aliqui accusationibus iniquis, alii bonorum publicatione afflicti sunt. Multi etiam qui fuga sibi consuluerunt, Romam pervenerunt. Imperator illico Chalcedonensium actorum libellum, quem Macedonius discedens in sanctiore ara deposuerat, per Calopodium quemdam furtim sublatum concidit, atque igni tradidit : et Macedonio qui sic abducebatur, abdicationis sententiam misit. Atque is interrogavit, an illi qui se abdicassent Chalcedonensem synodum recepissent. Et ubi illi qui ad eum sententiam attulerant, id inficiati sunt, ipse, Si (inquit) Ariani aut Macedoniani abdicationis libellum ad me miserunt, num recipere eum possum? Atque ille ita Euchaitem ductus est. Cum autem Hunni, qui Saberi vocabantur, eruptione per Caspias angustias facta, Orientem vastarent, **695** Gangram inde metus causa Macedonius successit. Quod ubi Anastasius cognovit, percussoribus submissis virum sanctum trucidavit. Corpus ejus in templo Callinici martyris innumera miracula edens repositum est. Macedonium ferunt, cum jam mortuus jaceret, manu sua seipsum sacro crucis signaculo consignasse. Eumdemque in somnis Theodoro cuidam pie viventi apparuisse, et cum vehementia quadam verba hæc Anastasio renuntiari jussisse : Ego quidem ad patres meos abeo, quorum fidem sinceram servavi. Tu vero scito, me Deum precari desiturum non esse, quoad usque et tu primo quoque tempore ad id tribunal, quod munera non acceptat, mecum

A μετρίαν Μακεδονίῳ ἐπῆγε, καὶ ὅτι τῷ ἑνωτικῷ Ζήνωνος καθυπέγραψε· κἂν ἐς ὕστερον τῇ Δαλμάτου μονῇ προσβαλὼν, προσφωνητικῷ λόγῳ τοὺς ζηλοῦσι τὰ εὐσεβῆ διαλύῃ τὸ πρόσκομμα· διαρρήδην ὁμολογήσας τὴν ἁγίαν τετάρτην σύνοδον, καὶ τοὺς μὴ δεχομένους αἱρετικοὺς συνθέμενος ἔχειν. Ἀάθρα δὲ Κέλλωρα τὸν μάγιστρον καλέσας ὁ Ἀναστάσιος, τὸν Μακεδόνιον ἐξῆγε τοῦ θρόνου, καὶ εἰς Εὐχαΐτα περιώριζε. Πολλὴ δὲ λύπη τὴν σύγκλητον καὶ τὸ πλῆθος ἐλάμβανε· τό τε γὰρ καθαρὸν τοῦ βίου διὰ θαύματος ἐποιοῦντο, καὶ τὸ τῶν δογμάτων ὀρθόν. Ἄλλως τε καὶ ἀσκήσει καὶ ἱερωσύνῃ διέλαμπεν, ἅτε δὴ ὑπὸ Γενναδίου τραφείς τε ἅμα καὶ παιδευθείς, οὗ καὶ ἀδελφιδοῦς ἐτύγχανεν ὤν. Ὁ δὲ διωγμὸς τῶν τὰ ἐκείνου φρονούντων πολὺς ἦν, τῶν μὲν ἐξορίαις, B τῶν δὲ φυγαῖς, τῶν δ' ἀπαγωγαῖς καὶ δημεύσεσι ταλαιπωρουμένων· οἱ δὲ διαδράντες, καὶ ἐς Ῥώμην ἀφῆκαν. Ὁ δὲ βασιλεὺς ἐξ αὐτῆς τῶν ἐν Χαλκηδόνι πεπραγμένων τὸν χάρτην, ὃν Μακεδόνιος ἐξιὼν παρετίθει τῷ θυσιαστηρίῳ, Καλοποδίου τινὸς κλέψαντος καὶ ἀπαγαγόντος, διέῤῥηξε πυρὶ παραδεδωκώς. Ἀπαγομένῳ δὲ Μακεδονίῳ τὴν καθαίρεσιν ἔπεμπεν· ὁ δ' ἠρώτα, εἰ οἱ καθαιρήσαντες τὴν ἐν Χαλκηδόνι προσίενται σύνοδον. Ὡς δ' ἀπέλεγον, ἐκεῖνος, Ἀλλ' εἰ Ἀρειανοὶ ἢ Μακεδονιανοὶ ἔπεμπόν μοι καθαίρεσιν, ἆρα δέχεσθαι εἶχον; Ὁ μὲν οὖν οὕτως εἰς Εὐχάϊτα ἦγετο. Τῶν δ' Οὔννων τῶν Κασπίων ἀποκινηθέντων πυλῶν, οἳ Σαβὴρ ἐκαλοῦντο, καὶ τὴν Ἑωλῃζομένων δεῖσας εἰς Γάγγραν μετεχώρει ὁ Μακε- C δόνιος. Ὁ γνοὺς Ἀναστάσιος, πέμψας ἀνεῖλε τὸν ὅσιον, καὶ τῷ νεῳ Καλλινίκου προσετέθη τοῦ μάρτυρος, μυρία θαύματα ἐκτελῶν· ὃν φασι καὶ νεκρὸν κείμενον, ἑαυτὸν τῷ θείῳ τύπῳ τοῦ σταυροῦ τῇ ἰδίᾳ σφραγίσαι χειρί· ὀφθῆναι δὲ καὶ καθ' ὕπνους θεοδώρῳ τινὶ εὐλαβῶς διαζῶντι· καὶ μετὰ σφοδρότητος εἰπεῖν ἐντείλασθαι Ἀναστασίῳ τῷ βασιλεῖ, ὡς Ἄρ' ἐγὼ, πρὸς τοὺς ἐμοὺς ἀφικνοῦμαι πατέρας, ὧν τὴν πίστιν ἀκραιφνῶς ἐτήρησα. Ἴσθι δ' ὡς οὐ παύσομαι δεόμενος τοῦ Θεοῦ, ἕως οὗ καὶ αὐτὸς ὅσον οὔπω ἥξεις ἐμοὶ τῷ ἀδεκάστῳ συνδικασόμενος βήματι. Ἀναστάσιος δὲ μετὰ Μακεδόνιον τὴν Ἐκκλησίαν Τιμοθέῳ πρεσβυτέρῳ ταύτης καὶ σκευοφύλακι ἐνεχείριζεν· ὃς Κήλων καὶ Αἰτροβούνης οὕτως ὠνόμαστο, διά τινας ἐκείνου πράξεις τοῖς ὀνόμασι προσηκού- D σας. Ὃς δὴ τοὺς νεὼς εἰσιὼν, οὐ πρότερον τὰ ἐφειμένα ἐποίει, εἰ μὴ τὰς εἰκόνας Μακεδονίου κατέσπα, εἴ που τέως παρῆσαν. Ὁ δὲ δυσσεβέστατος βασιλεὺς, διὰ ταῦτα καὶ τὸν τῆς Ἀντιόχου Φλαβιανὸν, καὶ τὸν Ἱεροσολύμων Ἠλίαν ὃς μετὰ Σαλούστιον ἐγεγόνει, ἔτι δὲ καὶ τὸν τῆς Ἀλεξάνδρου Ἰωάννην εἰς ὑπερορίαν ἀπέστελλε· ναὶ μὴν καὶ τὸν Ταβεννησιώτην Ἰωάννην, ὃς ἐν Ῥώμῃ μαθὼν ὡς ἄρ' Ἀναστάσιος ἐπὶ τῶν σκήπτρων κατέστη, ἦκε τὸν οἰκεῖον θρόνον ληψόμενος. Φίλῳ γὰρ ἐκείνῳ ἐχρῆτο ἐπὶ τὴν Ἀλεξάνδρου τὰς διατριβὰς ἔχων· καὶ ναυαγίῳ περιπεσόντα τὸν Ἀναστάσιον, γυμνὸν διεσώσατο, καὶ ὡς εἰκὸς θεραπείας ἠξίωσεν. Ὁ δ' ἀγνωμόνως διατεθεὶς, ἀντὶ φιλοτιμίας ὑπερορίαν αὐτοῦ κατεδίκαζεν.

Ὁ δὲ φεύγων οὗτος τὴν πρεσβυτέραν κατελάμβανε Ῥώμην.

A judicio concertaturus, steteris. Post Macedonium Anastasius ecclesiam Timotheo presbytero ejus, sacrorumque vasorum custodi commisit, qui Celon (1) et Litrobunes cognominatus est, appellationibus iis propter actiones quasdam ei convenientibus impositis. Hic templum ingressus, non prius rem divinam fecit, quam Macedonii imagines, quæ tum ibi erant, sustulisset. At imperator impiissimus ejuscemodi ob causas Flavianum quoque Antiochenum, et Heliam Hierosolymitanum, qui Sallustio successerat, nec non Joannem Alexandrinum in exsilium egit. Idem in Joanne Tabennesiota fecit. Qui ubi Romæ cognovit Anastasium imperatorem esse factum, in Orientem sedem suam recepturus venit. Amico enim Anastasio cum Alexandriæ versaretur, usus fuerat, et eum ex naufragio nudum receperat, hominique quam conveniebat curam et benignitatem præstiterat. Ille vero per ingrati animi vitium pro liberalitate sibi exhibita exsilii gratiam ei retulit. Joannes autem iste profugiens, veterem se rursum Romam contulit.

ΚΕΦΑΛ. ΚΖ'.

Περὶ Ξεναΐα τοῦ Ἱεραπόλεως, καὶ Φλαβιανοῦ τοῦ Ἀντιοχείας διήγησις.

Περὶ μέντοι τοῦ Ἀντιοχείας Φλαβιανοῦ τάδε ἱστόρηται. Ἦν τις Ξεναΐας ὄνομα (Φιλόξενος δ' ἂν λέγοιτο Ἑλλάδι φωνῇ)· τὸ μὲν γένος Πέρσης, τὴν δὲ τύχην δοῦλος, μάλα δὲ πρόσφορος ὑπηρέτης τῷ Σατανᾷ· ὃς ἐπὶ Καλανδίωνος τὸν δεσπότην φυγὼν, τῇ Ἐκκλησίᾳ προσῆει Θεοῦ, κληρικὸν ἑαυτὸν εἶναι διατεινόμενος, καίπερ μήπω τῆς τοῦ θείου λουτροῦ παλιγγενεσίας ἀξιωθείς. Ὁ μὲν οὖν Καλανδίων, τοῦτον καὶ τὴν οἰκουροῦσαν τὰνδρὶ κακίαν ἔκ τινων συμβόλων καλῶς τεκμηράμενος, τῶν ἱερῶν περιβόλων ἀπήλαυνεν. Ἐπεὶ δ' ἐκεῖνον ὁ Κναφεὺς διεδέχετο Πέτρος, οὐ μόνον τὸν Ξεναΐαν προσίετο, ἀλλὰ καὶ ἔτι ἀμύητον ὄντα τῆς γείτονος ἱερᾶς πόλεως πρόεδρον κατεστήσατο, μετονομάσας Φιλόξενον. Μαθὼν δ' ὁ Πέτρος ὡς ἀμυήτῳ γε ὄντι τὴν ἐπισκοπὴν ἐνεχείρισεν, εἰπεῖν λέγεται, ἀρκεῖν ἐκείνῳ τὴν χειροτονίαν ἀντὶ βαπτίσματος. Καὶ πρῶτος πάντων Ξεναΐας οὗτος (ὦ τολμηρᾶς καὶ ψυχῆς καὶ γλώττης!), μὴ δεῖν τὴν Χριστοῦ εἰκόνα καὶ τῶν αὐτῷ εὐηρεστηκότων προσκυνεῖν ἀπηρεύξατο. Οὗτος τοιγαροῦν τὸ τῆς δυσσεβείας ἀνδράποδον σὺν πολλῷ ταράχῳ, πολλοὺς τοῦ πρώτου τῶν Σύρων ἔθνους ἐπαγόμενος, καὶ τοὺς ἐκ τῆς Κυνηγικῆς μονῆς οὐκ ἐλάχιστον στῖφος, ἀθρόον εἰσπεδήσας τῇ πόλει μετὰ τῆς συνοίκου αὐτῷ ἀπρεπείας, βίαν ὅτι πλείστην προσῆγε Φλαβιανῷ, τὴν ἐν Χαλκηδόνι σύνοδον ἀναθεματίζειν· πρὸς δὲ καὶ τὸν τόμον τοῦ ἱεροῦ Λέοντος· Φλαβιανοῦ δὲ διισχυριζομένου, καὶ τῶν μοναχῶν αὖθις ἐπικειμένων, μαθὼν τὸ πλῆθος ἐν δεινοῖς ὄντας τὸν σφῶν ἱερέα, εὐθὺς ὡς εἶχεν ἕκαστος διανίσταται· καὶ τόσος ἐρρύη φόνος τῶν μοναχῶν, ὡς τῷ πολλῷ πλήθει τάφον τὸν Ὀρόντην κληρώσασθαι, τῶν σωμάτων κηδευθέντων τοῖς κύμασι. Πρὸς δὴ τούτῳ καὶ ἕτερον ἄλλο συνέβαινεν ἥκιστα τοῦ προτέρου ἐνδέον. Τὸ γὰρ περὶ τὴν Κοίλην Συρίαν μοναδικὸν μάλα προσκείμενον τῷ Φλαβιανῷ, οἷς ἔν τινι χώρῳ ἐκείνοις ἀγχιθυροῦντι, Τιλμογνὸς δ' ἦν ὄνομα τῷ τόπῳ, τὴν ἀσκητικὴν ὁ Φλαβιανὸς ἐπολιτεύσατο βιοτήν· ἀθρόοι γνόντες τὴν Ἀντιόχου εἰσῆεσαν, ἀμῦναι παντὶ τρόπῳ τῷ Φλαβιανῷ ἠρημένοι· κἀνταῦθα δὲ, οὐ μεῖον γενέσθαι τὸ ἄλγος. Διά τε γοῦν

(1) Κήλων ὁ θερμὸς εἰς συνουσίαν. (Suid.) Hoc est, *ad rem veneream calidus.*

698 CAPUT XXVII.

De Xenaia Hierapolitano, et Flaviano Antiocheno, episcopis, narratio.

B De Flaviano Antiocheno hæc historiarum monumentis prodita sunt. Xenaias quidam erat (Philoxenum Græca lingua recte voces) genere Persa, et fortuna servus, peridoneus Satanæ minister: qui sub Calandionis episcopatu, cum ab hero suo profugisset, ad Ecclesiam Dei accessit, clericum se esse affirmans, cum quidem nondum divino regenerationis lavacro initiatus esset. Calandion ubi hominem eum, et latentem in eo nequitiam ex signis et conjecturis quibusdam cognovit, ab ecclesia eum proscripsit. Ubi vero Calandioni Petrus Cnapheus successit, Xenaiam ille non solum recepit: verum etiam nondum baptismo initiatum, vicinæ Hierapolis episcopum creavit, et C Philoxenum mutato nomine appellavit. Et Petrus ubi tandem se episcopatum viro nondum baptizato mandasse intellexit, dixisse fertur, sufficere ei pro baptismo ordinationem. Xenaias iste primus (o audacem animum, et os impudens!) vocem illam evomuit: Christi, et eorum qui illi placuere, imagines venerandas non esse. Itaque impietatis istud mancipium magno cum tumultu, multis sibi ex prima Syrorum gente ascitis, et non exigua ex Cynegico sive Venatico monasterio multitudine assumpta, una cum innata sibi improbitate in urbem pervenit: et Flaviano vim maximam intentavit, ut Chalcedonensem synodum et Leonis tomum ille anathemate damnaret. Quod cum Flavianus se D facturum non esse confirmaret, et monachi ei contra imminerent, populus episcopum suum periclitari audiens, pro se quisque statim ut potuit consurgens affuit, et cædes tanta monachorum facta est, ut corpora eorum propter multitudinem in Orontem amnem, ut undas ejus pro sepulcris haberent, conjecta sint. Ad hæc etiam isto non minus accidit malum. Monachi namque in Cœlesyria (2) Flaviano valde addicti, propterea quod is in vicino quodam loco, cui Tilmognus nomen erat, monasticam egisset vitam, turba ea cognita, Antiochiam se contulerunt, 697 Flavianum omnibus modis defensuri. Atque ibi tum non minor

(2) Dicitur hæc etiam secunda Syria.

σαρκὸς καὶ τῆς θεότητος, ἀπήτει τὸν Φλαβιανόν. Μὴ ὑπακούσαντος δὲ, ὥσπερ Νεστοριανοῦ πάλιν κατηγόρει· πολλῶν δὲ ἐπὶ τούτων κεκινημένων, καὶ τοῦ πατριάρχου ἔκθεσιν περὶ πίστεως πεποιημένου, ἐν ᾗ πρὸς καθαίρεσιν μὲν Νεστορίου καὶ Εὐτυχοῦς τὴν σύνοδον δέχεσθαι ὡμολόγει· μὴ μέντοι εἰς ὅρον καὶ διδασκαλίαν πίστεως, πάλιν ὡς τὰ Νεστορίου ὑποῦλως φρονοῦντος, ἐπελαμβάνοντο, εἰ μὴ καὶ τὸν ἀναθεματισμὸν αὐτῆς προσθείη τῆς συνόδου, καὶ τῶν δύο φύσεις ἐπὶ τοῦ Κυρίου εἰρηκότων σαρκὸς καὶ θεότητος. Προσεπάγονται δὲ πολλαὶς λόγων ἀπάταις καὶ τοὺς Ἰσαύρους· καὶ ποιήσαντες γραμματεῖον περὶ πίστεως, ἐν ᾧ τὴν σύνοδον μετὰ τῶν δύο φύσεις εἰρηκότων ἢ ἰδιότητας ἀναθεματίσαντες, Φλαβιανοῦ μὲν ἀφίστανται καὶ Μακεδονίου· ἄλλοις δὲ σπένδονται ὑπογράψασι τῷ γραμματείῳ. Ἐν τούτοις καὶ τὸν Ἱεροσολύμων ἀπήτουν ἔγγραφον περὶ πίστεως· ὃς ἐκθέμενος, ἀπέστειλε τῷ βασιλεῖ, δι' αὐτῶν τῶν ἀπὸ Διοσκόρου, ὅπερ αὐτοὶ μὲν προφέρουσιν, ἀναθεματισμὸν περιέχον τῶν δύο φύσεις εἰρηκότων. Αὐτὸς δὲ ὁ Ἱεροσολύμων νενοθεῦσθαι παρ' αὐτῶν διαβεβαιούμενος, ἄλλο προφέρει δίχα τοιούτου ἀναθεματισμοῦ. Καὶ οὐ θαῦμα· καὶ γὰρ καὶ λόγους Πατέρων νενοθεύκασι· πολλοὺς δὲ Ἀπολλιναρίου λόγους Ἀθανασίῳ καὶ Γρηγορίῳ τῷ Θαυματουργῷ, καὶ Ἰουλίῳ διὰ τῶν ἐπιγραφῶν ἀνατεθείκασιν· οἷς μάλιστα τοὺς πολλοὺς πρὸς τὰς ἰδίας ἀσεβείας σφετερίζονται. Ἀπήτουν δὲ καὶ Μακεδόνιον ἔγγραφον περὶ πίστεως· ὃς καὶ ἐξέθετο τὴν τῶν τιη' καὶ τῶν ρν' μόνην εἰδέναι πίστιν διαβεβαιούμενος· ἀναθεματίζων δὲ Νεστόριον καὶ Εὐτυχῆ, καὶ τοὺς δύο υἱοὺς ἢ Χριστοὺς δογματίζοντας, ἢ τὰς φύσεις διαιροῦντας· μήτε δὲ τῆς ἐν Ἐφέσῳ καθελούσης Νεστόριον μνησθείς, μήτε τῆς ἐν Χαλκηδόνι καθελούσης τὸν Εὐτυχῆ· ἐφ' ᾧ ἀγανακτήσαντα τὰ περὶ τὴν Κωνσταντινούπολιν μοναστήρια ἀφίστανται τοῦ ἐπισκόπου Μακεδονίου. Ἐν τούτοις ὅ τε Ξεναΐας καὶ Διόσκορος πολλοὺς προσλαμβανόμενοι τῶν ἐπισκόπων ἀφόρητοι ἦσαν, κινοῦντες κατὰ τῶν μὴ ἀνεχομένων ἀναθεματίζειν· ὧν τοὺς εἰς τέλος μὴ ὑπείκοντας ἐξορίᾳ ὑποβάλλεσθαι πολλοῖς μηχαναῖς παρεσκεύαζον. Οὕτως οὖν καὶ Μακεδόνιον ἐξορίζουσι, καὶ Ἰωάννην τὸν Παλτοῦ ἐπίσκοπον καὶ Φλαβιανόν. Ταῦτα μὲν δὴ ταύτῃ.

A contentioni ei cessit, et in scripto anathema in eos qui dicti sunt viros conjecit, atque id ad imperatorem misit; nam et hunc quoque contra eum veluti Nestorianum commoverant. Verum Xenaias hisce non contentus, rursum anathema in ipsam synodum, et eos qui duas naturas et carnis et divinitatis in Domino profitentur, jaciendum a Flaviano petiit. Atque ubi ille ei non paruit, ut Nestorianum rursus criminatus est. Et cum de his rebus multa agitata essent, et patriarcha formulam fidei composuisset, in qua synodum quidem propter Nestorii et Eutychetis depositionem, non autem ut vim decreti et doctrinæ fidei haberet, recipiendam esse profitebatur : rursum cum, ut qui occulte Nestorianus esset, adversarii, nisi B anathemati etiam synodum ipsam, et duas naturas carnis et divinitatis in Domino profitentes subjiceret, criminari cœperunt. Adduxerunt illi quoque multa verborum fraude in sententiam suam Isauros : et scripto de fide edito, in quo synodum una cum eis qui duas naturas aut proprietates in Domino esse dicunt, anathemate condemnarunt. Itaque a Flaviano et Macedonio secesserunt : et cum aliis se conjunxerunt, qui scripto ei subscripsere. Interea etiam a Hierosolymitano antistite de fide scriptum exegere, qui id compositum ad imperatorem per ipsos Dioscorianos misit. Atque id illi, anathema complectens in eos qui duas naturas dicunt, proferunt. Ipse autem Hie- C rosolymitanus episcopus depravatum id ab eis esse asseverat, aliudque scriptum sine ejuscemodi anathemate producit. Neque id mirum, siquidem scripta Patrum quoque adulterarunt : et multos Apollinaris libellos per inscriptiones ipsas Athanasio et Gregorio mirifico illi et Julio attribuerunt, per quos maxime ad impietatem suam multos pertrahunt. **699** Efflagitarunt vero a Macedonio etiam scriptam fidei formulam, quam ille quoque edidit : solam se trecentorum decem et octo, et rursum centum et quinquaginta Patrum fidem nosse confirmans, Nestoriumque et Eutychetem, atque eos qui vel duos Filios aut Christos opinantur, vel naturas dividunt, anathe mate feriens : neque Ephesiæ a qua Nestorius damnatus est, neque Chalcedonensis quæ Eutycheti dignitatem abrogavit, synodi mentionem faciens. Quam rem monasteria Constantinopoli ægre tulere, et ab episcopo Macedonio descivere. Interea Xenaias et Dioscorus multis sibi ascitis episcopis, superbi et intolerabiles facti sunt : motusque adversus eos qui in anathema non consentirent, graves concitarunt : inter quos, si qui illis prorsus non cederent, eos modis omnibus in exsilium pellere sunt conati. Atque ita tandem Macedonius et Flavianus, et Joannes insuper, Palti episcopus, solum exsilii causa verterunt. « Hæc hactenus.

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς μετὰ Φλαβιανὸν Σεβῆρος ὁ δυσσεβὴς ἐπιβαίνει τῆς Ἀντιόχου, καὶ περὶ τῆς πολιτείας αὐτοῦ· καὶ ὡς ἀναθέματι ἐξ αὐτῆς τὴν ἐν Χαλκηδόνι περιέβαλλε σύνοδον.

Τοῦ δὲ Φλαβιανοῦ τοῦτον ἀπελαθέντος τὸν τρόπον, Σεβῆρος ὁ δυσσεβὴς καὶ ἀκέφαλος ἐπὶ τὸν τῆς Ἀντιοχείας ἄνεισι θρόνον, ἄλλος ἀντίπους Εὐτυχῆς ἢ

CAPUT XXIX.

Ut post Flavianum impius Severus sedem Antiochenam invaserit. De ejusdem vita, et ut conjectim synodum Chalcedonensem anathemate involverit.

Flaviano ad hunc modum exacto, Severus impius et acéphalos, hoc est, nullius capitis vir, atque omnino improbitate Eutyches, aut Dioscorus, Xe-

συνθέσθαι μεταβαλλόμενοι ἀνεκαλέσαντο· ὧν εἰσιν οἱ ὑπὸ Ἀπάμειαν ἐπίσκοποι· ἄλλοι δὲ καθόλου οὐκ ἠνέσχοντο συνθέσθαι· ὧν εἰσιν Ἰουλιανὸς ὁ Βόστρων, καὶ Ἐπιφάνιος ὁ Τύρου, καὶ ἄλλοι τινὲς, ὡς φασι, τῶν ἐπισκόπων. Οἱ δὲ Ἴσαυροι νῦν ἀνανήφαντες, ἑαυτῶν μὲν καταγινώσκουσιν ἐπὶ τῇ προτέρᾳ ἐξαπάτῃ· Σευῆρον δὲ καὶ τοὺς σὺν αὐτῷ ἀναθεματίζουσιν. Ἕτεροι δὲ τῶν περὶ Σευῆρον ἐπισκόπων καὶ κληρικῶν τὰς ἐκκλησίας ἀφέντες ἔφυγον· ὧν εἷς ἐστι καὶ ὁ Βόστρων Ἰουλιανὸς, καὶ Πέτρος ὁ Δαμασκοῦ ἐνταῦθα διάγοντες· ἀλλὰ καὶ Μαμᾶς· εἷς δὲ οὗτος τῶν δοξάντων δύο ἐξάρχων εἶναι τῶν Διοσκοριανῶν· ὑφ' ὧν καὶ Σευῆρος κατήχθη καταγνοὺς αὐτῶν τῆς αὐθαδείας.» Καὶ μεθ' ἕτερα· « Τὰ δὲ ἐνταῦθα μοναστήρια καὶ αὐτὰ τὰ Ἱεροσόλυμα ὁμονοοῦσι σὺν Θεῷ περὶ τὴν ὀρθὴν πίστιν, καὶ ἄλλαι δὲ πλεῖσται πόλεις μετὰ τῶν ἐπισκόπων, περὶ ὧν ἁπάντων καὶ ἡμῶν προσεύχου μὴ εἰσελθεῖν εἰς πειρασμόν, δέσποτα ἁγιώτατε καὶ τιμιώτατε ἡμῶν Πάτερ.»

A Domini profitentur, complectentes, assensere. Aliqui porro, quoniam vi et metus causa assensi fuerant, sententia mutata errorem revocarunt: **701** inter quos sunt, qui sub Apamea censentur episcopi. Quidam vero omnino eis non consensere, in quibus sunt Julianus Bostrensis, et Epiphanius Tyrius, aliique (ut dicunt) episcopi quidam. Sed enim Isauri nunc resipiscentes, cum priorem suum condemnant errorem, tum Severum factionisque ejus populares anathemate jugulant. Alii qui sub Severo sunt episcopi et clerici, ecclesiis relictis fugerunt: quorum unus etiam est Julianus Bostrensis, et Petrus Damascenus, qui hic sunt. Sed et Mamas, qui unus ex duobus est, qui principes Dioscorianorum esse videbantur, a quibus etiam B Severus transversim ductus est, cum illorum antea præfractam temeritatem condemnasset.» Et post quædam: « Monasteria autem quæ hic sunt, et Hierosolyma ipsa, in recta fide Dei adjuvante gratia concordant, aliæque etiam plurimæ cum episcopis suis urbes, pro quibus omnibus, atque item pro nobis, Domine sanctissime et reverendissime Pater noster, ne in tentationem incidamus, fac ores.»

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τῆς καθαιρέσεως Σευήρου· οἷα ὁ Ἐπιφανὴς Εὐάγριος αὐταῖς λέξεσιν ἱστορεῖ.

Οἷα δὲ καὶ Εὐάγριος ὁ Ἐπιφανὴς περὶ Σευήρου ἱστόρησεν, αὐταῖς λέξεσι παραθήσομαι· γράφει δὲ ὧδε· « Ἐπειδὴ τοίνυν ταῦτα τὰ γράμματα λέγει τοὺς ὑπὸ Ἀπάμειαν ἱερέας ἀποπηδῆσαι Σευήρου, φέρε τι προσθῶμεν ὅπερ εἰς ἡμᾶς πατρόθεν διέβη, εἰ καὶ ἱστορίᾳ μέχρι νῦν οὐκ ἀνείληπται. Κοσμᾶς τὴν ἡμετέραν ἐπισκοπῶν Ἐπιφάνειαν, ἣ τὸν Ὀρόντην σύνοικον ἔχει, καὶ Σευηριανὸς Ἀρέθουσαν τὴν ἀστυγείτονα, πρὸς τὰ συνοδικὰ Σευήρου ταραχθέντες, καὶ τῆς ἐκείνου κοινωνίας ἑαυτοὺς ἀποῤῥήξαντες, βιβλίον καθαιρέσεως αὐτῷ διαπέμπονται, ἔτι τὴν Ἀντιόχου ἐπισκοποῦντι· ἐγχειρίζουσι δὲ τὸ βιβλίον Αὐρηλιανῷ τῷ τῶν διακόνων πρώτῳ τῆς Ἐπιφανέων· ὃς ἐπειδὴ τὸν Σευῆρον ἐδέδοικει καὶ τὸν τῆς τοσαύτης ἐπισκοπῆς ὄγκον, ὅτε τὴν Ἀντιόχου κατειλήφει, ἐσθῆτα γυναικείαν ἑαυτῷ περιθεὶς, προσῆει τῷ Σευήρῳ ἀκκιζόμενός τε καὶ θρυπτόμενος, καὶ διὰ πάντων σχηματιζόμενος τὸ εἶναι γυνή· καὶ τὸ κατὰ τῆς κεφαλῆς φάρος μέχρι τῶν στέρνων καθείς, ὀλοφυρόμενός τε καὶ μύχιον ποτνιώμενος ἱκετηρίας τινὸς προσχήματι, προσιόντι τῷ Σευήρῳ τὴν καθαίρεσιν ἐπιδίδωσι· καὶ πάντας διαλαθὼν τοῦ ἐπομένου ἔξεισιν ὄμιλου, καὶ δρασμῷ τὴν σωτηρίαν ὠνεῖται, πρὶν τὸν Σευῆρον τὰ ἐν τῷ βιβλίῳ κείμενα γνῶναι. Ὡμῶς δ' οὖν ὁ Σευῆρος καὶ τὸ βιβλίον δεξάμενος, καὶ τὰ ἐν αὐτῷ συνείς, τῷ οἰκείῳ προσεκαρτέρησε θρόνῳ μέχρι τῆς Ἀναστασίου τελευτῆς. Ὡς δ' Ἀναστάσιος τὰ ἐπὶ Σευήρῳ γεγενημένα διέγνω (ἱστορητέον γὰρ τὴν πρᾶξιν φιλανθρώπως τῷ Ἀναστασίῳ διεσκευασμένην), προστάττει Ἀσιατικῷ, τῆς κατὰ τὴν Ἀσίαν ἐν Φοινίκῃ Λιβανησίας ἐπιτεταραμμένῃ ἀρχὴν, Κοσμᾶν καὶ Σευη-

CAPUT XXXI.

Qualia de Severo, cui episcopatus ademptus est, ipse Epiphaniensis Evagrius scripserit.

Quæ vero de Severo Evagrius Epiphaniensis memoriæ mandarit, verbis hic ejus apponam. Scribit enim ad hunc modum: « Quandoquidem litteræ istæ Palæstinorum monachorum episcopos qui Apamea suberant, a Severo resiluisse ostendunt, C age afferamus hue, quod a Patribus per manus acceptum, quamvis hucusque in historiam relatum non sit, ad nos pervenit. Cosmas patriæ nostræ Epiphaniæ episcopus, quam Orontes alluit, et Severianus vicinæ Arethusæ antistes, cum ad synodales Severi epistolas perturbati essent, et se a communione ejus disjunxissent, libellum quo illi dignitatem abrogarunt, ad eum cum adhuc Antiochiæ episcopus esset, miserunt. Eum libellum Aureliano primario ecclesiæ Epiphaniensis diacono ad illum perferendum dedere. Atque is, quod Severum et episcopatus tanti amplitudinem metueret, ubi Antiochiam venit, muliebri habitu D sumpto, Severum adiit, delicatius molliusque incedens, ac gestu omni feminam se esse assimulans: et supplicis more lamentans, atque velamine, quo caput obvolverat, ad pectus usque demisso, ex animi penetralibus cum gemitu illum obsecrans, abdicationem specie supplicis libelli accedenti illi dedit: et ex consequenti hominum turba, omnibus deceptis, prius per fugam salvus evasit. **702** quam Severus quæ in libello scripta essent, legit: nihilominus tamen Severus libello accepto, et sententia ejus intellecta, in sede sua usque ad Anastasii obitum permansit. Postquam Anastasius rem eam, sicuti Severo acciderat (1), cognovit (memoriæ enim tradendum perhumanum aliquod

(1) Evagr. lib. III, cap. 31.

θεστάναι. Εἰδέναι γε μὴν πίστιν, τὴν τῶν ἐν Νικαίᾳ τιθεῖσαν· ἀπρὶξ δὲ καὶ τῶν ἄλλων τριῶν συνόδων ἔχεσθαι κατ' ἴχνος ἑπομένων τῇ πρώτῃ· καὶ μηδ' ἂν εἴ τι καὶ γένηται, μεθεῖναι τὰ ἐκ πρώτης παρυφθέντα, ἀλλὰ καὶ μέχρις αἵματος ὑπὲρ τούτων εἴπερ δεήσειεν ἀντικαταστῆναι. Ὁ δὲ πατριάρχης Ἰωάννης σύναμα τοῖς ὁσίοις οὐκ ἐλάχιστον χρόνον ἐπιβιοὺς, Πέτρον ἐπίσημον ἄνδρα διάδοχον καὶ τῆς εὐσεβείας καὶ τοῦ θρόνου κεκλήρωται· φασί γε μὴν Ἠλίαν τῷ Ἀναστασίῳ τελευτᾷν μέλλοντι τὴν τῆς ἐκδημίας ὥραν τῷ μακαρίτῃ Σάββᾳ διομιλουμένῳ καὶ πόρρωθεν προειπεῖν. Τὰ μὲν οὖν ἐν Παλαιστίνῃ συμβάντα τοῦτον εἶχε τὸν τρόπον.

esse, quod fuga saluti suæ consuleret, putavit. Patres autem ipsi cum scirent imperatorem ea re audita iratum fore, epistolam libertatis plenam ad eum dedere : in qua cum illum arguebant, tum dogmatis sui certitudinem astruebant. Absurdum quippe etiam esse scripsere, cum Hierosolymitani essent, unde dogma ipsum tanquam e fonte profluxisset, si tum primum tanquam seri discipuli, id quod optimum esset discere deberent. Scire se quidem, a trecentis decem et octo Patribus Nicææ promulgatam fidem : tenacissime autem alia quoque tria concilia, ut quæ prioris illius vestigiis inniterentur, retenturos : neque quidquam, etiam si duri aliquid accidat, se de primis traditionibus remissuros : sed eas ad sanguinem usque, si opus sit, defensuros esse. Patriarcha Joannes una cum sanctis illis viris, postquam non brevissimo tempore supervixit, Petrum ecclesiæ suæ et pietatis simul successorem habuit, virum præclarum. **709** Heliam dicunt cum beato Sabba collocutum, et longe a Constantinopoli dissitum, cum Anastasius mori deberet, migrationis ejus horam prædixisse. Res Palæstinæ ad hunc se habuere modum.

ΚΕΦΑΛ. ΛΕ'.

Περὶ Τιμοθέου τοῦ Κωνσταντινουπόλεως, καὶ Συμμάχου καὶ Λαυρεντίου τῶν Ῥώμης ἐπισκόπων· καὶ περὶ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου. Ἔτι δὲ καὶ περὶ Θευδερίχου τοῦ Σκύθου, Δευτερίου τε καὶ Ἀλαμουνδάρου τοῦ Σαρακηνῶν φυλάρχου.

CAPUT XXXV.

De Timotheo Constantinopolis, de Symmacho et Laurentio Romæ episcopis. De sanctorum apostolorum Petri et Pauli feriis. De Theuderico Scytha. Item de Deuterio et Alamundaro Saracenorum ducibus.

Τιμόθεος δ' ὁ τῆς Κωνσταντίνου πρόεδρος διάφορος Μακεδονίῳ τῷ πρὸ αὐτοῦ τὴν ἱερωσύνην διέποντι μάλα καθίστατο· κόθορνός τις καὶ αὐτὸς πρὸς τὸ δοκοῦν ῥᾷστα στρεφόμενος, ποτὲ μὲν τὴν ἐν Χαλκηδόνι σύνοδον προσιέμενος, ἄλλοτε δὲ ὑποβάλλων τῷ ἀναθέματι. Οἷον γὰρ αὐτῷ περὶ τὴν τοῦ Στουδίου διεπράχθη μονὴν διηγήσομαι. Ἐτελεύτα μὲν γὰρ ὁ τῆς μονῆς προεστὼς θεράπων· Τιμόθεος δὲ παρῆν ἄλλον προχειρίσων εἰς προστασίαν. Ὁ δὲ τὴν ἐπιτροπὴν τῆς ἀρχῆς μέλλων λαμβάνειν, διετυχορίζετο ἀπώμοτον ἔχειν ψῆφον προστασίας εἰσδέχεσθαι, ᾧ μὴ διὰ στοργῆς ἐστιν ἡ ἐν Χαλκηδόνι σύνοδος. Τιμόθεον δ' ἀποψηφισάμενον καὶ διαρρήδην τῷ ἀναθέματι παραπέμψαντα ὃς ἂν μὴ τὴν εἰρημένην σύνοδον δέχοιτο· κατεδέχετο τὴν χειροτονίαν ὁ προβληθείς. Ὁ δὲ τῶν αὐτοῦ διακόνων πρῶτος παρὼν, ὕβρεσι τὸν Τιμόθεον ἔβαλλεν, ὡς μὴ ἐφ' ἑνὸς ἱστάμενον, ἀλλὰ νῦν μὲν ἐπὶ τοῦτο, νῦν δ' ἐπ' ἐκεῖνο δίκην Εὐρίπου μεταβαλλόμενον. Καὶ ἐς τὸν βασιλέα ἰὼν, κατεμήνυε τὴν ἐγχείρησιν. Ὁ δὲ μετάπεμπτον ποιησάμενος, χαλεπῶς τῷ ἱερεῖ διετίθετο. Τὸν δὲ τὸ αἶσχος ἀποτριβόμενον, τοὐναντίον παῤῥησίᾳ ἐκήρυττεν, ἀνάθεμα φάσκων παντὶ ἀνθρώπῳ τὴν ἐν Χαλκηδόνι σύνοδον δεχομένῳ. Ἐπὶ δὲ διαβολῇ Μακεδονίου ὡς ἐκείνου δῆθεν μὴ τὸ τῶν τριακοσίων παραδεχομένου σύμβολον, τοῦτον μᾶλλόν φασι καὶ οὐ τὸν Κηφᾶ Πέτρον· καὶ καθ' ἑκάστην σύναξιν τοῦτο παρασκευάσαι λέγεσθαι, ἅπαξ τοῦ ἔτους πρότερον κατὰ τὴν Παρασκευὴν τοῦ ἁγίου πάθους μόνον ἐπ' ἐκκλησίας λεγόμενον, ἧπέρ μοι

Timotheus autem Constantinopolitanus episcopus magnopere a Macedonio, qui ante eum episcopatum gesserat, dissensit : qui et ipse, veluti cothurnus aliquis, facillime animum ad ea quæ hominibus placita essent, converteret, nunc quidem Chalcedonensem synodum complectens, nunc autem, contra, eamdem anathemate configens. Quid vero is in Studii (1) monasterio fecerit, commemorare libet. Monasterii ejus curator diem suum obiit : atque ibi Timotheus, ut alium illi præficeret præfectum, affuit. Et cum is qui procurationem eam suscipere debebat, asseveraret, jurisjurandi se religione, ne suffragium aut electionem præfecturæ ejusmodi ab eo susciperet, qui non ex animo Chalcedonensi synodo assentiretur, obstrictum esse : Timotheus in eum per damnationem anathema, qui synodum eam non reciperet, conjecit. Atque ita, qui designatus fuerat, ordinationem suscepit. Ibi tum primarius ejus diaconus progressus, conviciis Timotheum incessit, quod non in una sententia persisteret, verum nunc huc, nunc illuc, ad instar Euripi, per animi æstum et fluctuationem se conferret. Rem eam diaconus ad imperatorem retulit, qui Timotheum accitum graviter objurgavit. Et ille ut probrum hoc aboleret, diversam prorsus a priore sententiam publice promulgavit, et anathema in hominem quemque, qui Chalcedonensem reciperet synodum, torsit. Nonnulli ut Macedonium, perinde atque trecentorum et decem octo illorum symbolum non comproba-

(1) Studius dynasta celebre templum et monasterium condidit, quod Studitarum cognominatum est. Et consulatum gessit. De qua re versus illi sunt editi :

Στούδιος ἀγλαὸν οἶκον ἐδείματο, καρπαλίμως δὲ
Ὧν χάμεν εὖρατο μισθὸν ἑλὼν ὑπατηΐδα ῥάβδον.

Magnificam postquam construxit Studius ædem,
Consulis accepit mercedis nomine honorem. (Suid.)

rit, calumniarentur, Timotheum hunc, non Petrum Cnapheum instituisse dicunt, ut in synaxi et conventu ecclesiastico quovis symbolum id diceretur, quod antea semel tantum anno quolibet Parasceves passionis sanctæ die in ecclesia legi solitum fuerat, sicuti supra diximus, cum episcopum primas religionis nostræ institutiones docere oporteret. Hæc de Timotheo. Tum vero apud veterem quoque Romam ingens confusio et turba excitata est talem ob causam. **710** Vir quidam Festus nomine primarius, senator Romanus, propter reipublicæ Romanæ utilitates quasdam Constantinopolim profectus, et cum Anastasio collocutus est. Atque ubi ex animi sententia negotium confecit, postea etiam ei supplicavit, ut ibi Petri et Pauli apostolorum memoria majore reverentia et cultu, sicuti Romæ fieri soleret, celebraretur. Ea enim nulla cura, atque, ut ita dicam, sicuti sors tulisset culta antea fuerat. Anastasius petitioni ejus non gravate consensit, et constitutione promulgata sanxit, ut magnifice ab omnibus conventus ecclesiasticus in apostolorum eorum honorem ageretur. Ab eo tempore conventus ejus celebritas magna cepit incrementa, atque ingenti cum lætitia est frequentata. Et quod adhuc in ecclesia Constantinopolitana Macedonius eniteret, per Festum quem diximus, is synodalem epistolam ad episcopum Romanum Anastasium, ut ille magis ac magis synodum Chalcedonensem confirmaret, dare decrevit. Sed id imperator Romanus cum resciviset, impediit. Et Festus in secreto colloquio imperatori, Anastasium Romanum antistitem se facile adducere posse, ut Zenonis henotico assentiretur, et manu sua subscriberet, significavit. At ubi Romam rediit, Anastasium episcopum decessisse comperit. Proinde operam dedit, ut vel per speciem et simulationem, ea quam pollicitus fuerat, subscriptio perficeretur. Itaque quibusdam pecunia corruptis, præter receptum morem effecit, ut illi Laurentium quemdam Romanum episcopum legerent. Populus autem alium creandum decrevit. Ita seditione orta, eodem tempore duo designati sunt antistites. A pluribus namque Symmachus diaconus, a parte autem altera Laurentius episcopus ordinatus fuerat. Verum seditio ea quæ ad triennium non sine cædibus, rapinis, allisque calamitatibus, quæ in ejusmodi tempora incidere solent, duravit, sopita est (1). Nam Theuderichus qui tum Romam obtinebat (2), etiamsi Arianus esset, synodum tamen episcoporum coegit, et Symmacho episcopatum confirmavit. Laurentio autem pulso thronum Nuceriæ attribuit. Porro Laurentius haudquaquam quietus esse voluit, sed episcopatum Romanum affectans, populum ad sedi-

προείρηται, ὁπηνίκα κατηχεῖν ἐχρῆν τὸν ἐπίσκοπον. Τοσαῦτα καὶ περὶ Τιμόθεου. Πολλὴ δέ τις καὶ ἀνὰ τὴν πρεσβυτέραν Ῥώμην σύγχυσις τηνικαῦτα κεκίνητο, αἰτίαν σχοῦσα τοιάνδε. Ἀνήρ τις Φῆστος τὴν κλῆσιν τῆς ἐν Ῥώμῃ γερουσίας ἐπιπολὺ μετασχών, διά τινα τῆς Ῥώμης συντέλειαν πρὸς τὴν νεωτέραν ἦκει Ῥώμην. Ἀναστασίῳ δὲ τῷ βασιλεῖ συνελθών, καὶ τὸ πρὸς βουλῆς ἐκπερίνας, ἔπειθ' ἱκέτευε τῶν ἀποστόλων τὴν μνήμην Πέτρου καὶ Παύλου αἰδοῖ πολλῇ καὶ σεβάσματι· ὥσπερ δῆτα κἀν Ῥώμῃ γίνεται ἐκτελεῖν· ἀμελῶς καὶ ὡς ἄν τις εἴποι, ἢ ἔτυχεν ἐπιτελουμένη τὸ πρότερον. Κεχαρισμένα δ' ἐκείνῳ θέλων ποιεῖν Ἀναστάσιος, πειθήνιος ἦν· καὶ ἐτύπου πανδημεὶ περιφανῶς τὴν τῶν ἀποστόλων ἄγειν πανήγυριν· ἐξ ἐκείνου τε εἰς μέγα καὶ πολύ τι ἐπίδοσιν ἡ πανήγυρις, πρὸς τὸ φαιδρότερον αὐξηθεῖσα. Ἔτι δὲ τῷ θρόνῳ διαπρέπων τῆς Βυζαντίδος ὁ Μακεδόνιος, διὰ τοῦ εἰρημένου Φήστου συνοδικὰ τῷ Ῥώμης ἐπισκόπῳ ἔπεμπε Ἀναστασίῳ, ὥστ' ἐπὶ μᾶλλον τὴν ἐν Χαλκηδόνι κρατύνειν σύνοδον. Γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς Ἀναστάσιος εἶργεν. Ὁ δὲ Φῆστος λάθρᾳ μᾶλλον βασιλεῖ πρασσῶν, ὑπετίθει ἱκανῶς ἔχειν, καὶ Ἀναστάσιον τὸν πρίσβυν Ῥώμης πεῖσαι, τῷ Ζήνωνος ἑνωτικῷ συντίθεσθαι, καὶ αὐτόχειρα τούτῳ ὑποσημαίνειν. Ἐπεὶ δὲ τὴν Ῥώμην εἰσῆλθε, ἀποδιδυσκότα μὲν εὑρίσκει τὸν Ἀναστάσιον· διὸ σπουδὴν ἐποιεῖτο, σχήματι τὸ ὑπεσχημένον καθυπογράφειν· καὶ δή τινα χρήμασιν ὑποφθείρας, παρὰ τὸ εἰωθὸς παρεσκευάσατο, Λαυρέντιόν τινα Ῥωμαῖον ἐπὶ τὸν θρόνον ἀνάγειν· τὸ δέ γε πλῆθος ἕτερον ᾑρεῖτο ποιεῖν. Στάσεως οὖν γενομένης κατὰ ταυτὸν δύο χειροτονοῦνται ἐπίσκοποι, καὶ τοῖς μὲν πλείοσι Σύμμαχος διακόνων ἐκρίνετο θατέρῳ δὲ μέρει Λαυρέντιος ἐχειροτονεῖτο. Δι' ἅπερ οὐκ ἄνευ φόνων καὶ ἁρπαγῶν καὶ ἄλλων δεινῶν ὅσα δὴ τοῖς τοιούτοις φιλεῖ ἕπεσθαι, ἡ στάσις ἐκρίνετο ἐπὶ τρία ἔτη κρατήσασα. Ὡς καὶ τὸν Ἄφρον Θευδέριχον, τηνικαῦτα τῆς Ῥώμης κατάρχοντα, εἰ καὶ τὰ Ἀρείου ἐνόσει, σύνοδον ἐπισκόπων ἀθροῖσαι, καὶ Συμμάχῳ μὲν τὴν ἱερωσύνην κυρῶσαι, Λαυρέντιον δ' ἐξελάσας, ἐπί τινα πόλιν Νουκερίαν ὄνομα ἐναθρόνιζεν. Ἀλλ' οὐδαμῶς ἡσυχῇ μένειν Λαυρέντιος ἤθελε. Τῆς δ' ἐπισκοπῆς ἐφιέμενος, στασιάζειν τὸν δῆμον ἠρέθιζε. Σύμμαχος δὲ καὶ τὸ ἱερᾶσθαι ἐκεῖνον προσαφελόμενος, ὑπερόριον ἦγε· καὶ οὕτως ἡ κατὰ Ῥώμην στάσις ἤρεμει. Περὶ δὲ Θευδερίχου καί τι τοιοῦτον ἱστόρηται. Διάκονός τις τῇ ὑγιαινούσῃ πίστει στοιχῶν, περιμανῶς ἠγαπᾶτο τῷ Ἄφρῳ· καὶ πάντες τοῦ ἥδοντος παρ' ἐκείνου ἀπῆλαυε. Καὶ δή ὁ διάκονος τὰ κεχαρισμένα καὶ φίλα δῆθεν ἐκείνῳ πράττειν ἐθέλων, τῆς ὁμουσίου πίστεως ἑαυτὸν ἀποστήσας, τὰ Ἀρείου ἐπρέσβευεν. Ὡ δὴ γνοὺς ὁ Θευδέριχος, τὸν οὕτω διαφιρόντως ἐρώμενον ἀφεῖλε τῆς κεφα-

(1) In dissidio isto potissimum sævitum in sacerdotes, et virgines sacras. (Blond. Diacon.) Trasamundus Vandalorum rex in Africa CCXX episcopos catholicos in Sardiniam relegavit, quibus Symmachus Romanorum episcopus subsidia clementer suppeditavit. (Diacon.)

(2) Theuderichus rex Romam votis omnium tenuit: mitis, affabilis, in plebem liberalis: populo annonam donavit, captivos redemit, civitatis ædificia restituit: in Italia oppida pleraque exstruxit et ornavit. (Cassiod. Blond.) Hic est, qui Tetricus Veronensis, seu Detrichus a Berna nominatur.

λῆς εἰπών· Εἰ τῷ Θεῷ τὴν πίστιν ἀκραιφνῆ οὐκ ἐφύλαξας, πῶς ἐξέσται σοι ἀνθρώπῳ φυλάξαι σὴν εἰδησιν ὑγιαίνουσαν; Τηνικαῦτα δὲ καί τις τῶν Ἀρειανῶν ἐπίσκοπος, Δευτέριος ὄνομα, ἐν τῇ Κωνσταντίνου βαπτίζων Βάρβαν τινὰ ὄνομα, οἷα δὴ ἀθετῶν τὴν τοῦ Κυρίου παράδοσιν, εἰπεῖν ἐπιτολμήσας παρὰ τὸ εἰωθὸς, Βαπτίζεται Βάρβας εἰς τὸ ὄνομα τοῦ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, αὐτίκα τὸ παρὰ τῇ κολυμβήθρᾳ ὕδωρ ἀφανὲς ἐγεγόνει. Βάρβας δ' ἐκεῖθεν διαφυγὼν, δῆλον πᾶσι τὸ παράδοξον κατεστήσατο. Ἐσκωμασάντων δὲ τηνικαῦτα καὶ τῶν Σκηνητῶν βαρβάρων περὶ τὴν μέσην τῶν ποταμῶν· λῃσαμένων δὲ καὶ Ἀρμενίαν, τήν τε ἑκατέραν Φοινίκην, ἐπελθόντων δὲ καὶ τοῖς Παλαιστινῶν ὅροις, Ἀλαμουνδάρου τοῦ φυλάρχου τῶν Σαρακηνῶν ἡγουμένου, πρὸς δὲ καὶ Ζαρέθα· κακῶς τε πεπονθότων ὑπὸ τῶν ἐκστασχοῦ στρατηγούντων Ῥωμαίων, ὕστερον ἡσυχίαν ἦγον, Ῥωμαίοις σπεισάμενοι. Ὁ δ' Ἀλαμούνδαρος καὶ τὰ Χριστιανῶν πρεσβεύειν εἵλετο. Σευῆρος δὲ τηνικαῦτα τὴν τῆς Ἀντιόχου προεδρίαν ἐπειλημμένος, δύο τῶν ὑπ' αὐτὸν ἔπεμπεν ἐπισκόπων, ἐφ' ᾧ τῷ φυλάρχῳ τῆς σφετέρας μεταδίδῃ λώβης. Θεὸς δὲ ὅρα προφθάνων ὑπὸ τῶν τὰ ὀρθὰ φρονούντων, καὶ τὴν ἐν Χαλκηδόνι δεχομένων σύνοδον, τὸν ἄνδρα παρεσκεύαζε μυεῖσθαι τὰ τελεώτερα, τῶν δ' ὑπὸ Σευήρου σταλέντων σπουδαζόντων μεταστρέφειν τὸν φύλαρχον, καὶ τἀναντία τῶν ἀληθῶν δογμάτων πρεσβεύειν, θαυμάσιόν τι δρᾶμα εἰς ἔλεγχον τῶν εἰρημένων ἐμηχανᾶτο, ὡς ἄρα εἴη γράμματα δεδεγμένος, ἃ ἐμήνυον ὅτιπερ Μιχαὴλ ὁ ἀρχάγγελος ἄρτι τέλος τοῦ βίου ἐχρήσατο. Τῶν δ' ἐν ἀδυνάτοις εἶναι τοῦτο εἰπόντων, ὑπολαβὼν ὁ φύλαρχος, ἔφη· Καὶ πῶς Θεὸς γυμνὸς σταυρὸν κατεδέξατο καθ' ἡμᾶς, εἰ μὴ δύο φύσεων ἦν Χριστὸς ὁ Θεὸς ἡμῶν, ὅτε μηδὲ ἄγγελος πάσχειν ἢ ἀποθνήσκειν πέφυκεν; Οἱ δὲ τὰ Σευήρου φρονοῦντες, αἰσχύνης ἔμπλεῳ, ἀσυντάκτως ἀνεχώρουν ἐκεῖθεν. Ἐν τούτοις μὲν δὴ τὰ κατὰ τὰς ἐκκλησίας πανταχοῦ τῆς γῆς καθειστήκει· ἕως οὗ Ἀναστάσιος ἐπὶ τῶν τῆς βασιλείας ἦν σκήπτρων· ὃν δῆτα οἷόπερ τῇ ἐν Χαλκηδόνι συνόδῳ ἐναντία φρονοῦντα, τινὲς κρίναντες, τῶν ἱερῶν ἐξεγράψαντο βίβλων. Ἐν δὲ Ἱεροσολύμοις, καὶ ἔτι τῷ ζῇν περιὼν, ὑπεβλήθη τῷ ἀναθέματι. Οὐ πόρρω δ' ἂν λόγου μοι γένοιτο, καὶ ὅσα δῆτα διηγήσεως ἄξια ἐπ' αὐτοῦ πεπραγμένα ἔγνων, τῷ παρόντι συνάπτειν σπουδάσματι.

tionem concitavit. At Symmachus sacerdotali quoque homini abrogata dignitate, in exsilium cum misit, **711** atque ita Romæ seditio quievit. De Theudericho hujusmodi quiddam historiæ tradunt. Ministrum is quemdam saniorem fidem sectantem, effictim amore insano prosequebatur, et ad voluptatem eo abutebatur. Et ille, ut quæ grata placitaque ei essent faceret, ab τοῦ ὁμοουσίου (consubstantialis) fide desciscens, ad Arianismum transiit. Quod ubi Theuderichus comperit, caput, illi quem tantopere amaverat, resecuit, inquiens : Si Deo fidem sinceram non servasti, quomodo mihi qui homo sum, conscientiam sanam præstabis? Eadem tempestate episcopus quidam Arianus, cui nomen Deuterii fuit, in urbe Constantinopolitana, Barbam quemdam cum baptizaret, veluti Domini traditionem abolens, præter morem receptum dicere ausus est : Baptizatur Barbas in nomen Patris per Filium, in Spiritu sancto. Ecce tibi autem, unda quæ in sacro lavacro erat, derepente disparuit, et Barbas inde profugiens, miraculum id omnibus promulgavit. Eodem tempore Scenitæ (1) barbari incursionem in Mesopotamiam fecerunt, Armeniam quoque et utramque Phœniciam populati sunt. Impetum vero in fines etiam Palæstinæ Alamundarus Saracenorum gentis princeps, et Zarethas (2) præterea Persarum dux fecerunt. Qui male ex parte omni a Romanis ducibus accepti, postea cum Romanis pace facta quievere. Alamundarus Christianorum quoque sacra suscepit. Severus tum Antiochenum administrabat episcopatum, qui ex episcopis suis duos ad Alamundarum, ut contagione sua eum inficeret, misit. Deus autem illum præveniens, fecit ut ille a recte sentientibus et Chalcedonense concilium comprobantibus, per initiationem meliore religione imbueretur. Porro qui a Severo submissi fuerant, gentis principem transversum agere, et ad professionem veræ doctrinæ contrariam abducere contenderunt. Atque ille mirificam quamdam fabulam, qua dicta eorum convinceret, confinxit, litteras se accepisse dicens, in quibus esset, Michaelem archangelum nuper admodum vita defunctum esse. Cum vero illi talem eam rem esse dicerent, quæ prorsus fieri non posset : **712** subinferens gentis princeps, Et quomodo (inquit) purus Deus more nostro crucem suscepit, si non duarum naturarum fuit Christus Deus noster, quandoquidem ne angelus quidem pati aut mori possit? Porro Severi sectatores cum dedecore turpiter inde abscessere. Hic status ecclesiarum ubique fuit, quandiu Anastasius imperium obtinuit : quem propterea quod synodo Chalcedonensi adversari quidam judicarent, ex sacris exemerunt libris. Hierosolymis vero, cum adhuc superstes esset, anathemate condemnatus est. Cæterum ab instituto alienum non fuerit, si ea quæ sub imperio ejus gesta esse comperi, et digna memoratu sunt, operi huic annexuero.

(1) Scenitæ Arabes. (Plin. lib. v, cap. 11.)
(2) Apud Procop. hic *Exarethas* dicitur, alicubi etiam *Azarethus*.

οὖσα, τὸν φρούραρχον τοῦ κάλλους ἁλῶναι ἐποίει, καὶ τῷ ταύτης ἔρωτι δουλεύειν ὅ τι ἂν ἐκείνη φίλον εἴη αἱρεῖσθαι. Ἡ δὲ σώφρων οὖσα καὶ φίλανδρος, τἀνδρὶ τὸν ἔρωτα ἤγγειλε τοῦ φρουροῦ· ὁ δ' ἐνδιδόναι τῇ θελήσει παρηγγύα τοῦ ἐραστοῦ. Τοῦ δὲ μύσους πραχθέντος, ἡ γυνὴ ἀδεέστερον ἐπὶ τὸν ἄνδρα εἰσέρει τὸ εἰκὸς ἐκείνῳ εἰς θεραπείαν ἀποπληροῦσα. Ἑταῖρος δέ τις Καβάδῃ φίλος ἐς τὰ μάλιστα καθεστώς, διὰ τῆς γαμετῆς ἐμήνυεν, ἔν τινι χώρῳ ἵππους τε καὶ ἄνδρας ἐμπαρασκεύους ἔχειν· δι' ὧν εἴ γ' αἱροῖτο ἀπ διδράσκειν, εὐχερὲς καθεστάναι, καὶ τὴν ἀρχὴν αὖθις ἀναλαμβάνειν. Ἐπεὶ δὲ νὺξ ἐπεγένετο, ἔπειθε Καβάδης τῇ μὲν γυναικὶ, τὰ σφέτερα τῶν ἱματίων ἀναβάλλεσθαι, καὶ ἐπὶ τῆς εἱρκτῆς καθῆσθαι· ἐκεῖνον δὲ τὰ ἐκείνης αὖθις μεταμφιασάμενον, εὐφυῶς σοφιζόμενον τὸ εἶναι ἐκείνην, ἀναχωρεῖν. Καὶ τὸ μὲν εἰς τέλος ἦν· καὶ Καβάδης διὰ τοῦ Σέη, τοῦτο γὰρ ὁ ἑταῖρός οἱ ὠνόμαστο, ἐς Νεφθαλίτας ὡς τάχιστα διεσώζετο· ᾧ τόν τε στρατὸν καὶ τὴν θυγατέρα εἰς γαμετὴν δοὺς, ἐπὶ Πέρσας στρατεύειν ἐκέλευε, καὶ τῆς ἰδίας ἀντιποιεῖσθαι ἀρχῆς. Ὁ δὲ εἰσβαλὼν Πέρσαις, ἐξαπιναίως πόνῳ οὐδενὶ τὴν ἀρχὴν ἀνελάμβανε· καὶ τὸν ἀδελφὸν Βλάσον συσχὼν, ἐμφρουρον ἐποιεῖτο τὰς κόρας περιελών. Ἀγχίνους δὲ ὢν καὶ μάλα δοαστήριος ὁ Καβάδης, ἀσφαλέστατα τῷ ἑξῆς διαγέγονε τὴν βασιλείαν κρατῶν· καὶ εἰς ἔτη ἕνδεκα τοῦ λοιποῦ τῇ ἀρχῇ διαρκέσας, τὰ μὲν πρῶτα Ῥωμαίοις ἐσπένδετο· ἐπεὶ δὲ δανείζεσθαι χρήματα παρ' Ἀναστασίου ἠτεῖτο, ἀπεκρίνατο γραμματεῖον ποιεῖν εἰ δανείζεσθαι βούλοιτο· εἰ δ' ἄλλως, οὐδ' ἂν ἕνα παρέξειεν ὀβολόν. Διά τοι τοῦτο Καβάδην τὰς σπονδὰς λύσαντα, κατὰ Ῥωμαίων ὁρμῆσαι. Ἄστυ δέ τι μεταξὺ Περσῶν καὶ Ἰνδῶν ἐτύγχανεν ὄν, ὄνομα ἦν Τζουνδαδάερ· ἐν ᾧ χρήματα πλεῖστα καὶ λίθους τῶν τιμαλφῶν καὶ διαφανῶν μαθὼν Καβάδης κρύπτεσθαι, πάντα κάλλων ἐκίνει χειρώσασθαι. Εἴργετο δὲ δαίμοσιν ἐμποδὼν καθισταμένοις, οἳ ταῦτα φρουρεῖν ἔλαχον. Ἐπεὶ δὲ πᾶσαν τὴν σφετέραν μαγγανείαν κεκινηκὼς οὐδὲν ἤνυεν, ἀπρὶξ τῶν δαιμονίων ἐχομένων τοῦ τόπου, διὰ τῶν Ἰουδαίων ἀπεπειρᾶτο· κἀκεῖθεν δὲ τοῦ σκοποῦ διημαρτηκὼς, ἔγνω διὰ τῶν Χριστιανῶν ἐλθεῖν, δυναστείαν εἰληφέναι σφᾶς κατὰ δαιμόνων ἀναμαθών· καὶ μετεστέλλετο τὸν παρὰ Πέρσαις Χριστιανῶν ἐπίσκοπον· ὃς ἐπὶ τοῦτο σύναξιν ὁμοφύλων πεποιηκὼς, καὶ μετασχὼν τῶν θείων ἁγιασμάτων, μεταδοὺς τε τούτων καὶ τοῖς συνιοῦσι Χριστιανοῖς, τῷ τοῦ σταυροῦ σημείῳ τοὺς ἐμφιλοχωροῦντας ἤλαυνε δαίμονας· καὶ πόνων ἄνευ Καβάδῃ τὸ ἄστυ εὐθὺς παρεδίδου. Ὅθ' ἥδε καταπλαγεὶς ὁ Πέρσης, πρώτῃ καθέδρᾳ τὸν τῶν Χριστιανῶν ἐτίμα ἐπίσκοπον, ἄχρι τότε Ἰουδαίων καὶ Μανιχαίων προηγουμένων· ἔνθεν τοι καὶ πᾶσι τοῖς Χριστιανίζειν ἐθέλουσι τοῦ λοιποῦ ἄδειαν παρεῖχε· πρότερον κολάζων, ὡς καὶ πολλοὺς τῶν φωνητικῶν ἀφαιρεῖν ὀργάνων· οἳ καίπερ οὕτως ἔχοντες, καθαρῶς διωμίλουν καθὰ καὶ πρότερον λέγοντες.

regem crearunt. Cabadæ in carcere uxor ejus, quæ debuit officia, præstitit. Et quod ea venusta forma esset, carceris custos pulchritudine ejus victus, et amore captus, inservire ei, et quod illa vellet facere constituit. Illa autem quoniam casta erat, et virum amabat, custodis amorem ei indicavit. Ille porro eam voluntati amatoris obsequi jussit. Flagitium id ubi peractum est, liberius ad maritum deinde mulier accessit, convenientem ei curam præstans. **714** Erat Cabadæ amicus quidam quam maxime charus, qui per uxorem ei insinuavit, paratos se in loco certo equos et viros habere, cum quibus si fugere vellet, facile regnum recuperare posset. Ubi nox advenit, Cabades conjugi persuasit, ut vestem illa suam indueret, atque in carcere consideret: ipse vero habitu illius sumpto, eam ipsam se esse probe assimulavit, et custodia egressus est. Id ubi factum, Cabades Seæ ductu (ita enim amicus ille nominabatur) quam celerrime salvus ad Nephthalitas pervenit. Quorum princeps illi et filiam matrimonio conjunxit, et exercitum attribuit, quem in Persas, regnum suum recuperaturus, duceret. Cabades ubi Persas præter exspectationem subito aggressus est, regnum nullo prope labore recepit: fratrem Blasum cepit, excæcavit, et carceri inclusit; et quod Cabades vir sagax atque industrius esset, regnum postea quam tutissime tenuit. Et anno administrationis suæ undecimo pacem primum cum Romanis fecit: deinde vero, ubi mutuam ab Anastasio pecuniam accipere voluit, atque Anastasius ei respondit, cautionis syngraphan eum, si pecuniam recipere vellet, dare debere, absque ea no unum quidem obolum accepturum esse: eam ob causam pacis fœdus rupit, et adversus Romanos bellum suscepit. Inter Persidem et Indiam oppidum fuit, Tzundadaer nomine. In eo Cabades maximam pecuniæ vim, pretiososque et pellucidos lapillos clam asservari intellexit. Eis ut una cum oppido potiretur, nihil intentatum reliquit: sed quo minus quod volebat efficeret, dæmones, qui thesaurum eum custodiebant, obstitere. Et postquam Persicas evocationes et imposturas expertus, dæmonibus videlicet locum eum firmissime obtinentibus, nihil egit, per Judæos rem expedire aggressus est; atque ubi per eos quoque optatis votisque suis potitus non est, per Christianos tandem se quod conabatur facturum esse arbitratus est, quos adversus dæmones potestatem recepisse audiverat. Itaque Christianorum, qui apud Persas erat, episcopum ad se vocavit; qui ea de causa synaxi et conventu ecclesiastico popularium suorum coacto, et divinis sanctificationibus perceptis, eisdemque Christianis qui ibi convenerant datis, signo crucis qui locum eum incolebant dæmones exegit, et Cabadæ statim sine labore ullo oppidum tradidit. Qua re consternatus Persa, **715** primo subsellio episcopum Christianorum cohonestavit, cum ad id usque tempus Judæi et Manichæi sedes primarias obtinuissent. Atque ab eo tempore, ut deinceps quicunque vellent, Christianorum sacra colerent, potestatem liberam

omnibus permisit : quos ille antea excruciaverat, adeo ut etiam multis membra et partes eas per quas vox editur, ademerit : qui tamen illis quoque sic amissis, non minus quam antea clare sunt locuti.

CAPUT XXXVII.

De Persarum pugna. De Theodosiopoli et Dara oppidulis. et de sacris reliquiis Bartholomæi et Barnabæ apostolorum.

Sed enim, sicuti diximus, Persæ pace violata, fines suos transgressi sunt, et primum Armeniæ bellum intulerunt. et Theodosiopoli oppido capto, ad Amidam urbem Mesopotamiæ inde pervenerunt : quam etiam obsessam expugnarunt, et Anastasius postea impensis recuperavit. Si qui autem plenius atque exactius obsidionem expugnationemque ejus urbis cognoscere velit, is Eustathium Syrum legat, qui sane quam luculenter res eas conscripsit, atque ubi historiam ad id tempus, duodecimum scilicet imperii Anastasii annum, produxit, ad locum communem profectus, cum pluribus esse cœpit. Postea imperator locum quemdam Daras nominatum, qui et ipse intra duo flumina in Mesopotamia, ad Romani imperii fines, nostræ et Persicæ ditionis terminus, situs est, firmis mœnibus munivit, et in urbis formam redegit, ædificiis variis, templis, ædibus magnificis, imperialibus porticibus, lavacris publicis, aliisque præterea structuris, quibus celebres urbes lætantur, excitatis. Locum autem eum a Dario nomen accepisse fama est, quod illum ibi Alexander Philippi filius posteriore pugna devicerit. Urbe ea condita, postquam inde discessit, in somnis ei Bartholomæus apostolus assistens, per oraculum commissam sibi a Deo mœnium eorum tutelam esse significavit. Anastasius vero visionem eam ad rem ipsam contulit : nam reliquias illius repertas ibi reposuit. **716** Sub ejusdem imperio corpus etiam Barnabæ apostoli in Cypro, sub arbore quæ Siliqua dicitur, inventum est : super cujus pectore sacrum et divinum Evangelium Matthæi evangelistæ repertum fuit, ipsius Barnabæ manibus scriptum. Hac de causa primum Cyprii metropolim liberi juris sui habere cœperunt : neque deinceps sub Antiochia, cui antea subjecti fuere, censi sunt. Confirmavit id jus postea magis Justinianus propter conjugem suam Theodoram, cui Cyprus patria fuit : quemadmodum etiam patriæ ipse suæ Archrido honorem habuit, quam primam Justinianam vocavit. Eo etiam tempore Immeres, gens bellicosa, sub ditione Persarum, ad extremos noti fines habitantes, Christianismum complexi sunt : et missis ad imperatorem oratoribus, episcopum, et alia quæ eos habere oportuit, acceperunt. Ii una cum regina austri ad Solomonem visendum venisse dicti sunt. Et cum ab origine Judæi fuissent, longo post tempore ethnici et gentiles facti sunt ; tum vero et Judæis et gentibus misti, ardentibus animis religionem Christianam susceperunt.

ΚΕΦΑΛ. ΑΖ'.

Περὶ τῆς τῶν Περσῶν μάχης, καὶ Θεοδοσιουπόλεως καὶ Δάρας τῶν πολιχνίων· καὶ περὶ τῶν ἱερῶν λειψάνων Βαρθολομαίου καὶ Βαρνάβα τῶν ἀποστόλων.

Ἀλλ' ἐαυτῶν Πέρσαι λύσαντες τὰς σπονδὰς, καὶ τὰ εἰκεῖα ὑπερπηδήσαντες ὅρια, τὰ μὲν πρῶτα περὶ Ἀρμενίαν ἐπιστρατεύουσι. Πολίχνιον δέ τι ἐλόντες Θεοδοσιούπολιν ὄνομα, ἐκεῖθεν Ἀμίδι τῇ πόλει προσβάλλουσι περὶ ποῦ τὴν μέσην ναιμένῃ τῶν ποταμῶν· ἦν δὴ τὰ καὶ ἐκπολιορκήσαντες εἶλον· ἀλλ' αὖθις πολλοῖς χρήμασιν Ἀναστάσιος ἤγειρεν. Εἰ δέ τις ὅπως τὰ τῆς πολιορκίας εἰς λεπτὸν προέβη, καὶ τὴν ἐφ' ἑκάστῳ βούλοιτο διειδέναι ἀκρίβειαν, Εὐστα-
Β θίῳ τῷ Σύρῳ τοῦτον ἐντυγχάνειν προτρέπομεν, ὃς κομψῶς μάλα τὰ τοιαῦτα συνέταξε· καὶ μέχρι τοῦδε περατώσας τὴν ἱστορίαν, ἄχρι ὠδεκάτου ἔτους τῆς Ἀναστασίου ἀρχῆς, μετὰ τῶν πλειόνων ἐγένετο. Ἔπειτα βασιλεὺς χωρίον τι, Δάρας ὄνομα, περὶ τὴν μέσην δὲ καὶ τοῦτο τῶν ποταμῶν κείμενον, περὶ τὰ τέρματα τῆς Ῥωμαίων γῆς, μεταίχμιον ἡμῶν τε καὶ τῆς Περσῶν πολιτείας ὄν, καρτερῷ τειχίῳ περιβαλών, εἰς πόλιν εἶναι ἐποίει· διάφορά τε οἰκοδομήσας, νεώς τε καὶ οἴκους περιφανεῖς, βασιλείους τε στοὰς, καὶ δημόσια βαλανεῖα, καὶ ἄλλα οἷς τῶν πόλεων αἱ ἐπίσημοι γάννυνται. Ἐκ Δαρείου δὲ τὴν ἐπωνυμίαν ταύτην λόγος κληρώσασθαι, ὅτιπερ ἐκεῖσε τοῦτον Ἀλέξανδρος ὁ Φιλίππου πάμπαν κατηγωνίσατο. Ἐπεὶ δὲ πτίσας ἐπήρτησεν, ὄναρ ἐπι-
C στὰς αὐτῷ Βαρθολομαῖος ὁ ἀπόστολος, ἐστερῖφθαι οἱ πρὸς Θεοῦ τὴν τοῦ τείχους ἀσφάλειαν ἔχρα. Ὁ δὲ τὸ ὄναρ ἐπαληθίζων, τὸ ἐκείνου λείψανον ἐφευρὼν ἐκεῖσε κατέθετο. Ἐπὶ δὲ τῆς αὐτοῦ ἡγεμονίας καὶ τὸ λείψανον Βαρνάβα τοῦ ἀποστόλου εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον ὃ Κεράτιον λέγεται κείμενον· οὗ ἐπιστέρνιον τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον Ματθαίου τοῦ εὐαγγελιστοῦ ἐτύγχανεν ὄν, χερσὶν οἰκείαις τῷ Βαρνάβᾳ γραφέν. Ἐκ ταύτης τοίνυν πρφάτεως καὶ Κύπριοι τὸ καταρχὰς περιεγένοντο αὐτοκέφαλον ἔχειν τὴν κατ' αὐτοὺς μητρόπολιν, καὶ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν ᾗ καὶ ὑπέκειτο πρίσπερον. Ἐκράτυνε δ' ἐπὶ μᾶλλον τοῦτο καὶ Ἰουστινιανὸς ὕστερον ἐπὶ δόξῃ τῆς γαμετῆς Θεοδώρας Κύπρον λαχούσης πατρίδα· καθὰ δὴ καὶ ἐπὶ τὴν
D Ἀχρὶδῶ τὴν ἑαυτοῦ πατρίδα ἐποίει, ἣν δὴ καὶ πρώτην ἐκάλεσεν Ἰουστινιανήν. Τότε καὶ Ἴμμερις ἔθνος μάχιμον ὑπὸ Πέρσαις τελοῦν πρὸς ταῖς ἑσπερίαις τοῦ νότου ποιούμενον τὰς διατριβὰς, τὰ Χριστιανῶν ἁλόμενοι, ἐπίσκοπόν τε πέμψαντες ἐλαβόν καὶ ὅσα ἄλλα χρεὼν κτήσασθαι· ἔσχον. Ἐλέγοντό μὴν μετὰ τῆς ἐκ τοῦ νότου βασιλίδος κατὰ θέαν Σολομῶντος οὗτοι ἐλθεῖν. Ἰουδαῖοι δὲ τὸ ἀνέκαθεν ὄντες, χρόνῳ πολλῷ ὕστερον ἐθνικοὶ διεγένοντο. Τότε δ' ἐπιμίκτως ἔχοντες, περιχαῶς τὴν Χριστιανῶν θρησκείαν ἠσπάσαντο.

ΚΕΦΑΛ. ΑΙΓ'.

Περὶ τῆς τυραννίδος Βιταλιανοῦ· καὶ περὶ τῶν Οὔννων, οἳ τῶν Κασπίων πυλῶν ὥρμησαν· καὶ περὶ τῆς νήσου Ῥόδου.

Καί τις ὁ ἕτερος τῆς Θράκης ὁρμώμενος, Βιταλιανὸς ὄνομα, ἐπανίσταται τῷ Ἀναστασίῳ· ὃς τὰ τῶν Θρᾳκῶν δηωσάμενος, ἀπ' Ὀδυσσοῦ καὶ Ἀγχιάλου ἀρξάμενος, τὴν βασίλειον πόλιν ἑλεῖν ἐπείγετο, ἀτάθμητόν τι πλῆθος Οὔννων προσεπαγόμενος. Πεμφθεὶς δ' Ὑπάτιος στρατηγὸς τὰς ἐπὶ τὰ πρόσω τούτου ἀναστέλλειν ὁρμὰς, ἥλω τούτῳ, ὑπὸ τῶν οἰκείων καταπροδοθείς. Ἀλλὰ λύτροις μεγάλοις βασιλεὺς τοῦτον ὠνεῖτο. Κύριλλος δὲ τὴν στρατηγίαν ἐλάμβανεν· ἀγχωμάλου δὲ τῆς μάχης γεγενημένης, καὶ πολλὰς τὰς τροπὰς καὶ πάλιν διώξεις λαβούσης, τῇ ῥᾳστώνῃ τῶν ὑπ' αὐτὸν καίπερ τοῦ στρατηγοῦ τὸ πλέον ἰσχυκότος, ὅμως καὶ οὗτος ἥλω· καὶ οὕτως ὁ τύραννος ἄχρι καὶ τῶν Συκῶν τὴν ἔλασιν ἐποιεῖτο, δηῶν πάντα καὶ ἀφανείᾳ παραδιδούς· ἐπ' ἐλπίσι τε μεγάλαις ὤν, καὶ τὴν βασιλίδα τῶν πόλεων παραστήσεσθαι, καὶ τὴν ἀρχὴν εἰληφέναι· οὗ δῆτα ἐσκηνημένου, Μαρῖνος ὁ Σύρος ἐστέλλετο κατ' αὐτοῦ νηΐτῃ στρατῷ συμβαλεῖν αὐτῷ. Ἄμφω οὖν τὼ στρατὼ συνιόντε, ἀνεκώχευον ἔκπλους ποιούμενοι· ἀκροβολισμοί τε μεταξὺ τοῖν δυοῖν ἐγίνοντο. Καὶ δὴ περὶ τὰ καλούμενα Βυθάρια ναυμαχίας χαρτερᾶς συστάσης, ἀναχρέτος πρύμναν κρουσάμενος, ἔφευγε Βιταλιανὸς, τὰ πολλὰ τῆς δυνάμεως διαφθείρας. Ἐπίσης δὲ καὶ οἱ ἅμφ' αὐτὸν ἔφευγον· οὕτως ὀξέως, ὡς τῇ ἐπιούσῃ μηδένα τῶν πολεμίων μήτε περὶ τὴν πόλιν μήτε μὴν περὶ τὸ ἀνάπλουν ποσῶς εὑρεθῆναι. Βιταλιανὸν δ' ἐς Ἀγχίαλον βραχὺ διατρίψαντα, ἔπειτα παυσάμενον τυραννεῖν, ἡσυχίαν ἄγειν ἐκόντα αἱρεῖσθαι. Καὶ ἄλλο δὲ γένος Οὐννικὸν τὴν Ῥωμαίων ἐπέδραμε· περαιωσάμενον γὰρ τὰς Κασπίας πύλας, τὴν ἐω διῆλθεν· ἡ δὲ Ῥόδος ἀνὰ τὸν αὐτὸν χρόνον τρίτον ἤδη σεισμῷ πέπονθεν ἐξαισίῳ πάθος ταὐτὸ νυκτὸς ἐν τῷ παρῳχωτάτῳ.

CAPUT XXXVIII.

De tyrannide Vitaliani. De Hunnis, qui ex angustiis Caspiis proruperunt, et de insula Rhodo.

Tyrannus item alius, natione Thrax, nomine Vitalianus, bellum Anastasio intulit: qui Thracia ab Ulyssopoli et Anchialo vastata, imperantem quoque urbem capere est conatus, vagam Hunnorum multitudinem secum ducens. Adversus quem Hypatius dux, ut imperium progressumque ejus moraretur, missus, a suis proditus, et ab illo captus, ingentique pecunia ab imperatore redemptus est. Cyrillus deinde copiis militaribus præfuit. Et cum æquo marte pugnatum esset, et aliquoties nunc hi nunc illi fugissent, et alteri alteros insecuti fuissent, per socordiam suorum, quamvis ipse dux hostibus superior esset: tamen et ipse in potestatem illorum pervenit, atque ita tyrannus usque ad Ficos ipsas, locis omnibus vastatis atque eversis, pervenit: ingenti illa spe concepta, imperantem quoque urbem se capturum, atque imperium arrepturum esse. **717** Ubi Vitalianus ad Ficos castra posuit, Marinum Syrum adversus eum imperator cum copiis maritimis misit: et cum exercitus utrique non longe inter se abessent, in aciem non descenderunt, sed levia tantum prælia commiserunt. Tandem vero ad ea quæ vocantur Bytharia, navali pugna inter se congressi, Vitalianus retro acta navi, quam maxima potuit celeritate, copiis suis magna ex parte amissis, fugit: eumque sui tanta velocitate sunt consecuti, ut postero die nullus prorsus hostis vel ad urbem, vel ad transitum appareret. Vitalianus Anchiali paulisper moratus, tyrannidem postea reliquit, et sua sponte quietus fuit. Aliud quoque Hunnorum genus, Caspiis angustiis superatis, Romanorum ditionem ad Orientem vastarunt: et Rhodus eo tempore tertium etiam intempesta nocte terræmotu ingenti quassata est.

ΚΕΦΑΛ. ΑΘ'.

Περὶ τοῦ Μακροῦ λεγομένου τείχους ὃ Ἀναστάσιος ἔκτισεν ἀπὸ τοῦ Εὐξείνου Πόντου ἄχρι τῆς Θρᾳκίας θαλάσσης.

Ἔργον δέ τι μέγιστον καὶ περιφανὲς, μνήμης τε ἄξιον καὶ βασιλεῖ πρέπον διεπράξατο Ἀναστάσιος, ὁ Μακρὸν τεῖχος ἐκάλεσεν, ἐπὶ καλῷ τῆς Θρᾴκης γεγενημένον· ὅπερ διέχει τῆς Κωνσταντίνου σταδίοις ὡς μάλιστα ὀγδοήκοντα καὶ διακοσίοις· ἐς ἑκατέραν δ' ἀποτελευτᾷ θάλατταν, ἑκτρέχον πορθμοῦ δίκην ἐπὶ σταδίους εἴκοσι καὶ τετρακοσίους· καὶ τὴν πόλιν Χερρόνησον οὖσαν, νῆσον σχεδόν τι πεποιηκός· καὶ καθοδηγοῦν ῥᾷστα οἷς βούλησίς ἐστι διαπορθμεύεσθαι ἀπὸ τοῦ καλουμένου Στόματος Πόντου ἐς τὴν Προποντίδα, καὶ τὴν Θρᾳκίαν θάλατταν. Εἴργόν τε τοὺς βαρβάρους, οἳ ἐκθέειν καὶ καταχεῖσθαι βούλονται, ἀπὸ τῶν ἄνωθεν τοῦ Εὐξείνου Πόντου μερῶν Κόλχων τε, τῆς τε λίμνης Μαιώτιδος,

CAPUT XXXIX.

De muro cui nomen Longo, quem Anastasius construxit, ab Ponto Euxino ad Thraciam usque mare porrectum.

Εἰδέναι μέντοι χρεών, ὡς τὸν εἰρημένον Ἄνθιμον μετὰ τὸν Ἐπιφάνιον γεγονότα, καὶ τῷ μὲν φαινομένῳ τὴν ἁγίαν τετάρτην σύνοδον προσιέμενον, ταῖς δὲ ἀληθείαις βδελυσσόμενον καὶ ἀποκηρύσσοντα· ἐπεὶ ἀναδέξασθαι ταύτην ἠνάγκαστο, καὶ ἀναθέματι καθυποβάλλειν οὓς ἐκείνη ἀπώσατο, διατρίβων δὲ ἦν ἄλλα ἐπ' ἄλλαις αἰτίαις συμπλάττων· συνέβη δὲ Ἀγαπητὸν τὸν τῆς πρεσβυτέρας Ῥώμης ἱεράρχην, ἐπιδημῆσαι τῇ Κωνσταντίνου· ὃς Ἀνθίμου ἀνεψηλαφήσας, πολλῶν ἐπιδεδομένων λιβέλλων, παρά τε τῶν τῆς πόλεως ἀρχιμανδριτῶν καὶ ἑτέρων, μηδὲ ὄψεως ἐκείνου καταξιώσας, καθεῖλεν· εἶχε δὲ τὴν ψῆφον καὶ τὰ ἐν Παλαιστίνῃ ἑσπερῶν μοναστήρια, καὶ Πέτρος ὁ τῶν Ἱεροσολύμων, καὶ οἱ λοιποὶ τῶν Ἐκκλησιῶν ἡγεμόνες· ὃν δὴ τὸν Ἄνθιμον μετὰ τὴν Ἀγαπητοῦ ἀποβίωσιν, ἐν τῇ Κωνσταντίνου ἡ σύνοδος, ἀλλὰ μὲν καὶ Ἀγάθων ὁ μετ' ἐκεῖνον τῆς Ῥωμαίων ἡγησάμενος Ἐκκλησίας ἔτι ζῶν, μετανοίας βιβλίον ἐπιδοῦναι παρηγγυῶντο, ἢ μὴν τὰ κατ' ἐκείνου εἰρημένα ψευδῆ διελέγχειν, καὶ οὕτω ἐπὶ τὴν πρώτην ἐπισκοπὴν τῶν Τραπεζουντίων χωρεῖν. Ἐκείνου δὲ κρυπτομένου, ἡ σύνοδος καὶ δὶς καὶ τρὶς ἐπεκήρυττε φανῆναι τὸν Ἄνθιμον καὶ ἀπολογεῖσθαι· καὶ τὰ ἐν μέσῳ προεσταμένα λύοντα, τὸν πρότερον τῆς ἐπισκοπῆς θρόνον λαμβάνειν Τραπεζουντίων. Ἐπεὶ δὲ δίκαι κρυπτόμενος, ἀφανὴς ἦν, τὴν κατ' ἐκείνου ἀπόφασιν ἡ σύνοδος ἐξενεγκοῦσα, πάσης ἱερωσύνης ἀπῆμα. Μετὰ δὲ Ἄνθιμον Μηνᾶς τὸν θρόνον καθῆρε, ὡς εἴρηται, Ἀγάθωνος τοῦ πάπα τὰς χεῖρας ἐπιθέντος αὐτῷ· ὃ μή ποτε γέγονεν. Ἔτι δὲ Ἀγάθωνος περιόντος, καὶ σύνοδος ἑτέρα ἐν Κωνσταντινουπόλει ἀθροίζεται τοπική, ἡγουμένου Ἀγάθωνος καὶ Μηνᾶ· ἐν ᾗ δὴ τὰ κατὰ Σευῆρον τὸν Ἀντιοχείας καὶ Πέτρον τὸν Ἀπαμείας τῆς Συρίας, καὶ Ζώραν μοναχὸν τὸν Σύρον ἀνεκινήθη· τῶν κατὰ Παλαιστίνην καὶ ἐν Κωνσταντινουπόλει μοναστηρίων καὶ τῆς δευτέρας Συριακῆς ἐπαρχίας τοὺς κατ' αὐτῶν λιβέλλους ἐπιδεδωκότων. Καὶ ἐπεὶ ἐφωράθησαν ἀθέσμοις ἐνειλημμένοι πράγμασι, καὶ τὸ μέγιστον τὴν ἐν Χαλκηδόνι ἀναθεματίζοντες σύνοδον, ἀναβαπτισμούς τε καὶ ἕτερα ἀῤῥητουργίας μυρία διαπεπραγμένοι, καὶ τὴν μίαν φύσιν μάλα προσβεύοντες, αὐτοί τε καὶ ὅσοι τοῦ ἴσου ἐκείνοις ἦσαν

(2) Hunc Latini Bonifacium nominare videntur.
(3) Constit. 42, Novell.

φρονήματος, ἐξώσθησάν τε καὶ ἀπερρίφησαν· νόμου δοθέντος, μηδὲ τὰ Σευήρῳ γεγραμμένα σωθῆναι· εἰ δ' οὖν, ἀλλ' ἐς κεφαλὴν τιμωρεῖσθαι τὸν παραφυλάττειν αἱρούμενον. Τοῦτο δὲ καὶ Ὁρμίσδας ὁ πρὸ Ἀγαπητοῦ καὶ Ἀγάθωνος σύνοδον ἐν Ῥώμῃ ποιήσας ἀπέφηνεν· οὗ καὶ ἐπιστολαὶ τοῖς πεπραγμένοις ἐμφέρονται. Πρὸς τούτοις ἡ σύνοδος καὶ τὰς ἁγίας τέσσαρας οἰκουμενικὰς συνόδους θεσπίζει ἁπανταχοῦ τῆς οἰκουμένης κηρύττεσθαι· τόν τε θεῖον Λέοντα, καὶ τὸν ἐκείνου τόμον, ἔτι δὲ καὶ Εὐφήμιον καὶ Μακεδόνιον τοὺς τῆς Κωνσταντίνου ἀρχιερεῖς καὶ Φλαβιανὸν τὸν τῆς Ἀντιόχου, ἐπανόδου τυχεῖν, καὶ τῆς τῶν ἱερῶν δέλτων εὐμοιρῆσαι ἀναγραφῆς, ὡς ὑπὲρ τῆς ἀληθείας ἀγωνισαμένους· πάντων τῶν κατ' ἐκείνων γενομένων ἀφανείᾳ παραδιδομένων· ἃ καὶ οἱ τῶν ἄλλων ἐπαρχιῶν ἔφοροι ἐστερξάν τε καὶ ἐβεβαίωσαν. Τὰ μὲν οὖν κατὰ τὴν βασιλέως πόλιν γενόμενα, κατά τε Ἀνθίμου, Σευήρου, Πέτρου καὶ Ζώορα πρὸ τῆς ἁγίας καὶ μεγάλης οἰκουμενικῆς πέμπτης συνόδου ὧδε ἐγένετο. Εὐφημίου δὲ πρότερον τὴν ἱερατείαν διέποντος, καὶ Ἰωάννης ὁ πάππας τῇ Κωνσταντίνου ἐπιδημεῖ, Θευδερίχου τοῦ τῆς Ῥώμης κατάρχοντος, πρέσβυν ἐς Ἰουστῖνον τὸν ἱερέα πέμψαντος. Τῆς γὰρ Ἀρειανῶν θρησκείας ἀντειποιούμενος, πρεσβείαν ὑπὲρ αὐτῶν ἐποίει, ὥστε μὴ βιάζεσθαι τῆς σφῶν δόξης ἀφίστασθαι· ἠπείλει γὰρ ἢν μὴ τοῦτο δρᾷν ἕλοιτο Ἰουστῖνος, ἐπίσης καὶ αὐτὸν τοῖς κατὰ τὴν Ἰταλίαν τὴν ἐν Νικαίᾳ θρησκεύουσι σύνοδον πράττειν. Προτραπεὶς δὲ Ἰωάννης ἐπ' ἴσῳ θρόνῳ, συνεδριάσαι τῷ τῆς Κωνσταντίνου προέδρῳ, οὐ πρότερον ἠνέσχετο τὸ πρεσβεῖον τοῦ ἀποστολικοῦ θρόνου παραλιπεῖν, ἕως οὗ τοῦ Εὐφημίου προὐχώρησε· καὶ πᾶσι μὲν ὁ Ἰωάννης τῆς κοινωνίας μετέδωκε· μόνῃ δὲ τῷ τῆς Ἀλεξάνδρου Τιμοθέῳ οὐχ εἵλετο κοινωνεῖν. Ταῦτα μὲν οὕτως.

A peragere, et naturam in Christo unam docere, et ipsi et quicunque cum eis in eadem erant sententia explosi sunt atque rejecti. Lata quoque lex, Severi scripta conservari non debere : atque sicubi reperirentur, ut igni comburerentur : sin minus, ut capitis supplicio in eum animadverteretur, qui scripta talia sibi servanda esse statuisset. Hoc idem Ormisdas quoque, qui ante Agapetum et Agathonem episcopatum gessit, celebrata Romæ synodo decrevit : cujus etiam epistolæ in acta relatæ circumferuntur. Ad hæc synodus sanxit, ut sancta quatuor œcumenica concilia, et divus Leo ejusdemque tomus per universum orbem prædicarentur : insuper ut Euphemius et Macedonius Constantinopolitani, et Flavianus Antiochenus, B **746** episcopi, in integrum restituerentur, atque in sacrarum tabularum album referrentur : quippe qui egregie pro veritate decertassent, rebus omnibus, quæ adversus illos cœptæ actæque essent, abolendis. Quæ aliarum quoque provinciarum atque ecclesiarum præsides approbantes confirmarunt. Atque equidem quæ in urbe imperante adversus Anthimum, Severum, Petrum et Zooram, ante sanctam magnam universalem quintam synodum gesta sunt, sic habent. Porro cum episcopatum Epiphanius superioribus temporibus gereret, Joannes quoque Papa Constantinopolim venit, cum Theuderichus (1) Roma urbe potitus, legatum ad Justinum misisset. Arianam namque is religionem defendens, legationem pro Arianis misit, ut ne C desciscere ab opinione sua cogerentur : et legationi minas addidit : quod si Justinus id facere nollet, se itidem per Italiam in Nicænæ synodi cultores sæviturum esse. Ibi Joannes (2) ad parem invitatus sessionem, ut scilicet Constantinopolitano antistiti assideret, non prius apostolicæ sedis prærogativam deserere sustinuit, quam supra Euphemium in throno collocaretur. Idem Joannes alios omnes, præterquam Timotheum (3) Alexandrinum, ad communionem admisit. Hæc sic habuere.

ΚΕΦΑΛ. Ι'.

Περὶ τῶν συγγραμμάτων Προκοπίου τοῦ Καισαρέως, ὅσα περὶ τῆς Περσικῆς ἱστορεῖ μάχης· καὶ περὶ τῆς Νίκα λεγομένης τῷ δήμῳ τῆς Κωνσταντινουπόλεως στάσεως.

Οὐκ ἄκαιρον δ' ἂν εἴη καὶ ἃ ἕτερα λόγου ἄξια Ἰουστινιανῷ βασιλεῖ διεπράχθη, καὶ οὐκ ἄμοιρα D πάντη ἐκκλησιαστικῆς ἐνεργείας, τῇ παρούσῃ ἱστορίᾳ διαλαβεῖν, καὶ ὡς ἐνὸν συνυφᾶναι. Ἃ δὴ Προκοπίῳ τῷ Καισαρεῖ κομψῶς μάλα καὶ λογίως ἐγράφη ἐν ταῖς κατ' αὐτὸν ἱστορικαῖς συγγραφαῖς. Τέσσαρα δ' αὐτῷ βιβλία ἀρχαιότητι φράσεως ἐχόμενα συνετέθη· ὧν τὸ μὲν ὠνόμασε Περσικά· ἐν τμήμασι δὲ τέσσαρσι διαιρεῖται τὸ σύγγραμμα· τὸ δὲ Γοτθικά· ἐπίσης καὶ αὐτὸ διαιρούμενον. Ταῦτα δὲ ἅπερ αὐτὸς Ἰουστινιανὸς πολέμια ἔργα ἁπανταχοῦ τῆς Ῥω-

CAPUT X.

De historiis Procopii Cæsariensis. Quæ de Persica pugna is scribat. De seditione et tumultu populari Constantinopoli moto : quæ seditio Nika, hoc est, Vince, dicta est.

Non intempestivum vero fuerit, reliquas etiam Justiniani imperatoris res gestas memoratu dignas, neque prorsus ab ecclesiasticis rebus abhorrentes, in historia ista recensere, et quoad ejus fieri potest contexere : quæ a Procopio Cæsariensi eleganter admodum et docte in temporum suorum historia sunt conscripta. Quatuor autem volumina is ad antiquitatis stylum accedentia composuit : **747** quorum unum Persica nominavit, in quatuor partes divisum opus; secundum pari divisione, Gothica : quæ scripta bella ab ipso Justiniano et

(1) Alii hunc etiam *Theodotum* dicunt.

(2) Joannis papæ collegæ in legatione ista fuere Agapitus et Patricius coss. Theodorus et Importunus. Sed a Justino episcoporum hæreticorum restitutio denegata est. (Blond.) — Joannem ceterosque legatos Theudericus Ravennæ post reditum in carcere fame occidit. (Idem.) — Deinde 98 die Theuderieus profluvio ventris diem suum obiit. (Idem.)

(3) Forte legendum *Theodosium*.

Belisario in orbe Romano feliciter gesta complectuntur. Tertium ædificia inscripsit, magnifice admodum commemorans, quæ opera Justinianus construxerit; templa scilicet, regias domos, oppida et urbes, pontes, atque alia ad publicum usum spectantia. Quartum opus, retractatio est earum orationum, quas apud Justinianum laudibus eum vehens habuit, quasi quædam palinodia seu recantatio minus recte ab eo dictorum. Belisarii res describens, cujus comes in expeditione bellica illi subserviens fuit, primum commemorat, quomodo Cabades Persarum rex, Chosroæ filiorum suorum natu minimo regnum relinquere volens, in adoptionem eum Romanorum imperatori dare statuerit, quo juveni certius firmiusque regnum esset. Quod ubi illi non successit, Proclo impediente, qui apud Justinianum quæstoris dignitatem gerebat, inimicitias graviores contra Romanos suscepit. Et bellum Procopius inter Romanos, Belisario duce et Persas gestum, elegantia mira optime exsequitur. Primum, ut Belissarius una cum Hermogene exercitus ductore, Persas ad Daras et Nisibim vicerit scribit. Ei victoriæ eorumdum tropæa in Armenia erecta attexit. Item Alamundari Scenitarum (1) barbarorum ducis, bello adversus Romanos ab eo moto, res gestas. Qui Timostratum Rufini fratrem una cum plurimis aliis comitibus ejus captum, postea ingenti pecunia redemptum, reddidit. Perquam miserabiliter autem memorat ipsius Alamundari et Azarethi adversus Romanorum imperium expeditiones: quemadmodum copiis eorum militaribus, per vim in regionem suam redire contendentibus, in Euphratis ripa Belissarius occurrerit, atque cum eis prælium commiserit. Et quomodo Belisarii milites, quod consilio ejus parere noluerint, Paschalium feriarum diebus instantibus, sint concisi. Quomodo denique Rufinus et Hermogenes perpetuam, quæ dicitur, pacem cum Persis fecerint. **748** Deinde seditionem popularem Byzantii ortam subjungit, quæ cognomen sortita est Nixa, *Vince*: quod tessseram eam in ipso conflictu perduelles habuerint, ut eo signo se earumdem partium sectatores cognoscerent. Quo tempore Hypatius et Pompeius, Anastasium genere contingentes, populo cogente, tyrannidem affectarunt. Sed ii postea plebe, Narsæ et Belisarii ducu, victa, Justiniani jussione capita amiserunt. In eo tumultu Procopius triginta millia hominum ex plebe concidisse dicit. Per quos, addit, odio Justiniani incensum esse vetus Sapientiæ Dei templum, quod longiusculum fuit. Id Constantius olim funditus a Constantino constructum, et a se absolutum, Deo sacraverat. Quapropter illis tantam impietatem patrare ausis, permissione, ut opinor, Dei, quale id deinceps futurum esset scientis, Ju-

μαίων κατώρθωσε γῆς καὶ Βελισσάριος, ἀναγράφουσι· τὸ δὲ κτίσματα προσεπέγραψεν· ὅσα δῆτα Ἰουστινιανὸς ᾠκοδόμησε, μάλα γενναίως ἐκφράζων· νεώς τε καὶ βασιλείους οἴκους, ἄστεά τε καὶ πόλεις, γεφύρας τε καὶ ἄλλα ἐς κοινὴν χρῆσιν ἐξειργασμένα. Τὸ δὲ τέταρτον ἀντίῤῥησίς ἐστιν, ὧν πρὸς Ἰουστινιανὸν εἴρηκε δι' ἐπαίνου ποιῶν, καὶ ὡς ἂν τις παλινῳδίαν τῶν αὐτῷ μὴ καλῶς εἰρημένων. Γράφει τοίνυν τὰ κατὰ Βελισσάριον, ᾧ καὶ παρείπετο κἀν τοῖς πολέμοις διακονούμενος· καὶ πρῶτα μὲν διηγεῖται, ὡς Καβάδῃ τῷ Περσῶν βασιλεῖ Χοσρόης τῷ τῶν ἄλλων αὐτοῦ υἱέων νεωτέρῳ ὄντι περιθεῖναι τὴν ἀρχὴν βουληθείς, ἐς θετὸν υἱὸν τῷ Ῥωμαίων βασιλεῖ ἐκεῖνον γενέσθαι διενοεῖτο, ὡς ἐν τῷ ἀσφαλεῖ αὐτῷ ἡ ἀρχὴ διαγένοιτο. Ὡς δὲ τοῦ σκοποῦ διημάρτανε, Πρόκλου κωλύοντος, ὃς διὰ τιμῆς ὢν Ἰουστινιανῷ Κοιαίστωρος ἐτιμᾶτο ἀξίᾳ, ἐς μεῖζον τὴν ἔχθραν κατὰ Ῥωμαίων ἠρέθιστε· καὶ τὸν μεταξὺ Ῥωμαίων τε καὶ Περσῶν πόλεμον ὑπὸ Βελισσαρίῳ στρατηγῷ ἄριστα καὶ κεκομψευμένως διέξεισι· καὶ πρῶτον νικῆσαί φησι Πέρσας, περί τε τὸ Δάρας ἄστυ τε καὶ τὴν Νίσιβιν, σὺν Ἑρμογένει διακοσμοῦντι τὸ στράτευμα. Οἷς συνυφαίνει καὶ τὰ ἐπ' Ἀρμενίᾳ τούτοις γενόμενα τρόπαια· ὅσα τε Ἀλαμούνδαρος τῶν Σκηνητῶν βαρβάρων ἡγούμενος, Ῥωμαίοις ἐπείθετο πράττειν· Τιμόστρατον ζωγρήσας τὸν ἀδελφὸν Ῥωφίνου, σὺν ἑτέροις πλείστοις τῶν ἑπομένων· καὶ ἐς ὕστερον χρήμασι μεγάλοις ἀπέδοτο. Λίαν δὲ περιπαθῶς ἀναγράφει τοῦ αὐτοῦ Ἀλαμουνδάρου καὶ Ἀζαρέθου τὴν κατὰ τῆς Ῥωμαίων γῆς ἐφοδον· ὅπως πρὸς βίαν τῶν ὑπ' ἐκεῖνον στρατιωτῶν εἰς τὴν οἰκείαν ἐπανερχομένων, ἐπὶ ταῖς τοῦ Εὐφράτου προσβαλὼν ὄχθαις ὁ Βελισσάριος συνῆψε μάχην· καὶ μὴ προσμείναντες τῇ Βελισσαρίου βουλῇ οἱ περὶ αὐτὸν διεφθάρησαν, ἡμερῶν τοῦ Πάσχα ἐνισταμένων. Καὶ ὡς Ῥουφῖνος καὶ Ἑρμογένης τὴν καλουμένην ἀπέραντον πρὸς Πέρσας εἰρήνην ἔπραττον· καὶ μετὰ τοῦτο, τὴν ἐν Βυζαντίῳ γενομένην στάσιν τῶν δήμων ἡ ἐπίκλησιν ἔσχε τὸ *Νίκα*· σύνθημα δεδεικότων τῶν πολεμίων τοῦτο τῇ συμπλοκῇ, ὥστ' ἐντεῦθεν τὸν σύμμαχον τὴν ἐς ἀλλήλους γνῶσιν ὁρίζεσθαι· ὑπηνίκα Ὑπάτιος καὶ Πομπήϊος πρὸς τοῦ βασιλεῖ Ἀναστασίῳ προσήκοντες, βιασαμένων τῶν δήμων, εἰς τυραννίδα ἤρθησαν· οἱ τῶν δήμων ὕστερον ἡσηθέντων Ναρσοῦ καὶ Βελισσαρίου τοῖς στρατηγίαις, καὶ οὗτοι τὰς κεφαλὰς ἀπέθεντο κελεύοντος Ἰουστινιανοῦ. Λέγει δ' οὖν ὁ Προκόπιος τῷ τηνικαῦτα πόνῳ, τριάκοντα χιλιάδας τοῦ δήμου πεσεῖν. Τούτους φησὶ μῖσει τῷ πρὸς Ἰουστινιανὸν ἐμπρῆσαι καὶ τὸ πρὶν τέμενος τῆς τοῦ Θεοῦ Σοφίας ἐπιρρηκέναι, ὃν ὁ Κωνστάντιος πάλαι ἐκ βάθρων ἐγείρας, ἀνέθετο Θεῷ· διὸ τοῦ Θεοῦ παραχωροῦντος ἐκείνοις διαπράξασθαι τὸ ἀσέβημα, ἅτε οἶμαι εἰδότος οἷον ἔσεσθαι ἐμέλλεν, Ἰουστινιανὸς μετὰ τὴν νίκην τὸ μὲν τῶν Ἀμυναν ἐκείνοις, τὸ δὲ δι' ἐκείνους

(1) Ultra Palæstinam Arabia est, ad Rubrum mare pertinens, ex odoriferam illam ac divitem, et Beatæ cognomine inclytam. Hæc Catabanum et Ebenitarum et Scenitarum Arabum vocatur, sterilis, præterquam ubi Syriæ confinia attingit, nec nisi Casio monte nobilis. (Plin. lib. v, cap. 11.)

ἀθρόον πεσόντας θελήσεσθαι, ὡς οἷον νῦν ὁρᾶται προήγαγεν ἐξ αὐτῶν ἐγείρας κρηπίδων.

stinianus post victoriam, partim ut illos ulciscere-tur, partim ut de eorum coacervata cæde Deum placaret, templum id ab ipsis fundamentis excitatum, ad eam quæ nunc cernitur amplitudinem perduxit.

ΚΕΦΑΛ. ΙΑ'.

Τὰ κατὰ Βανδίλους· καὶ περὶ Ὀνωρίχου καὶ τῶν τότε μαρτυρησάντων· καὶ Καβαώνου τοῦ Μαυρουσίου ὅσα ὑπὲρ ἡμῶν ἔπραξεν.

Ὁ δ' αὐτὸς Προκόπιος καὶ τὰ κατὰ Βανδίλους γενόμενα Βελισαρίῳ εὐφυῶς λίαν διέρχεται, ἄξια μνήμῃ σώζεσθαι. Ἐπὶ γὰρ Ἀρκαδίου καὶ Ὁνωρίου, ὡς εἴρηται, Οὐάνδιλοι μετὰ τοῦ σφῶν ῥηγὸς Γογγιδίσκλου τὴν Σπανῶν χώραν καταλαβόντες, ἐκεῖθεν δ' ἐς Λιβύην τὴν πρὸς Ἑσπέραν ἐλθόντες, ἐν κατασχέσει ταύτης ἐγένοντο. Γογγιδίσκλου δὲ τέλει χρησαμένου τοῦ βίου, Γόνθαρις καὶ Γιζέριχος οἱ παῖδες τὴν ἀρχὴν διεδέχοντο. Θατέρου δὲ τοῦ Γόνθαρι τελευτήσαντος, εἰς μόνον Γιζέριχον ἡ πᾶσα τῶν Οὐανδίλων μετέβαινε βασιλεία· ὃς τὴν Καρταγέναν τῶν Ἀφρῶν προκαθημένην πόλιν βασίλειον ποιησάμενος, ἔπειτα καὶ Ῥώμην εἷλεν ἔτη ἐννέα πρὸς τριάκοντα ἡγησάμενος. Καταλιμπάνει δὲ παῖδα Ὀνώριχον, ὃς τῆς Ἀρείου θρησκείας ἀντιποιούμενος, ἀπανθρώπως τοὺς ἐν Λιβύῃ Χριστιανοὺς ἐκολάσατο, οἳ τῆς ἐν Νικαίᾳ γεννικῶς ὑπερίσταντο, βιαζόμενος τὰ Ἀρείου πρεσβεύειν· οἷς μὴ ἐθέλουσι πείθεσθαι, μυρίας ἐπῆγε κολάσεις, πυρὶ καὶ ὕδατι καὶ ἄλλαις πικροτάταις ἰδέαις θανάτων τοῦ ζῆν ἀπαλλάττων. Ἦσαν δὲ ὧν καὶ τὰς γλώσσας περιεῖλε μαχαίρᾳ, οὓς φησι καὶ Προκόπιος ἀνὰ τὴν βασιλέως πόλιν ἥκοντας κατιδεῖν, καὶ διομιλούμενος ἐντυχεῖν ἐκείνοις, ἴσα τοῖς μηδὲν πεπονθόσι διαφθεγγομένοις. Ὧν αἱ μὲν γλῶσσαι κεκαρμέναι καὶ κάτωθεν τοῦ φάρυγγος ἦσαν· ἥ γε μὴν φωνὴ οὕτως εὐσήμως προΐετο ἔναρθρος, ὡς θαῦμα καινὸν τοῖς τε ὁρῶσι καὶ ἀκούουσιν εἶναι. Ὧν δὴ καὶ Ἰουστῖνος ἔν τινι τῶν διατάξεων μνείαν ποιεῖται· τούτων, φησὶν ὁ Προκόπιος, καὶ δύο πολλῷ ἔπειτα ὕστερον ὀλισθῷ περιπεσόντες, καὶ γυναιξὶν ὁμιλήσαντες, τὸ λέγειν πάμπαν ἀφῄρηνται· τῆς μαρτυρικῆς χάριτος μηκέτι περιμένειν, ἀλλ' ἀφίστασθαι θελησάσης τῇ ἐκτροπῇ. Διηγεῖται δέ τι καὶ ἕτερον ὀξιάγαστον ὃ Θεὸς κατ' ἐκεῖνο καιροῦ ἔπραττεν, ἐν ἀνδράσιν οὐδαμῶς μὲν τὰ ἡμέτερα θρησκεύειν εἰδόσιν, ὅσιά γε μὴν δρᾷν κατ' ἐκεῖνο ᾑρημένοις καιροῦ. Ἱστορεῖ γάρ τινα Καβαώνην ἡγούμενον Μαυρουσίων τῶν ἀμφὶ Τρίπολιν· οὗτος τοιγαροῦν Καβαώνης (τοῖς ἐκείνου δὲ χρήσομαι ῥήμασιν ἀστείως μάλα διηγουμένου), ἐπειδὴ ἐς αὐτὸν στρατεύεσθαι Βανδίλους ἐπύθετο, τοιάδε ἐποίει. Πρῶτα μὲν τοῖς ὑπηκόοις ἐπήγγελλεν, ἀδικίας τε πάσης καὶ βρώσεως εἰς τρυφὴν ἀγούσης, καὶ πάντων μάλιστα γυναικῶν ξυνουσίας ἀπέχεσθαι· χαρακώματά τε δύο πηξάμενος, ἐν θατέρῳ μὲν αὐτὸς σὺν πᾶσιν ἐστρατοπεδεύσατο τοῖς ἀνδράσιν· ἐν μὲν δὴ τῷ ἑτέρῳ τὰς γυναῖκας καθεῖρξε· θάνατον δὲ τὴν ζημίαν ἠπείλησεν ἐσ-

(1) Honorichus persecutor Catholicorum plus quam 334 episcopos orthodoxos solum exsilii causa vertere coegit (Dind.)

CAPUT XI.

Res Vandalorum. De Honoricho et ejus temporis martyribus. De Cabaone Mauro, et quid pro Christianis egerit.

Idem Procopius res Belisarii Vandalicas cognitu dignas mirifice admodum exsequitur. Arcadio namque et Honorio imperantibus, sicuti supra dictum est, Vandali et Alani cum rege suo Gongidisclo Hispania occupata, inde in Libyam occidentalem transierunt, eamdemque possederunt. Gongidisclus ubi fatis concessit, Gontharis et Genzerichus filii ejus in regno successerunt. Altero porro ex his, Gonthari scilicet, mortuo, ad unum Genserichum summa rerum Vandalicarum pervenit. Hic Carthagine principe Aphrorum urbe, sedem regiam constituit. Ac deinceps Romam quoque cepit; et mortuus est, cum regnum undequadraginta annis obtinuisset. 749 Reliquit autem is filium Honorichum (1), qui Arianam religionem propugnans, Christianos Nicæna decreta fortiter defendentes, in Libya crudeliter tractavit, Ariique opinionem profiteri coegit. Qui vero mandatis ejus parere nollent, eos innumeris affecit suppliciis, igni et aqua et aliis acerbissimis tormentorum generibus e vita tollens. Erant vero, quibus etiam linguas ferro rescidit, quos se Procopius, cum Constantinopolim venissent, vidisse ait, atque per colloquium convenisse, haud aliter, quam qui nihil tale passi essent, verba facientes. Horum linguæ ex ipso usque gutture excisæ erant: vocem autem tam claram et articulatam edebant, ut miraculum novum spectantibus atque audientibus exhiberent. Meminit quoque eorum in quadam constitutione Justinus (2). Ex his, Procopius inquit, aliquanto post duo quod lubricitate lapsi essent, et rem cum feminis habuissent, vocem prorsus amiserunt, martyrii gratia amplius apud eos manere nolente, sed propter illorum degenerationem ab eis desciscente. Recenset præterea aliud quoque admiratione dignum, quod Deus eo ipso tempore fecit, in hominibus, non illis quidem sacris nostris initiatis, sed qui tamen tum quæ sancta essent facere delegissent. Scribit namque de Cabaone quodam Maurusiorum, eorum qui circa Tripolim sunt, duce. Cabaones igitur iste (illius enim qui hæc perquam luculenter commemorat, verbis utar) postquam Vandalos bellum adversum se movere audivit, hæc fecit. Primum civibus subditisque suis præcepit, ut ab iniquitate omni et cibo qui ad delicias faceret, abessent, omniumque maxime se a congressu mulierum abstinerent: et binis castris positis, in alteris quidem ipse cum viris in armis fuit, in alteris autem mulieres inclu-

(2) L. dict., ut sup.

sit, mortis supplicium minatus, si quis feminarum vallum ingressus esset. Sub hæc exploratoribus Carthaginem missis mandavit, ubi Vandali in expeditione militari in templum Christianorum aliquod per injuriam contumeliose quidquam facerent, ut ipsi quidem, ea quæ fierent, spectarent: postquam autem Vandali ex eo loco decessissent, diversa et contraria omnia in deluhrum id, **750** unde illi abiissent, facerent. Illud etiam eum dixisse ferunt, se quidem Deum quem Christiani colerent, ignorare; consentaneum vero et par esse, siquidem, quod diceretur, fortis potensque esset, ut cum contemptores numinis sui ulcisceretur, tum cultores tueretur. Itaque speculatores, postquam Carthaginem venerunt, per otium ibi quievere, Vandalorum apparatum belli spectantes. Ubi vero exercitus eorum Tripolim versus iret, viliori habitu sumpto, subsecuti sunt. Porro Vandali die primo in Christianorum templis manserunt, et inductis in ea equis et jumentis aliis, nihil de injuria contumeliaque aliqua reliqui quidquam fecere. Et lascivia libidineque sua usi, sacerdotibus quos arripuissent, colaphos impegerunt, et plagis multis in tergo affecerunt, subservireque eos sibi coegerunt. Postquam vero celerrime inde discesserunt, Cabaonis exploratores, quæ ipsis mandata erant, fecere. Templa namque confestim repurgarunt, et purgamentis aliisque rebus, quæ ibi minus sancte positæ erant, cum cura et diligentia ejectis, rite omnia disposuere, lucernas omnes incendere, sacerdotes veneratione ingenti coluere, et humanitate alia omni prosecuti sunt. Argentum quoque mendicis, qui circum sacras ædes considebant, dederunt. Hoc pacto illi Vandalorum copias sunt secuti. Et ab eo tempore in profectione et itinere toto Vandali ad hunc ipsum modum peccarunt. Speculatores vero peccatum eorum correxerunt. Sedenim cum Vandali jam non longe ab eo quem petebant loco abessent, prævertentes eos exploratores, Cabaoni omnia ea quæ et Vandali et ipsi in Christianorum templis fecissent, retulerunt, atque hostes jam prope adesse renuntiarunt. Quibus ille rebus cognitis, pugna cum illis est congressus. In eo certamine multi Vandali, sicut ipse inquit, interfecti sunt, multi ab hostibus capti, pauci sane ex eo exercitu domum reversi sunt. Hæc Trasamundo (1) Vandalo a Maurusiis acciderunt: qui non multo post vitam finiit, cum viginti et septem annis Vandalorum genti præfuisset: ante hunc autem Gundamus (2) Honorichi filius, Genzerichi autem nepos, duodecim, Honorichus vero octo annos regnum administravit. **751** Trasamundus (3) iste eximia forma, animique magni vir, ad Theuderichum Gothorum regem

σθαι, εἴ τις ἐπὶ τὸ τῶν γυναικῶν χαράκωμα ἴοι. Μετὰ δὲ πέμψας εἰς Καρχηδόνα κατασκόπους ἐπέταττε τάδε. Ἐπειδὴν οἱ Βανδίλοι ἐπὶ τὴν στρατείαν βαδίζοντες ἐς τινα νεὼν ὑβρίσωσιν ὃν οἱ Χριστιανοὶ σέβονται, αὐτοὺς μὲν ἐφορᾶν τὰ γινόμενα· ἐὰν δὲ οἱ Βανδίλοι τὸ χωρίον ἀμείψωσι, πάντα ποιεῖν τἀναντία εἰς τὸ ἱερὸν, ἐξ οὗ δ' ἂν ἐκεῖνοι βαδίσαντες οἴχωνται. Ἐπειπεῖν δὲ αὐτὸν καὶ τοῦτό φασιν, ὡς ἀγνοοῖ μὲν τὸν Θεὸν ὃν οἱ Χριστιανοὶ σέβονται· εἰκὸς δὲ αὐτόν φησιν, εἴ περ ἰσχυρός ἐστιν, ὡς λέγεται, τίσασθαι μὲν τοὺς ὑβρίζοντας, ἀμῦναι δὲ τοῖς θεραπεύουσιν. Οἱ μὲν οὖν κατάσκοποι ἐς Καρχηδόνα ἐλθόντες ἐσχόλαζον, τὴν παρασκευὴν τῶν Βανδίλων θεώμενοι. Ἐπειδὴ δὲ τὸ στράτευμα τὴν Τρίπολιν ἦσαν, σχήματα περιβεβλημένοι ταπεινὰ εἵποντο. Οἱ δὲ Βανδίλοι ὡς ἡμέρᾳ τῇ πρώτῃ ηὐλίσαντο ἐς τοὺς νεὼς τῶν Χριστιανῶν, τούς τε ἵππους τά τε ἄλλα ζῶα ἐσαγαγόντες, ὕβρεώς τε οὐδεμιᾶς ἀπελείποντο, καὶ αὐτοὶ ἀκολασίᾳ τῇ σφετέρᾳ ἐχρήσαντο. Τούς τε ἱερεῖς οὐ λάβοιεν, ἐῤῥάπιζόν τε, καὶ ξαίνοντες κατὰ τοῦ νώτου πολλὰς, ὑπηρετεῖν σφίσιν ἠνάγκαζον. Ἐπειδὴ δὲ τάχιστα ἐνθένδε ἀπηλλάγησαν, ἐποίουν οἱ τοῦ Καβαώνου κατάσκοποι, ὅσα αὐτοῖς ἐπετέτακτο. Τά τε γὰρ ἱερὰ καθῆρουν αὐτίκα· τήν τε κόπρον καὶ εἴ τι ἄλλο οὐχ ὁσίως ἐκέκτητο σὺν ἐπιμελείᾳ ἀφελόμενοι, καλῶς διετίθεντο· τὰ λύχνα ἑκατὸν ἅπαντα, καὶ τοὺς ἱερέας αἰδοῖ τῇ πολλῇ προσεκύνησαν, καὶ τῇ ἄλλῃ φιλοφροσύνῃ ἠσπάσαντο· ἀργύριά τε τοῖς πτωχοῖς δόντες, οἱ ἀμφὶ τὰ ἱερὰ ταῦτα ἐκάθηντο. Οὕτω δὲ τῇ Βανδήλων στρατιᾷ εἵποντο· καὶ ἀπὸ τούτου κατὰ τὴν ὁδὸν σύμπασαν οἱ Βανδίλοι κατὰ ταῦτα ἡμάρτανον, καὶ οἱ κατάσκοποι ἐθεράπευον. Ἐπειδὴ δὲ ἀγχοῦ ἔσεσθαι ἔμελλον, προτερήσαντες οἱ κατάσκοποι, ἀγγέλλουσι τῷ Καβαώνῃ ὅσα Βανδίλοις τε καὶ σφίσιν ἐς τὰ Χριστιανῶν ἱερὰ εἴργαστο, καὶ ἐγγύς που οἱ πολέμιοι εἶεν· ὁ δὲ ἀκούσας, ἐς τὴν ξυμβολὴν καθίστατο. Οἱ μὲν οὖν πολλοὶ, ὡς φησι, Βανδίλων διεφθάρησαν· εἰσὶ δὲ οἳ καὶ ὑπὸ τοῖς πολεμίοις ἐγένοντο· ὀλίγοι τε κομιδῇ ἐκ τοῦ στρατοῦ τούτου ἐπ' οἴκου ἀπεμίσθησαν. Ταῦτα μὲν Τρισαμούνδῳ παθεῖν τῷ Βανδίλῳ ὑπὸ Μαυρουσίων ἐγένετο· οὐ πολλῷ δὲ ὕστερον ἐτελεύτα τὸν βίον, ἑπτὰ καὶ εἴκοσιν ἐνιαυτοῖς τῶν Βανδίλων ἔθνους ἡγεμονεύσας. Πρὸ δὲ τούτου, Γώδαμος Ὀνωρίχου παῖς, ἔκγονος δὲ Γιζερίχου· ὧν ὁ μὲν δώδεκα ἔτη, ὀκτὼ δὲ Ὀνώριχος ἦρξε· Τρασαμοῦνδος δὲ ἀνὴρ εἶδος εὖ ἔχων καὶ μεγαλόψυχος, πρὸς Θευδέριχον ἔπεμπε βασιλέα τῶν Γότθων, Ἀμαλασούνθαν ἀδελφὴν αὐτοῦ πρὸς γάμον λαβεῖν. Ὁ δὲ δίδωσι καὶ χιλίους Γότθων ὑπασπιστὰς, καὶ ἑτέρους πέντε χιλιάδας δορυφόρων τάξιν πληροῦντας. Τούτου δὲ τελευτήσαντος, Ἱλδέριχος ὁ Ὀνωρίχου τοῦ Γιζερίχου παιδὸς, ἐβασίλευσεν, ἀνὴρ πρᾶος καὶ

(1) Trasamundus Vandalus orthodoxorum hostis acerrimus, in Africa 220 episcopos in Sardiniam relegavit, quibus Symmachus Rom. antistes eleemosynam quotidianam submisit (Diacon.)

(2) Gandamum alii *Gandabyndum* vocant, crudelem Catholicorum persecutorem.

(3) Trasamundus decessurus Hilderichum, quem alii Childerichum appellant, sacramento jurisjurandi obstrinxit, ne Catholicis unquam faveret: nam propensum eum ad illos complectendos esse animadverterat. At ipse regno potitus, episcopos orthodoxos ab exsilio revocavit, eisque ecclesias reformandas demandavit. Quæ res ei apud Vandalos Arianos fraudi fuit. (Diac.)

Χριστιανοῖς ἥκιστα χαλεπὸς, οὐδαμῶς δὲ καὶ πρὸς μάχας ῥᾳδίως ἐρεθιζόμενος. Προσήκων δέ τις ἐκείνῳ γένει Γελίμερ ὄνομα ἐπιθέμενος τυραννίδι, Ἱλδέριχον τῆς ἀρχῆς ἐξιστᾷ, ἔτη ἑπτὰ βασιλεύσαντα. Δεινὸς δ' ἐπιθέσθαι πράγμασιν ὢν, τὸ τῶν Γότθων γένος διέφθειρεν.

A legationem, Amalasuntham sororem ejus in matrimonium sibi petens, misit. Ille vero mille quoque dedit armatos, atque insuper quinque alia virorum millia, quæ satellitum ordinem implerent. Hoc autem defuncto, Hilderichus Honorichi ex Genzericho prognati filius regnavit, vir mitis, et Christianis minime gravis, et qui haudquaquam facile ad bellum movendum excitaretur. Gelimer autem quidam genere ei propinquus, tyrannidi incumbens, Hilderichum, postquam septem annis regnasset, regno exuit. Is quod ad res gerendas industrius esset, Gothorum gentem attrivit.

ΚΕΦΑΛ. ΙΒ'.

Ὡς Βελισσάριος Βανδίλους νικήσας, θρίαμβον μέγιστον ἐν τῇ Κωνσταντίνου κατήγε· καὶ περὶ τοῦ ἁγίου μάρτυρος Κυπριανοῦ· καὶ περὶ τοῦ Μαυρουσίων γένους ὅθεν ἦν.

CAPUT XII.

Ut Belisarius, Vandalis devictis, triumphum maximum Constantinopoli egerit. Et de sancto martyre Cypriano. Item de Maurorum gente atque origine ejus.

B

Καὶ τοίνυν Ἰουστινιανὸς, φειδοῖ τῶν ἐκεῖσε κακῶς πασχόντων Χριστιανῶν, στρατιὰν ἤγειρεν· ὑποθήκαις δ' Ἰωάννου, ὃς ὕπαρχος καθίστατο τῆς αὐλῆς, ἀπετρέπετο τοῦ βουλεύματος. Ὄναρ δ' ἐπιστὰν αὐτῷ, διεκελεύετο μὴ πρὸς τὴν ἐγχείρησιν ἀποκνεῖν· τὸ γὰρ Χριστιανοῖς ἀμύνειν ὑπὸ χεῖρα τὴ Βανδίλων ποιήσειν ἔλεγε. Φρονήματος δ' ἐντεῦθεν ὑποπλησθεὶς, ἀμφὶ θερινὰς τροπὰς, Βελισσάριον ἔπεμπε, τὸν κατὰ Καρχηδόνος πόλεμον αὐτῷ ἐγχειρίσας. Ἐς ἀκτὴν δὲ τῆς στρατηγίδος προσσχούσης νεὼς, ἣ πρὸ τῶν βασιλείων ἐστὶ, τοῦ τῆς πόλεως ἱερέως Ἐπιφανίου τὴν ἀνήκουσαν προεῖπόντος εὐχὴν, καί τινας τῶν στρατιωτῶν ἄρτι βαπτίσαντος, καὶ τῇ στρατηγίδι ἐπιβιβάσαντος. Ἠγγέλλετο δὲ τῷ βασιλεῖ καὶ τὰ κατὰ τὸν μάρτυρα Κυπριανὸν, οὐ λόγου μόνου, ἀλλὰ καὶ μνήμης ἄξια· περὶ ὧν καὶ τάδε πρὸς λέξιν λέγει Προκόπιος· Κυπριανὸν ἅγιον ἀνδρα μάλιστα πάντων Καρχηδόνιοι σέβονται· καὶ αὐτῷ νεών τινα λόγου πολλοῦ ἄξιον ἱδρυσάμενοι πρὸ τῆς πόλεως περὶ τὴν τῆς θαλάσσης ἠϊόνα τά τε ἄλλα ἐξοσιοῦνται, καὶ ἄγουσιν ἐνιαύσιον ἑορτὴν, ἣν δὴ Κυπριανὰ καλοῦσι· καὶ ἀπ' αὐτοῦ τὸν χειμῶνα οἱ ναῦται, οὗ ἐγὼ ἀρτίως ἐμνήσθην, ὁμωνύμως τῇ πανηγύρει προσαγορεύειν εἰώθασιν· ἐπεὶ ἐς τὸν καιρὸν ἐπισκήπτειν φιλεῖ, ἐφ' οὗ ταύτην οἱ Λίβυες ἄγειν ἐσαεὶ τὴν ἑορτὴν νενομίκασι. Τοῦτον οἱ Βανδίλοι τὸν νεὼν, Ὑνωρίχου βασιλεύοντος, τοὺς Χριστιανοὺς βιασάμενοι ἀφείλοντο· ἔνθεν δὲ σὺν πολλῇ ἀτιμίᾳ τοὺς ἱερέας ἐξελάσαντες, καὶ τὸ λοιπὸν, ἅτε προσήκοντα Ἀρειανοῖς ἐπηνώρθουν. Ἀσχάλλουσι δὲ διὰ ταῦτα καὶ διαπονουμένοις τοῖς Λίβυσι, πολλάκις φασὶ τὸν Κυπριανὸν ὄναρ ἐπισκήψαντα φάναι, ἀμφ' αὐτῶν μεριμνᾷν τοὺς Χριστιανοὺς ἥκιστα εἶναι· αὐτὸν γὰρ προϊόντος τοῦ χρόνου, τιμωρὸν ἔσεσθαι, καὶ καταντῆσαι τὴν πρόῤῥησιν ἐς τοὺς Βελισσαρίου χρόνους, Καρχηδόνος ὑπὸ Βελισσαρίῳ στρατηγῷ Ῥωμαίων κατηκόου γενομένης μετὰ πέμπτον καὶ ἐνενηκοστὸν ἔτος τῆς ἁφαιρέσεως· Βανδίλων μὲν πανταπασιν ἐκπολεμηθέντων, καὶ τῆς Ἀρειανῶν δόξης τελέως ἐκ τῆς Λιβύων γῆς ἀπελαθείσης· Χριστιανῶν δὲ τοὺς οἰκείους νεὼς ἀπειληφότων κατὰ τὴν Κυπριανοῦ τοῦ μάρτυρος πρόῤῥησιν. Πρὸς δὴ τούτοις καὶ ταῦτα ἱστόρησεν· Τοὺς Βανδίλου κα-

Verum enimvero Justinianus Christianos, qui ibi ita affligebantur, miseratus, exercitum coegit. Suggestione vero Joannis præfecti prætorio, consilium expeditionis ejus movendæ mutavit. In somniis porro mandatum accepit, ne a cœpto desisteret. Vindictam enim Christianorum a Vandalis victoriam reportaturam esse, ei dictum est. Itaque magno animo concepto, circiter æstivum solstitium Belisarium ad bellum Carthaginense conficiendum misit. Atque ubi prætoria navis ad littus, quod ad imperialem domum est, constitit, et urbis episcopus Epiphanius, pro eo atque par est, preces solemnes dixit, quosdam etiam milites recens baptizavit, atque in prætoriam navim Belisarium produxit, imperatori res de Cypriano martyre, non oratione tantum, sed etiam memoria digna renuntiata est, qua de re Procopius hæc ad verbum refert : Cyprianum virum sanctum maxime omnium Carthaginenses venerantur eique templum magnificum pro urbis mœnibus ad littus maris statuerunt. Atque præter cultus alios quos ei exhibent, festum quoque **752** anniversarium diem celebrant, quem diem Cypriana nominant. Et eodem, quo festum eum conventum, nomine, tempestatem quamdam procellosam appellare solent nautæ : quandoquidem in id tempus incidere consuevit, quo tempore Libyes festum hunc diem celebrandum semper lege statuerunt. Hoc templum Vandali sub Honorico rege catholicis Christianis per vim ademptum evertere, ejectis inde cum multa contumelia sacerdotibus, et deinceps id, utpote Arianis commodum, restaurarunt. Cum autem vicem eam dolerent atque deplorarent Libyes, persæpe Cyprianum ferunt in somnis quibusdam apparentem dixisse : Christianos minime de se sollicitos esse debere : ipsum enim se tempore suo vindicem atque ultorem fore. Eam rem ut auspicatum omen imperator accepit. Et prædictio hæc oracularis in Belisarii tempora recte incidit, quo duce Carthago Romano imperio subjecta est, nonagesimo quinto anno, postquam templum id Christianis est ademptum. Eo bello Vandali omnino sunt expugnati, et Arianorum opinio ex Libya ejecta (1). Christiani

(1) Africa inter tres menses subacta. (Diacon.)

antem templa sua recuperarunt, juxta Cypriani martyris prælictionem. Ad hæc Procopius illa quoque memoriæ posteritatis commendavit. Belisarium, ubi de Vandalis victis tropæa statuisset, Byzantium rediisse cum spoliis et bello captorum hominum multitudine ingenti : in quibus et Gelimer illorum dux fuit. Triumphum egit Belisarius in hippodromo : in quo cum alia multa admiratione digna, tum præcipue donaria ingenti vi pecuniarum æstimata, portata sunt : quæ donaria Genzerichum antea diximus Romæ convasasse, cum ibi in regiam receptus esset, et templa invasisset. Quo tempore scilicet Eudoxia Valentiniani, qui Occidentale gubernavit imperium, conjux, sub Maximo tyranno, postquam simul et virum per cædem amisisset, et in castitatem ejus illusum esset, cum evocavit, ductum ei atque ingressum in urbem Romanam pollicita. Ibi vero ille et Romam igni vastavit, et Eudoxiam cum duabus filiabus ad Vandalos abduxit. **753** Eo ipso tempore una cum aliis eximiis urbis ornamentis etiam donaria, quæcunque Vespasiani filius Titus, captis Hierosolymis, Romam pertulerat, et Salomon quondam Deo, quem in primis coluit, dicaverat, Genzerichus rapuit. Quæ quidem omnia Justinianus, Christum Deum nostrum mirifice honorans, Hierosolyma, ubi prius quoque consecrata fuerant remisit. Dicit insuper idem Procopius Gelimerem (1) tum in hippodromo, ubi imperator præsidens triumphi pompam spectabat, humi projectum patria lingua illam Solomonis sententiam protulisse : *Vanitas vanitatum, omnia vanitas*. Aliud quoque Procopius recenset, quod nemo præter eum ex antiquis scriptoribus memoriæ prodidit, miraculi admirationem omnem excedens. Dicit namque, Maurusios, occidentalem Libyæ gentem, antiquitus Palæstina expulsos, in occidentali ea Libyæ ora consedisse, eos vero esse, quos Gergesæos sacræ Litteræ et Jebusæos vocant : aliasque insuper gentes, quas Jesu Nave filius devictas domibus suis ejecit. Hanc rem veram maxime esse, vetusta quadam inscriptione confirmat, quam se ille legisse testatur, Phœnicum compositam litteris ad fontem quemdam, ubi duæ quoque columnæ ex candido lapide excitatæ fuerint. Litterarum sculptura eo advenientibus hæc promulgabat : « Nos sumus, qui a facie Jesu prædonis filii Nave profugimus. » Ac de his quidem ad hunc ille modum scribit. Libya vero in potestatem Romanorum redacta, annua vectigalia, sicuti et antea, in ærarium intulit. In eadem Libya Justinianus centum et quinquaginta oppida instaurasse dicitur, quæ partim prorsus deleta, partim vetustate collapsa fuerant. Ea vero magnificentissime restituit, summopereque ornavit, privatis simul et publicis structuris, mœnibus et diversis aliis ædificiis, per quæ et urbes illustrantur, et divinum numen maxime placatur, aquæ ductibus quoque, qui uti-

καταπομπάμενος Βελισάριος, ἔπειτα ἐς Βυζάντιον ἄνεισι, τά τε λάφυρα καὶ τὸ τῶν ἀνδραπόδων ἐπαγόμενος πλῆθος· σὺν οἷς καὶ Γελίμερ ὁ τούτων ἦν ἀρχηγός· καὶ θρίαμβος μὲν αὐτῷ κατὰ τὸν ἱππόδρομον ἐτελεῖτο· ἐν ᾧ γε πολλὰ μὲν καὶ ἄλλα εἰσῆγε θαύματος ἄξια, καὶ κειμήλια δὲ παμπόλλων χρημάτων τιμώμενα. Ἃ Γιζέριχον ἔφαμεν ἱστορήσαντες ἐκ Ῥώμης συλῆσαι, τῶν ἀνακτόρων ἔνδον γενόμενον· ὁπηνίκα Εὐδοξία ἡ Βαλεντινιανοῦ γαμετὴ, ὃς τὴν τῆς Ἑσπέρας διεῖπεν ἀρχὴν, ὑπὸ Μαξίμῳ τῷ τυράννῳ τόν τε ἄνδρα φόνῳ ἀποβαλλομένη, καὶ ἐς τὴν σωφροσύνην περιυβρισθεῖσα, μετεστείλατο τὸν Γιζέριχον, εἰσιτητήν οἱ γενέσθαι καὶ τὴν ἐς Ῥώμην εἴσοδον ἐγγυησαμένη· ὅτε δὴ καὶ τὴν Ῥώμην ἀναλώσας πυρὶ, τὴν Εὐδοξίαν σύναρα ταῖς τριτὶ θυγατράσιν ἐς Βανδίλου ἀπήγαγεν. Τότε δὴ, τότε σὺν τοῖς ἄλλοις ἐξαισίοις τῆς πόλεως, καὶ ὅσα ὁ Οὐεσπασιανοῦ υἱὸς Τίτος, ἐξανδραποδισάμενος τὰ Ἱεροσόλυμα, εἰς Ῥώμην ἤγαγεν ἀναθήματα, ἃ Σολομῶν ὁ πάλαι Θεὸν ἐξασιούμενος ἀνετίθει, ἔσχε λαβών. Ἅπερ ἅπαντα Ἰουστινιανὸς, διαφερόντως Χριστὸν τὸν Θεὸν ἡμῶν γεραίρων, εἰς Ἱεροσόλυμα πάλιν ἀνέπεμπεν, ὅπου δὴ καὶ πρότερον ἀνετέθησαν· φησὶ δὲ τότε Γελίμερα ὁ Προκόπιος κατὰ γῆς ἐρριμμένον, ἐπὶ τὸν ἱππόδρομον τοῦ βασιλέως προκαθημένου, καὶ τὰ δρώμενα θεωμένου, τῇ πατρίᾳ γλώσσῃ τὸ Σολομώντειον ἐκεῖνο εἰπεῖν· *Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης*. Καὶ ἕτερον δέ φησιν ὁ Προκόπιος, ὃ μή τις ἄλλος τῶν τὰ ἀρχαῖα συγγεγραφότων ἱστόρησε, πᾶσαν ὑπερβολὴν τεραστίου ἐκβαῖνον. Λέγει τοίνυν ὡς οἱ Μαυρούσιοι τὸ Λιβύων τῶν πρὸς ἑσπέραν ἐθνος, πάλαι ποτὲ τῆς Παλαιστίνης ἀπαναστάντες, ἐς τὰ πρόσπτερα τῆς Λιβύης κατῴκησαν· τούτους δ' εἶναι, οὓς Γεργεσαίους ὁ ἱερὸς λόγος φησὶ, καὶ Ἰεβουσαίους, καὶ τὰ λοιπὰ τῶν ἐθνῶν, ὅσα δὴ ὁ τοῦ Ναυῆ Ἰησοῦς καταπολεμήσας, ἐποίει ἀνάστατα· καὶ πιστοῦται τὸν λόγον ἀληθῆ τὰ μάλα τυγχάνειν, ἐξ ἀρχαίου τινὸς ἐπιγράμματος, ὃ δὴ καὶ αὐτὸς ἐκεῖνος ἀνεγνωκέναι φησὶ, Φοινίκων συγκείμενον γράμμασιν· ἔγχωσι δὲ κρήνης εἶναι τοῦτό τινος, ἔνθα δὴ καὶ δύο στῆλαι ἐγείρονται λίθου πεποιημέναι λευκοῦ, αἷς γλύμμασι γραμμάτων τοῖς ἐκεῖσε δὴ φοιτῶσι διασφοῦσαι· « Ἡμεῖς ἐσμεν οἱ φυγόντες ἀπὸ προσώπου Ἰησοῦ τοῦ λῃστοῦ υἱοῦ Ναυῆ. » Καὶ περὶ μὲν τούτων ὧδε διέξεισι. Τῆς δὲ Λιβύης οὕτω Ῥωμαίοις ὑπὸ χεῖρα γεγενημένης, φόροι ἐπέτειοι ὥσπερ καὶ πρώην εἰσήγοντο. Φασὶ δὲ Ἰουστινιανὸν ἀνὰ τὸ Λιβύων ἔθνος πεντήκοντα καὶ ἑκατὸν ἄστη περιποιήσασθαι· τὰ μὲν μηδαμῶς ὄντα, τὰ δὲ καὶ τῷ χρόνῳ διαῤῥυέντα, πρὸς τὸ μεγαλοπρεπέστερον καινισάμενον· ἐς ὑπερβολήν τε καλλωπίσαι, ἰδίαις τε ἅμα καὶ δημοσίαις καταγωγαῖς, τειχῶν τε περιβόλοις, καὶ ἄλλαις ποικίλαις οἰκοδομαῖς, δι' ὧν πόλεις τε διαφαίνονται, καὶ τὸ θεῖον μάλα ἱλάσκεται· εἰσαγωγαῖς τε ὑδάτων, χρείαν τε ἅμα καὶ κάλλος ἀποπληροῦντων τῇ πόλει· τῶν μὲν εὐθὺς ἐξ ἀρχῆς

(1) Justinianus Gelimeri loca quædam in Gallia habitanda tribuit. (Diacon.)

εἰσαχθέντων μὴ πρότερον ὄντων, τῶν δὲ ὄντων μὲν καὶ διαῤῥυέντων, τότε δὲ πρὸς τὴν ἀρχαίαν τάξιν ἐπαναχθέντων.

litatem simul et amœnitatem abunde civitatibus afferrent. Eorum nonnulli tum primum, cum antea non fuerint, constructi sunt: nonnulli vero cum aliquando quidem fuerint, sed postea corruerint, tum temporis ad pristinum reducti sunt statum.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῶν ἐν Ἰταλίᾳ Βελισσαρίῳ καὶ Ναρσῇ διαπεπραγμένων· καὶ περὶ τῆς διαφόρου ἁλώσεως Ῥώμης καὶ Σιλβερίου καὶ Βιγιλλίου τῶν ἐπισκόπων. Ἔτι δὲ καὶ περὶ τῶν τότε Χριστιανισάντων ἐθνῶν, καὶ τῆς Ναρσοῦ τοῦ στρατηγοῦ στρατηγίας τε ὁμοῦ καὶ θεοφιλίας.

CAPUT XIII.

De rebus in Italia a Belisario et Narse gestis; et varia Romanæ urbis per hostes occupatione. De Silverio et Vigilio episcopis; item de eis gentibus, quæ Christianum suscepere fidem. Et de Narsæ ducis imperatoriis artibus, et erga Deum pietate.

Ἃ δ' οὖν καὶ κατὰ τὴν Ἰταλίαν ἐπράχθη, καὶ ταῦτα διέλθω, Προκοπίου καὶ ταῦτα καθιστορήσαντος. Ἐπεὶ γὰρ Θεοδέριχος, ὡς ἐν τοῖς ἔμπροσθεν δεδιήγηται, Ῥώμην ἑλών, Ὀδόακρον τὸν ἐκεῖ τυραννοῦντα ἐφάνιζεν, ἥγησάμενός τε τῶν Ῥωμαίων τὸν βίον ἀπέλιπεν· Ἀμαλασούνθα, ἡ σύζυγος ἐκείνου, τοῦ κοινοῦ παιδὸς Ἀταλαρίχου τὴν ἐπιτροπὴν μετῄει. Ἀῤῥενωπὸν δ' ἔχουσα φρόνημα, τά τῆς ἀρχῆς διῳκεῖτο· καὶ τῶν πραγμάτων οὕτω πρόνοιαν ποιουμένη, Ἰουστινιανὸν πρώτη ἐς τὸν κατὰ τῶν Γότθων ἀνηρέθισε πόλεμον. Καὶ γὰρ ἐπιβουλῆς κατ' αὐτῆς γεγονυίας, πρέσβεις βασιλεῖ ἔπεμπεν. Ἀλλὰ καὶ τοῦ παιδὸς Ἀταλαρίχου ἔτι ἐν ἀπαλῇ τῇ ἡλικίᾳ θανόντος, Θευδάτος Θευδερίχῳ προσήκων γένει, τὴν τῆς Ἑσπέρας ἀρχὴν περιβάλλεται· ὃς ἐπειδὴ Βελισσάριον βασιλεὺς πρὸς Ἑσπέραν ἔπεμπε, τῆς ἀρχῆς παραχωρῶν ἐωρᾶτο, περὶ λόγους μᾶλλον ἔχων σχολήν, ἥκιστα δὲ περὶ τὰ πολέμια ἔμπειρος ὤν· Οὐίττιγιδος τῶν κατὰ τὴν Ἑσπέραν δυνάμεων ἡγησαμένου. Ὡς δὲ τῆς Ἰταλῶν ἐπέβη ὁ Βελισσάριος, ὁ μὲν Οὐίττιγις τὴν Ῥώμην καταλιπὼν, ᾤχετο. Ὁ δὲ τῇ Ῥώμῃ προσεγγίσας, παρὰ τῶν ἔνδοθεν εἰσεδέχθη, ὅλας τὰς θύρας, πρὸς δὲ καὶ τὰς καρδίας αὐτῷ διαπετασάντων Ῥωμαίων· μάλιστα δὲ Σιλβερίου τοῦ τὸν θρόνον αὐτῆς πρυτανεύοντος, εἰσηγησαμένου τὴν πρᾶξιν, πέμψαντος Φειδήλιον ὃς πάρεδρος Ἀταλαρίχῳ ἐγένετο. Καὶ μάχης ἄνευ ἡ Ῥώμη αὖθις ὑπὸ Ῥωμαίους ἐγένετο, ἑξήκοντα ἔτεσιν ὕστερον, ἐνάτῃ Ἀπελλαίου μηνὸς, ὃς πρὸς Ῥωμαίων Δεκέμβριος ὀνομάζεται, ἔτει ἐνδεκάτῳ τῆς ἀρχῆς Ἰουστινιανοῦ. Καὶ τοῦτο δὲ Προκόπιος ἀνεγράψατο· ὡς τῶν Γότθων ἔπειτα τὴν Ῥώμην πολιορκούντων, ὑποψίαν σχὼν ἐς Σιλβέριον τὸν τῆς πόλεως ἱερέα, τοῦτον μὲν εἰς Ἑλλάδα μετῴκιζεν, ἀρχιερέα δὲ Βιγίλλιον τῷ θρόνῳ καθίστη. Ἱστορεῖ δ' ὁ αὐτὸς Προκόπιος, ὅπ' ἐκεῖνον τὸν χρόνον, ὡς Ἕρουλοι διαβάντες τὸν Ἴστρον, ὁπηνίκα ἐπὶ τῶν οἰάκων τῆς ἀρχῆς ἦν Ἀναστάσιος, ἐς ὕστερον δὲ Ἰουστινιανοῦ φιλοτίμως ἐκείνοις διατεθέντος, καὶ μεγάλοις χρήμασιν ἐκμειλιξαμένου, ἀθρόον πρὸς τὰ Χριστιανῶν μετεβάλλοντο ἤθη, καὶ τὴν ὅλαιταν ἡμερώτερον ἔσχον. Πρὸς τούτοις τὴν ἐκ Ῥώμης ἄνοδον Βελισσαρίου ἐς Βυζάντιον ἀναγράφει· καὶ ὡς τὸν Οὐίττιγιν οἷά τι ἀνδράποδον μετὰ τῶν ἐκ Ῥώμης λαφύρων ἀνήγαγεν. Ὅπως τε Τώ-

754 Porro quæ in Italia quoque gesta sint, referemus, quæ et ipsa Procopius in Historiam retulit. Postquam enim Theuderichus, sicuti supra a nobis dictum est, Romam recepit, et Odoacrum tyrannidem ibi exercentem sustulit, rerumque Romanarum potitus decessit, Amalasuntha uxor ejus (1), communis filii Atalarichi tutelam suscepit, et regnum virili animo administravit. Cæterum cum provide rerum curam gereret, prima Justinianum ad bellum adversus Gothos sumendum excitavit. Cum namque insidiis ab eis expetita esset, oratores ad imperatorem misit. Sedenim filio Atalaricho in tenera adhuc ætate exstincto, Theudatus, Theuderichum genere attingens, Occidentis imperium sumpsit. Qui postquam Belisarium imperator in Occidentem misit, regno cedens litterarum doctrinis magis quam rebus administrandis incubuit, ad res bellicas tractandas minime idoneus. Copiis Occidentalibus tum Vittigis præfuit. Belisarius, ut Italiam est ingressus, Vittigis quidem Roma relicta, inde discessit: Belisarius vero urbi appropinquans, a civibus est in eam receptus, fores omnes et corda insuper ipsa Romanis ei patefacientibus: maxime vero Silverio throno ejus præsidente, eam rem suadente atque procurante: qui ad Belisarium, Fidelem, qui Atalarichi assessor et consiliarius fuerat, legavit. Ita absque certamine Roma in ditionem Romanorum, post annum sexagesimum, mense Decembri rediit, undecimo imperantis Justiniani anno. Scripsit et illud Procopius, ubi postea Gothi denuo Romam oppugnarunt, Belisario Silverium episcopum suspectum fuisse, quapropter cum in Græciam transtulerit, Vigilio autem antistiti thronum Ecclesiæ commiserit. Memoriæ prodidit Procopius idem eisdem temporibus, cum Anastasius imperium obtineret, Herulos Istrum transiisse: atque eos postea universos liberaliter a Justiniano tractatos, **755** et ingentibus pecuniis allectos, Christianorum religionem suscepisse, et vitam ad humanitatem mutasse. Ad hæc, Belisarii reditum ex urbe Romana in urbem Constantinopolitanam refert. Atque ut ille Vittigim, perinde atque mancipium quoddam, inter spolia Roma secum duxerit: et ut Totilas (2) imperium Romæ arripuerit, atque urbs ea rursum in potestatem

(1) Amalasuntham sive Himmelsuitham, alii filiam Theoderici fuisse scribunt, ut bini nuns. Supra cap. 11. Amalasuntha soror Theodorici Trasamundo Vandalo nupsit.

(2) Totilas ita flammis Romam vastavit, ut in ea homines habitare non possent. Itaque lectum

Gothorum redierit. Deinde, ut Belisarius secundo in Italiam profectus, Romam rursum receperit : atque inde, Persico bello in Oriente orto, ab imperatore revocatus sit. Recenset quoque, Abasgos tum Christianismum complexos esse, seque ad humaniorem vivendi morem composuisse. Et Justinianum imperatorem eunuchum gentis eorum Ephratam nomine ad eos misisse, qui prohiberet de cætero quemquam ea parte corporis qua viri sumus, apud eos ferro naturæ injuriam inferente privari. Siquidem plurimi qui in principum cubiculis versantur ministri, quos eunuchos sive cubicularios vocare solemus, ex gente ea erant. Tum vero etiam Justinianus Dei Genitrici templum in Abasgorum regione (1), pulchritudine atque amplitudine præstans ædificavit, sacerdotes ei attribuit, et alia quæ ad cultum divinum faciunt, rite constituit. Unde populo ei accidit, ut accuratissime Christianorum dogmate exercereturur. Scribit item quomodo populi Tanaim amnem accolentes (vocant autem loci ejus homines Tanaim, maximæ quoque paludis Mæotidis usque ad Euxinum pontum in longum excurrentem tractum) ad Justinianum legatos miserunt, ut episcopum illis daret, supplicantes : quorum ille precibus reipsa annuerit, et episcopum illis libenter miserit. Admodum vero terse illud etiam idem recenset, quomodo Gothi Mæotidis accolæ, Justiniano imperium administrante, plurimas excursiones in Thraciam fecerint. Præterea, ut sævi terræmotus in Græcia fuerint, et Bœotia, atque Achaia, quæ sunt juxta sinum Crissæum oræ concussæ fuerint, loca plurima sub numerum minime cadentia, et urbes similiter in præceps ierint, et solo æquatæ sint, plerisque in locis terra submersa pessum ierit, atque alicubi quidem chasmata rursum coierint, alicubi vero hiatus perpetui ad hoc usque tempus permanserint. Quale quiddam etiam civitati **756** Ciliciæ Pompejopoli acciderit. Cum enim terra divisa urbem eam cum incolis omnibus universam absorbuisset, vox ex intima voragine exaudita est, hominum eis qui superstites circum ea loca relicti essent, supplicantium, ut se ærumna ea liberarent. Commemorat etiam, ut Narses eunuchus a Justiniano copiarum militarium dux electus, expeditionem in Italiam susceperit, ac Totilam vicerit, deinde vero et Teiam, et urbs Roma quintum capta sit. De Narse, qui familiariter cum eo vixere, illud perhibent : ita ipsum ex divino numine pependisse, atque id omnis generis pietate coluisse, et Virginem eamdemque Dei Genitricem ita venoratum esse, ut illa manifesto ei apparens, quando prælium committendum esset, præciperet : neque illum facile prius in aciem descendisse, quam tempus opportunum ab ea co-

habitaculum est facta, juxta prædictionem Domini, *Apoc.* XVIII.

(1) Procopius *De bello Persico* libro secundo, ubi de Iberum finibus et monte Caucaso agit, hic

τιλας τὴν τῆς Ῥώμης ἀρχὴν περιέθετο· καὶ ὡς ὑπὸ Γότθοις αὖθις ἐγεγόνει ἡ Ῥώμη· ἔπειτα καὶ ὡς δὶς ἐς Ἰταλίαν γενόμενος Βελισάριος, τὴν Ῥώμην αὖθις αἱρεῖ· καὶ ὡς τοῦ Περσικοῦ πολέμου ἀνὰ τὴν Ἑω συνισταμένου, μετεστέλλετο ἐκεῖθεν πρὸς βασιλέως ὁ Βελισάριος. Ἱστορεῖ δὲ καὶ Ἀβασγοὺς τηνικαῦτα τὰ Χριστιανῶν εἰλέσθαι, καὶ πρὸς τὸ ἡμερώτερον τὴν δίαιταν μεθαρμόσασθαι· καί τινα δ' εὐνοῦχον, Εὐφρατᾶν ὄνομα, ἐκ τοῦ γένους ἐκείνων σφίσι διαπέμψαι· ἀπαγορεύοντα μηδένα τοῦ λοιποῦ τῆς ἀφρενωπίας στερεῖσθαι, σιδήρου καταδικάζοντος. Καὶ γὰρ οἱ πλεῖστοι τῶν ἐν τοῖς βασιλικοῖς διατονουμένων κοιτῶσιν, οὓς εὐνούχους θέμις καλεῖν, ἐκ τοῦ ἔθνους τούτου καθεστῶτες ἦσαν. Τότε δὲ καὶ Ἰουστινιανὸς ἱερὸν τῇ Θεοτόκῳ ἐν τῇ Ἀβασγῶν διειμάμενος, κάλλει τε καὶ μεγέθει ἐξέχον, ἱερέας τε καὶ τἆλλα τῆς θρησκείας καλῶς κατεστήσατο· ἐξ οὗ συνέβη κἀκείνους ἐς ἀκρίβειαν τὰ τῶν Χριστιανῶν δόγματα ἐξασκῆσαι. Γράφει δὲ καὶ ὡς οἱ τὸν Τάναϊν πρόσοικοῦντες (Τάναϊν δὲ καλοῦσιν οἱ ἐπιχώριοι τὴν ἐκ τῆς μεγάλης λίμνης Μαιώτιδος ἄχρι δὴ ἐπὶ τὸν Εὔξεινον πόντον ἐς τανυὸν διήκουσαν ἐκβολήν) · πέμψαντες Ἰουστινιανὸν δυσωποῦσιν, ἐπίσκοπον σφίσιν ἐκπέμψαι· καὶ εἰδὼς τὸν Ἰουστινιανὸν ἐπιτελῆ τὴν δέησιν ἐξεργάσασθαι, καὶ ἱερέα ἡδέως αὐτοῖς ἐπιπέμψαι. Μάλα δὲ πᾳῢ καὶ τοῦτο ὁ αὐτὸς ἀναγράφεται· ὡς Γότθων τῶν ἐκ τῆς Μαιώτιδος περιοίκων, ἐκδρομαὶ πλεῖσται ἀνὰ τὴν Θρᾴκην ἐγένοντο, Ἰουστινιανοῦ διέποντος τὴν ἀρχήν· σεισμούς τε ἀγρίους ἀνὰ τὴν Ἑλλάδα γενέσθαι· εἰς ἔσχατον δὲ τήν τε Βοιωτίαν καὶ Ἀχαΐαν καὶ τὰ ἀνὰ τὸν Κρισσαῖον κόλπον διατεθῆναι. Χωρία τε πλεῖστα ἥκιστ' ἀριθμῷ ὑποκεῖσθαι δυνάμενα, καὶ πόλεις ὡσαύτως πρηνεῖς εἰς βάραθρον ἐνεχθῆναι· βυθισθῆναί τε πολλαχόσε τὴν γῆν, καὶ ἐνιαχοῦ μὲν συνελθεῖν πάλιν τὰ χάσματα· ἔστι δ' ὅπου καὶ οὕτως ἐς χάος ἄπειρον ἄχρι τοῦ δεῦρο διαμεμενήκασιν· οἷόν τι καὶ περὶ τὴν τῆς Κιλικίας Πομπηϊούπολιν συνέβη. Διασχούσης γὰρ τῆς γῆς καὶ αὐτανδρον τὴν πόλιν καταπιούσης, φωνὴ κάτωθεν ἐξηχεῖτο, τῶν ἀνθρώπων ἱκετευόντων σφᾶς ὑπολειφθέντας, ἀπαλλάττειν τῆς συμφορᾶς. Ἀφῖκται καὶ ὡς Ναρσῆς ὁ εὐνοῦχος εἰς τὴν Ἰταλῶν ἐκβαλὼν χώραν, στρατηγὸς πρὸς Ἰουστινιανοῦ χειροτονηθείς· καὶ ὡς κατηγωνίσατο Τώτιλαν, εἶτα δὲ καὶ Τεΐαν· καὶ ὡς Ῥώμη τὸ πέμπτον ἤδη ἑάλω. Φασὶ τοίνυν οἱ συγγενόμενοι τῷ Ναρσῇ, οὕτω τοῦ Θείου ἐξέχεσθαι, καὶ ταῖς ἄλλαις εὐσεβείαις ἐξοσιοῦσθαι, καὶ τὴν Παρθένον καὶ Θεοτόκον οὕτω γεραίρειν, ὡς καὶ ἀναφανδὸν ἐκείνην διαφαινομένην ὅτε πολεμεῖν δέοι παρακελεύεσθαι, καὶ μὴ πρόχειρος ἐπιβάλλειν ταῖς μάχαις, πρὶν ἐκεῖθεν τὸν καιρὸν διαγνοίη. Πολλὰ δὲ μέγιστα καὶ ἄλλα τῷ Ναρσῇ διεπράχθη, Βουσελῖνον καὶ Σιλβούανδον καταπολεμήσαντι· καὶ τὰ μέχρις Ὠκεανοῦ τῇ Ῥωμαίων ὑπήκοα

gentes, inquit, cum aliæ multæ, tum Alani et Abasgi habitant. Insuper Zechi et post eos Hunni, qui et Saberi dicuntur. Qui postea populi Hungariam et Boiemiam occupavarunt.

ποιησαμένῳ ἀρχῆ. Ἃ δὴ μάλιστα ὁ μετὰ Προκόπιον Ἀγαθίας ὁ ῥήτωρ ἱστόρησε.

gnovisset. Plures insuper alias et maximas Narses res gessit, qui Buselinum (1) et Silduandum (2), bello vicerit, et regiones usque ad Oceanum omnes Romano imperio subdiderit : quas res potissimum post Procopium Agathias rhetor in litteras retulit.

ΚΕΦΑΛ. ΙΔ'.

Ὡς Χοσρόης, φθόνῳ διατακείς, τὰς σπονδὰς λύσας τῇ Ῥωμαίων ἔπεισι· καὶ περὶ τῆς ἁλώσεως Ἀντιοχείας καὶ τῶν ἄλλων.

Τῇ δὲ ἱστορίᾳ Προκοπίου καὶ τάδε ἐμφέρεται, ὡς Χοσρόης διαγνοὺς τά τε ἐν Λιβύῃ καὶ Ἰταλίᾳ συνενεχθέντα τῇ Ῥωμαίων στρατηγίᾳ, πρὸς φθόνον ἐξαίσιον ἦρθη· καὶ προφάσεις κατὰ Ῥωμαίων συμπλάττων, παρισπονδῆσθαι ἔλεγε, καὶ τὴν συγκειμένην εἰρήνην λύεσθαι· καὶ τὰ μὲν πρῶτα Ἰουστινιανὸν, πρέσβεις διαπεμψάμενον ἐς Χοσρόην, δηλοῦν, ὡς μὴ αἰτίαν τινὰ παρασχόμενον τὴν εἰς ἀπέραντον γενομένην εἰρήνην διαλύειν, μηδέ τινα λύμην τοῖς συμφωνηθεῖσιν ἐπαγαγεῖν· καὶ ἥτει ἐπὶ τοῖς ἀμφιλόγοις ἐξέτασιν, καὶ τρόπῳ τινὶ φιλικῷ τὰ ἐν μέσῳ ἐζήτει διατεθῆναι· τὸν δὲ λίαν ἀχθόμενον τῷ ἔνδοθεν ὑποσμύχοντι φθόνῳ, πρὸς μηδὲν εὔλογον ἀποκρίνασθαι· ἀθροίσαντα δὲ τὴν ὑπ' αὐτὸν στρατιὰν πλείστην οὖσαν, τῇ Ῥωμαίων εἰσβαλεῖν, τρίτῳ ἐπὶ δεκάτῳ ἔτει Ἰουστινιανοῦ τὴν Ῥωμαίων ἀρχὴν διεθύνοντος. Συγγράφει τοίνυν, ὅπως ὁ Χοσρόης Σοῦρον τὴν πόλιν πρὸς Εὐφράτην κειμένην πολιορκήσας εἷλεν, ἕτερα μὲν συνθέμενος, ἕτερα δὲ πεπραχώς· ἀνοσίως διατεθείς, ὡς ἀλογήσας μάλιστα τὰς συνθήκας, καὶ δόλῳ μᾶλλον ἢ νόμῳ πολέμου τύτην ἑλών· καὶ ὅπως τήν τε Βέρροιαν ἐποίει πυρίκαυστον· καὶ ὡς ἐκεῖθεν εἰς Ἀντιόχειαν ἦκεν, Εὐφραιμίου τῷ θρόνῳ ταύτης ἐμπρέποντος· καταλελοιπότος δὲ τὴν ἐκκλησίαν, μηδενὸς αὐτῷ τῶν κατὰ σκοπὸν προϊόντος· ὃς τὴν ἐκκλησίαν, καὶ τὰ ἀμφ' αὐτὴν πάντα περισῶσαι λέγεται, κατακοσμήσας τοῖς ἱεροῖς ἀναθήμασιν, ἵνα λύτρα ταύτῃ γένηται. Περιπαθῶς δ' ἄγαν καὶ τῆς Ἀντιόχου τὴν ἅλωσιν ἀναγράφεται πρὸς Χοσρόου γεγενημένην· καὶ ὡς πάντα διέφθειρε κτείνων καὶ διαπυρπολῶν. Ἔπειτα καὶ ὅπως ἐς τὴν ἀστυγείτονα Σελεύκειαν ἦκεν, ἔν τε τῷ προαστείῳ τῆς Δάφνης. Καὶ ὡς κατὰ τὴν Ἀπαμέων ἐγένετο, Θωμᾶ τηνικαῦτα ἐπισκοποῦντος, λόγοις καὶ ἔργοις μάλα διαφανοῦς· ὃν δή φησι σύναμα Χοσρόῃ τὴν τῶν ἵππων ἁμιλλαν ἐν τῷ ἱπποδρόμῳ σοφῶς ὑποστῆναι παρὰ τὸ νενομισμένον θεάσασθαι· ὡς ἐπίπαν θεραπεῦσαι ἐκεῖνον καὶ ἐξημεροῦν ἠρημένον. Ὃν ἀστείως μάλα Χοσρόης ἤρετο, εἴ γε ἤρεῖτο αὐτὸν ἀνὰ τὴν οἰκείαν πόλιν οὕτω θεάσασθαι· τὸν δ' ἀληθείαν τοῦ παντὸς τιμῶντα, φάναι λέγεται, ὡς οὐχ ἡδέως ὁρῴη ἐκεῖνον· ὃ καὶ διὰ πολλοῦ τὸν Χοσρόην ποιησάμενον τῆς ἀληθείας, τὸν ἱερὰ ὑπερφυῶς ἄγασθαι.

CAPUT XIV.

Ut Chosroes per invidiam pace fracta, Romanum inraserit imperium. Et de Antiochiæ aliarumque urbium hostili occupatione.

lam, quæ ab Iba ad Marim Persam conscripta esse dicitur. » Et post verba pauca quatuordecim capitula de recta et irreprehensibili fide exposuerunt. Hæc quidem sic acta. In secunda autem sessione, postquam **777** ab Eulogio, Conone, Cyriaco, et Pancratio, monachis Hierosolymitanis, libelli contra impia Origenis, qui et Adamantius dictus est, dogmata, et contra impietatis et seductionis ejus sectatores oblati et lecti sunt : Justinianus rursum synodum de eis sententiam dicere jussit, libellis quoque qui Vigilio papæ de eis rebus scripti erant, in medium prolatis. In quibus erat, Adamantio studio fuisse, ut Græcis nugamentis et Manichæis zizaniis, apostolicorum dogmatum impleret puritatem. Synodus itaque rem ad Justinianum, post exclamationes in Origenem, et qui itidem ut ille seducti essent, factas retulit. Quarum quædam in hæc concepta erant verba, sicuti ea ex commentariis synodi istius excerpsimus. « Qui animum obtines cœlestis participem generositatis, Christianissime imperator... » Et deinde : « Effugimus igitur, effugimus istam, quam ignoramus, externam vocem, et tanquam furem atque prædonem ejusmodi hominem anathematis laqueis arcte districtum atque suffocatum, extra sacra Ecclesiæ mœnia abjecimus. » Et post pauca : « Actorum vero nostrorum ex eorum lectione vim cognoscetis. » Hisce conjunxerunt capitula, quæcunque Origenis sectatores professi sunt : quæ capitula consensionem simul et dissensionem eorum, atque etiam multiplicem errorem ostendunt. Quintum ex iis capitulum est, blasphemiarum certarum quarumdam ejus quæ nova Laura dicta est, personarum hisce verbis scriptum : « Theodorus Ascidas Cappadox dixit : Quando nunc apostoli et martyres miracula edunt, et in tantum sunt honorem, si in restitutione et instauratione rerum Christo æquales non fuerint, qualis eorum restitutio futura est? » Iidem monachi perquam diligenter etiam Didymi et Evagrii et Theodori alias plures blasphemias, ex eorum perperam scriptis libris collectas, ad synodum retulerunt : quas omnes anathemate concideruut, ordineque omnes exposuerunt. Quibus capitula addiderunt, quæ Origenis studiosi ex scriptis ejus excerpta profitentur : in quibus et hæc furiosus ille docet : « Ante corpus ipsum anima est, quæ quidem in cœlis peccata commiserit. **778** Ad hæc : Cœlum, solem, lunam, stellas, aquas quæ supra cœlos sunt, animatas, et rationales quasdam virtutes esse. Præterea quod in resurrectione corpora hominum rotunda et orbiculari specie excitabuntur. Et quod omnium impiorum hominum, ipsorumque etiam dæmonum tormenta, finem habebunt. Quodque impii et dæmones in priorem suum ordinem et statum restituentur. Insuper quod pro dæmonibus quoque Christum crucifigi, atque id ipsum sæpius sæculis futuris pati oportuit a spiritibus malignitatis,

τίζομεν καὶ τὴν ἀσεβῆ ἐπιστολὴν, τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι πρὸς Μάρκον τὸν Πέρσην. » Καὶ μετ' ὀλίγα ἐξέθεντο τέσσαρα καὶ δέκα κεφάλαια περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως. Ταῦτα μὲν οὕτω προέβη. Ἐν δευτέρᾳ δὲ συνελεύσει λιβέλλων ἐπιδεδομένων παρά τε Εὐλογίου, Κόνωνος, Κυριακοῦ καὶ Παγκρατίου τῶν μοναχῶν Ἱεροσολυμιτῶν, κατὰ τῶν δυσσεβῶν δογμάτων Ὠριγένους τοῦ καὶ Ἀδαμαντίου καὶ τῶν τῇ ἐκείνου δυσσεβείᾳ καὶ πλάνῃ ἑπομένων, ὁ Ἰουστινιανὸς αὖθις τῆς συνόδου περὶ τούτων ἀπεπειρᾶτο· προβέμενος εἰς μέσον τὸν λίβελλον, καὶ ὃν Βιγιλίῳ τῷ πάπᾳ περὶ τούτων ἐστάλη· ἐν οἷς δείκνυται ὡς διὰ σπουδῆς τῷ Ἀδαμαντίῳ ἐγένετο, Ἑλληνικῶν ὕθλων καὶ ζιζανίων Μανιχαϊκῶν ἐμπλῆσαι τῶν ἀποστολικῶν δογμάτων τὸ ἀκραιφνές· καὶ τοίνυν ἀναφορὰ ἐς Ἰουστινιανὸν γέγονε παρὰ τῆς συνόδου μετὰ τὰς κατὰ Ὠριγένους ἐκδοθείσας, καὶ τῶν ἐπίσης ἐκείνῳ πλανηθέντων· ὧν ἕνια τούτοις συνέκειτο κατὰ ῥῆμα· « Τῆς ἄνωθεν εὐγενείας μετέχουσαν κεκτημένος τὴν ψυχὴν, Χριστιανικώτατε βασιλεῦ! » Καὶ μετ' ὀλίγα· « Ἐφύγομεν τοίνυν, ἐφύγομεν ταύτην. Οὐ γὰρ ἐγνωρίσαμεν τῶν ἀλλοτρίων τὴν φωνήν· καὶ ὡς λῃστὴν τὸν τοιοῦτον τοῖς τοῦ ἀναθέματος βρόχοις ἀσφαλῶς περισφίξαντες, τῶν ἱερῶν ἔξω περιβόλων ἀπεβαλόμεθα. » Καὶ μετ' ὀλίγα· « Τῶν δὲ παρ' ἡμῶν πεπραγμένων διὰ τῆς ἐπ' αὐτοῖς ἀναγνώσεως εἴσεσθε τὴν δύναμιν. » Τούτοις συνέζευξαν καὶ τὰ κεφάλαια τὰ ὅσα πρεσβεύειν οἱ τὰ Ὠριγένους δοξάζοντες ἐδιδάχθησαν δηλοῦντα τάς τε συμφωνίας αὐτῶν, ἅτε καὶ τὰς διαφωνίας καὶ τὴν πολυσχιδῆ τούτων πλάνην. Πέμπτον ἐκ τούτοις ἐστὶ κεφάλαιον τῶν βλασφημηθέντων ἀπὸ ἰδικῶν προσώπων τῆς καλουμένης νέας Λαύρας, ταῦτα διεξιόν· « Θεόδωρος Ἀσκιδᾶς ὁ Καππαδόξ εἶπεν· Εἰ νῦν οἱ ἀπόστολοι καὶ οἱ μάρτυρες θαυματουργοῦσι, καὶ ἐν τῇ τοσαύτῃ τιμῇ ὑπάρχουσιν, ἐν τῇ ἀποκαταστάσει εἰ μὴ ἴσοι γένοιντο τῷ Χριστῷ, ποία ἀποκατάστασις αὐτοῖς ἐστιν; » Οἱ δ' αὐτοὶ μοναχοὶ καὶ Διδύμου καὶ Εὐαγρίου καὶ Θεοδώρου ἄλλας πολλὰς βλασφημίας σπουδαίως μάλα περὶ τῶν κακῶς συγγραφέντων ἐκείνοις ἀπολεξάμενοι, τῇ συνόδῳ ἀνήνεγκαν· ἃ δὴ πάντα τῷ ἀναθέματι περιέβαλον· ἐφεξῆς δὲ πάντα κατέστρωσαν· οἷς συνέζευξαν καὶ τὰ κεφάλαια ὅσα πρεσβεύειν οἱ τὰ Ὠριγένους δοξάζοντες, ἐκ τῶν ἐκείνῳ συγγραφέντων ἐξεδιδάχθησαν· ἐν οἷς καὶ τάδε ὁ μανιώδης φησί· « Πρὸ τοῦ σώματος ἡ ψυχὴ, ἐν οὐρανοῖς αὐτῇ γεγενημένων ἁμαρτιῶν. Λέγει πρὸς τούτοις τόν τε οὐρανὸν καὶ τὸν ἥλιον, τήν σελήνην τε καὶ τοὺς ἀστέρας καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν οὐρανῶν, ἔμψυχα, καὶ λογικάς τινας εἶναι δυνάμεις· ἔτι δὲ καὶ ὡς ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρονται σώματα· καὶ ὅτιπερ πάντων ἀσεβῶν ἀνθρώπων, καὶ πρός γε δαιμόνων ἡ κόλασις πέρας ἔχει· καὶ ἀποκατασταθήσονται ἀσεβεῖς τε καὶ δαίμονες εἰς τὴν προτέραν αὐτῶν τάξιν· καὶ ὅτι καὶ ὑπὲρ δαιμόνων δεῖ τὸν Χριστὸν σταυρωθῆναι· καὶ πολλάκις τοῦτο εἰς τοὺς ἑσομένους αἰῶνας παθεῖν ὑπὸ

τῶν πνευμάτων τῆς πονηρίας τῶν ἐν τοῖς ἐπουρανίοις. Ἀλλὰ πάντα τὰ τῶν ἐκείνου βλασφημιῶν κατὰ μέρος ἐκτίθεσθαι μακρὸν ἂν εἴη· εἰδέναι μέντοι χρεών, ὡς οὗτός ἐστιν ὁ καὶ Μάνεντι καὶ Σαβελλίῳ, Ἀρείῳ τε καὶ Εὐνομίῳ, ἔτι δὲ καὶ τῷ λοιπῷ τῶν κακοδόξων χορῷ, πρῶτος τοῖς συγγράμμασι τὰ ζιζάνια ἐπισπείρας· πεπερασμένην φάμενος ἔχειν δύναμιν τὸν Θεόν· καὶ ἐλάττονα τὸν Υἱὸν τοῦ Πατρὸς, καὶ τὸ Πνεῦμα πάλιν ἧττον τοῦ Υἱοῦ· ὁ δὲ Υἱὸς κτίσμα καὶ γέννημα τοῦ Πατρός· καὶ κατὰ πάντα μείων ὁ Υἱὸς τοῦ Πατρός· καὶ ὅτι ψιλὸς ἄνθρωπος ἦν· καὶ ὅτι τὰ κτίσματα συναΐδια τῷ Θεῷ· καὶ ἄλλα τοιαῦτα ἔκτοπα καὶ ἀλλόκοτα βλασφημεῖ, καὶ ἐκ τῶν Πλατωνικῶν μάλιστα δοξῶν τὸ λιτὸν τῶν ἀποστολικῶν δογμάτων συγχέων. Πλὴν ἐκ τῶν ἀναθεματισμῶν οὓς ἡ σύνοδος κατ' αὐτοῦ ἐξέβόησε, δῆλος γενήσεται ὁ ἀνήρ· ἔχουσι δὲ πρὸς λέξιν ὧδε·

A qui in cœlestibus sunt. « Verum omnes illius blasphemias sigillatim exponere longum fuerit. Illud porro scire oportet, hunc ipsum esse qui insano Maneti, et Sabellio, Ario et Eunomio, atque reliquo male sentientium choro, primus in scriptis eorum zizania aspergendi seminandique auctor fuerit, ut qui finibus certis terminatam vim Deum habere, Filium Patre minorem, et rursum Spiritum Filio inferiorem : Filium creaturam et germen Patris, atque per omnia Filium Patre minorem, eumdemque merum hominem, et creaturas coæternas esse Deo, dixerit. Alia denique hujus generis absurda prorsus et aliena, impie per blasphemiam effutiit, Platonicis opinionibus simplicem apostolicorum dogmatum sinceritatem miscens atque confundens. Sed ex ipsis anathematismis, quos in eum synodus contorsit, qualis is vir fuerit, manifesto patebit. Qui de verbo ad verbum sic habent :

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῶν βλασφημιῶν Ὠριγένους, καὶ τῶν ἀναθεματισμῶν οὓς ἀναθεματίσθη παρὰ τῆς συνόδου· καὶ περί τινων ἄλλων ἐκκλησιαστικῶν.

CAPUT XXVIII.

De blasphemiis Origenis, et anathematismis, quibus est a synodo mactatus : et de quibusdam aliis rebus ecclesiasticis.

« Εἴ τις λέγει ἢ ἔχει προϋπάρχειν τὰς τῶν ἀνθρώπων ψυχὰς, οἷα πρώην νόας οὔσας καὶ ἁγίας δυνάμεις· κόρον δὲ λαβούσας τῆς θείας θεωρίας, καὶ πρὸς τὸ χεῖρον τραπείσας· καὶ διὰ τοῦτο ἀποψυγείσας μὲν τῆς τοῦ Θεοῦ ἀγάπης· ἐντεῦθεν δὲ ψυχὰς ὀνομασθείσας, καὶ τιμωρίας χάριν εἰς σώματα καταπεμφθείσας, ἀνάθεμα. Εἴ τις λέγει ἢ ἔχει τὴν τοῦ Κυρίου ψυχὴν προϋπάρχειν, καὶ ἡνωμένην γεγενῆσθαι τῷ Θεῷ Λόγῳ πρὸ τῆς ἐκ Παρθένου σαρκώσεώς τε καὶ γεννήσεως, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει πρῶτον πεπλάσθαι τὸ σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ μήτρᾳ τῆς ἁγίας Παρθένου, καὶ μετὰ ταῦτα ἑνωθῆναι αὐτῷ τὸν Θεὸν Λόγον, καὶ τὴν ψυχὴν ὡς προϋπάρξασαν, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει πᾶσι τοῖς ἐπουρανίοις τάγμασιν ἐξομοιωθῆναι τὸν τοῦ Θεοῦ Λόγον, γενόμενον τοῖς Χερουβὶμ Χερουβεὶμ, καὶ τοῖς Σεραφὶμ Σεραφεὶμ, καὶ πάσαις ἁπλῶς ταῖς ἄνω δυνάμεσιν ἐξομοιωθέντα, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει ἐν τῇ ἀναστάσει σφαιροειδῆ τὰ τῶν ἀνθρώπων ἐγείρεσθαι σώματα, καὶ οὐχ ὁμολογεῖ ὀρθίους ἡμᾶς ἐγείρεσθαι, ἀνάθεμα ἔστω. Εἴ τις λέγει οὐρανὸν καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας καὶ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν, ἐμψύχους καὶ ὑλικὰς εἶναί τινας δυνάμεις, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει ὅτι ὁ Δεσπότης Χριστὸς ἐν τῷ μέλλοντι αἰῶνι σταυρωθήσεται ὑπὲρ δαιμόνων καθὰ καὶ ὑπὲρ ἀνθρώπων, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει πεπερασμένην εἶναι τὴν τοῦ Θεοῦ δύναμιν, καὶ τοσαύτα αὐτὸν δημιουργῆσαι ὅσων περιδράξασθαι, ἀνάθεμα ἔστω. Εἴ τις λέγει ἢ ἔχει πρόσκαιρον εἶναι τὴν τῶν δαιμόνων καὶ ἀσεβῶν ἀνθρώπων κόλασιν, καὶ τέλος· κατά τινα χρόνον αὐτὴν ἕξειν, ἤγουν ἀποκατάστασιν γενέσθαι δαιμόνων ἢ ἀσεβῶν ἀνθρώπων, ἀνάθεμα ἔστω. Ἀνάθεμα Ὠρι-

B

C

D

« Si quis dicit, aut sentit, hominum animas veluti prius exstantes, intellectuales mentes sive naturas et sanctas virtutes præexistere, contemplatione vero divina exsatiatas, atque in deterius prolapsas, et quod in eis charitas Dei refrixerit, inde ψυχὰς, id est, animas quasi refrigescentes nominatas, et pœnæ gratia in corpora demissas esse, anathema sit. Si quis dicit, aut sentit, animam Domini præexstitisse, unitamque esse Deo Verbo 779 ante incarnationem et nativitatem ex Virgine, anathema sit. Si quis dicit, aut sentit, prius formatum esse corpus Domini nostri Jesu Christi in utero Virginis sanctæ, et demceps unitum esse ei Deum Verbum, atque animam, ut quæ prius extisterit, anathema sit. Si quis dicit, aut sentit, omnibus cœlestibus ordinibus assimilatum esse Dei Verbum, ita ut ipsi Cherubim factus sit Cherubim, et ipsi Seraphim factus Seraphim, omnibusque adeo supernis virtutibus prorsus esse exæquatum, anathema sit. Si quis dicit, aut sentit, in resurrectione rotundæ et orbicularis figuræ hominum corpora exsuscitatum, neque confitetur erectos nos excitatum iri, anathema sit. Si quis dicit, cœlum et solem, et lunam et stellas, et aquas quæ supra cœlos sunt, animatas quasdam esse et materiales virtutes, anathema sit. Si quis dicit, aut sentit, Dominum Christum in seculo futuro pro dæmonibus, quemadmodum et pro hominibus, crucifixum iri, anathema sit. Si quis dicit, aut sentit, virtutem Dei terminatam esse, eumque tantum in creatione condidisse, quantum complexus sit, anathema sit. Si quis dicit, aut sentit, temporanea esse dæmonum et impiorum hominum tormenta, finemque

(1) *Rigidos* (Lactant.)

ea tempore aliquo habitura, sive restitutionem dæmonum aut impiorum hominum futuram, anathema sit. Anathema sit Origeni, qui et Adamantius dictus est, et hæc promulgavit, una cum detestandis ejus et exsecrandis dogmatibus, et homini omni qui hæc sentit aut asserit, aut aliqua ex parte quocunque prorsus tempore ea defendere audet : in Christo Jesu Domino nostro, cui gloria in sæcula sæculorum. Amen. » Post synodum imperator troparium, seu cantilenam, cujus initium est, *Unigenitus* (1) *Filius et Verbum Dei*, composuit, atque eam Ecclesiæ inter psallendum usurpandam tradidit. Ea porro ad hoc usque tempus veluti lege insolubili frequentatur. Idem imperator tum primum Servatoris exceptionem toto orbe terrarum festo (2) die honorare instituit, sicut Justinus de sancta Christi nativitate fecit. Atque non ita longo post tempore, Mauricius sacrosanctæ Dei Genitricis dormitionem quindecimo Augusti mensis die celebrari præcepit. Patriæ quoque suæ Achrido præcipuum honorem habens Justinianus, archiepiscopali dignitate eam decoravit : ecclesiamque ibi liberam, quæ ipsa sibi caput esset, cum plena potestate constituit, et primam Justinianam **780** mutato nomine vocavit. Quemadmodum et in insula Cypro postea secundam Justinianam, eamdemque archiepiscopalem, parem ei cum Achrido honorem tribuens, fecit, in conjugis suæ Theodoræ Augustæ inde ortæ favorem. Porro Achrido urbs est in excelso tumulo constructa, prope lacum maximum, qui Lychnedus nominatur, antiquitus autem Dassarites (3) vocatus est. In eo maxima vis piscium capitur. Primus (4) vero fluvius se inde quoque provolvit, septentrionem versus fluens. Ex cultioribus etenim quæ ad Deabolim sunt partibus manans, et quem diximus lacum secans, et quasi Alpheus quidam pelagus scindens, atque ad Arethusam fontem sensim marinis aquis innatando contendens, circa Boreale latus inde profluit, et ad paludis finem, eis quæ ab incolis Struda dicuntur, inventis, eisque ipsis sibi conjunctis, maximus evadit fluvius. Deinde se ad Occidentem inclinans, in Orinum se effundit, circa castellum Illissum (5) nomine, quod totius Bulgariæ antiquitus metropolis fuit. In eo etiam olim sedes regia Bulgarorum constituta fuerat. Verum hæc hactenus.

A γένει τῷ καὶ Ἀδαμαντίῳ τῷ ταῦτα ἐκθεμένῳ μετὰ τῶν μυταρῶν αὐτοῦ καὶ ἐπικαταράτων δογμάτων· καὶ παντὶ προσώπῳ φρονοῦντι ταῦτα, ἢ ἐκδικοῦντι, ἢ κατά τι παντελῶς ἐν οἱῳδήποτε χρόνῳ τούτων ἀντιποιεῖσθαι τολμῶντι· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. » Μετὰ δὲ τὴν σύνοδον, ὁ βασιλεὺς τὸ τροπάριον τὸ, *Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ*, συνθέμενος, τῇ Ἐκκλησίᾳ Θεοῦ παραδέδωκε ψάλλειν· ὃ καὶ εἰς δεῦρο ὡς νόμον ἄλυτον αὕτη διατηρεῖ. Τάττει δὲ καὶ τὴν τοῦ Σωτῆρος ὑπαπαντὴν ἄρτι πρώτως, ἁπανταχοῦ τῆς γῆς ἑορτάζεσθαι, ὥσπερ Ἰουστῖνος τὴν τοῦ Χριστοῦ ἁγίαν γέννησιν· καὶ Μαυρίκιος οὐ πολλῷ ὕστερον, τὴν τῆς παναγνου καὶ Θεομήτορος κοίμησιν, κατὰ τὴν πεντεκαιδεκάτην τοῦ Αὐγούστου μηνός. Γέρας δ' ἐξαίσιον καὶ Ἀχριδῷ τῇ πατρίδι νέμων ὁ Ἰουστινιανός, εἰς ἀρχιεπισκοπὴν ταύτην ἐτίμα, καὶ αὐτοκέφαλον ἐκκλησίαν κατέστα, πρώτην Ἰουστινιανὴν ὀνομάσας· ὥσπερ δευτέραν Ἰουστινιανὴν καὶ ἀρχιεπισκοπὴν καὶ τὴν τῆς νήσου Κύπρου ἐκκλησίαν αὖθις ἐποίει, τὰ ἴσα γέρα τῇ Ἀχριδῷ χαριζόμενος, εἰς τιμὴν τῆς γαμετῆς Θεοδώρας τῆς Βασιλίδος· ἐκεῖθεν γὰρ ὥρμητο. Ἡ δὲ Ἀχριδὼ πόλις ἐστὶν ἐπὶ λόφου ὑψηλοῦ ἐπηρμένη, ἔγγιστα λίμνης μεγίστης Λυχνηδοῦ καλουμένης. Δασσαρίτη δ' ἀρχαῖον ἦν αὐτῇ ὄνομα· ἐξ ἧς καὶ πλῆθος ὅτι πλεῖστον ἰχθύων ἀγρεύεται. Καὶ Δρῖνος δ' ὁ ποταμὸς ἐκεῖθεν τὰς ὀφετέρας ἐκβολὰς ποιεῖται πρὸς ἄρκτον ἰών. Ἀπὸ γὰρ τῶν πρὸς δεάβολιν ἑσπερίων μερῶν, καὶ τὴν εἰρημένην διαιρῶν λίμνην, καθά τις Ἀλφειὸς τὸ πέλαγος σχίζων, καὶ πρὸς τὴν Ἀρέθουσαν πηγὴν ἠρέμα ὑπερνηχόμενος ἁπιών, κατὰ τὸ βόρειον μέρος ἐκεῖθεν τὸ ῥεῖθρον ἐξίησι· καὶ πρὸς τὸ τέρμα τῆς λίμνης, τὰς λεγομένας ἐγχωρίως εὑρηκὼς Στρούδας, καὶ ταύταις ἑνωθείς, μέγιστός τε γίνεται ποταμῶν· ἔπειτα καὶ πρὸς δύσιν νεύων, εἰσβάλλει κατὰ τὸν Ὀρῖνον περὶ φρούριον, Ἐλισσὸν ὄνομα ἔχον, ὃ πάσης Βουλγαρίας τὸ ἀνέκαθεν μητρόπολις ἦν· ἐν ᾧ καὶ τὰ Βουλγάρων ἔκπαλαι βασίλεια ἵδρυτο. Ἀλλὰ ταῦτα μὲν οὕτως.

B

C

D

CAPUT XXIX.

Ut Justinianus recta fide excidens, impatibile ante Passionem Domini nostri corpus fuisse, professus est.

Præteriit interea temporis aliquid, et Eutychius, quod imperatori resisteret, nova quædam indu-

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς Ἰουστινιανὸς τῆς ὀρθῆς δόξης παρατρεπὴς, ἀφθαρτον πρὸ τοῦ πάθους τὸ τοῦ Κυρίου σῶμα ἐπρέσβευσεν.

Χρόνου δέ τινος μεταξὺ διαγενομένου, Εὐτύχιος μὲν, καινά τινα εἰσάγειν βασιλέως ἠρημένου, οἷά-

(1) Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὸς ὁ Θεὸς, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς. Hoc est : *Unigenitus Filius et Verbum Dei, qui cum immortalis esses, dignatus es propter salutem nostram incarnari ex sancta Dei genitrice et semper virgine Maria : et immutabili ratione homo factus, et crucifixus, Christe Deus, morte mortem proculcasti. Et qui unus es sanctæ Trinitatis, et conglorificaris cum Patre et sancto Spiritu, salva nos.*

(2) Festus dies τῆς Ὑπαπαντῆς est idem *qui* Purificationis dies.

(3) Dassaritæ Plinio Thraciæ, Stephano Illyrici populi.

(4) Drilus Illyrici fluvius.

(5) Quid si legas *Clissum* ?

περ ἀνθισταμενος, τοῦ θρόνου ἐκβάλλεται· ἀντεισάγεται δὲ Ἰωάννης ὁ ἐκ τοῦ Σιρίμος ὡρμημένος. Κώμη δὲ αὕτη ἐν τῇ Κυνηγικῇ χώρᾳ διακειμένη ἐγγειτόνων Ἀντιοχείας κειμένη. Τίνα δὲ τὰ καινὰ ἅπερ εἰσάγειν ἤρητο βασιλεὺς, δι' ἃ καὶ Εὐτύχιος ἀπεώσθη τοῦ θρόνου, λέξων ἔρχομαι. Οὔπω συχνὸς, ὡς εἴρηται, μετὰ τὴν ε' σύνοδον παριππεύει καιρός· καὶ ὁ τῶν ζιζανίων πάλαι σπορεὺς, τὴν τῆς Ἐκκλησίας εὐστάθειαν μηδαμῶς ὁρᾷν ἀνεχόμενος, διασαλεύειν ταύτην, ὥσπερ τισὶ μηχανήμασι, σαθροῖς δόγμασιν αὖθις πεῖραν προσῆγε. Τῶν γὰρ Σευήρου δογμάτων τῆς Ἐκκλησίας ἀπεληλαμένων, καὶ τῶν τἀκείνου φρονούντων, ἔτι δὲ Ὠριγένους καὶ Διδύμου, καὶ Εὐαγρίου, καὶ τῶν ἄλλων ὡς ἀλλοκότων δογμάτων παραδεδομένων τῷ ἀναθέματι· καὶ πρὸ τούτων Ἀνθίμου, Πέτρου τε καὶ Ζωόρα τῶν δυσσεβῶν, οἱ προειρημένοι ἀπὸ Ἰουλιανοῦ τοῦ Ἁλικαρνασέως καὶ Γαϊανοῦ Σευηρῖται, προσχήματι εὐσεβείας, τινὰς λίαν ἀνέπειθον στερρῶς ἀντιβαίνοντες, ὅτιπερ ἡ ἐκ Παρθένου τῷ Σωτῆρι Χριστῷ Προσληφθεῖσα σὰρξ πρὸ τοῦ πάθους ἄφθαρτος ἦν, Ἡμεῖς γὰρ, ἔλεγον, ἀνάγκῃ φύσεως τὰ ταύτης περιφέρομεν πάθη, πεῖναν φημὶ καὶ δίψαν καὶ τὰ ἑξῆς. Ὁ δὲ Χριστὸς, ἅτε δὴ πάσχων ἑκὼν, οὐκ ἐπίσης ἡμῖν τοῖς τῆς φύσεως νόμοις δουλεύων ἦν. Πρὸς ἅπερ οἱ εὐσεβοῦντες ἀντέφερον λέγοντες, ὅτιπερ Εἰ καὶ ἑκούσιον τὸ πάθος, ἀλλ' ἐπίσης ἡμῖν ἔπασχεν· ὥστε πῶς δυνάμεθα τὸ ὅπως δὴ ποτε πάσχον ἄφθαρτον κυρίως εἰπεῖν, καὶ μὴ φθαρτὸν, καθὰ δὴ καὶ τὸ ἡμέτερον; Πρὸς ὃ πάλιν ἐκεῖνοι, Ὃν τρόπον μετὰ τὴν ἀνάστασιν ἄφθαρτον τὸ σῶμα λέγοντες τοῦ Χριστοῦ ὁμοούσιον καὶ ἡμῖν τοῦτο λέγετε, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς πρὸ τῆς ἀναστάσεως ἄφθαρτον λέγοντες, ὁμοούσιον αὐτὸ καὶ ἡμῖν εἶναι ὁμολογοῦμεν. Οἱ δ' αὖθις πρὸς αὐτοὺς ἀντεπῆγον, ὅτι Εἰ καὶ ἄφθαρτον τὸ Κυριακὸν σῶμα ὁμολογοῦμεν μετὰ τὴν ζωηφόρον ἀνάστασιν, οὐ τῇ φύσει αὐτὸ ἄφθαρτον λέγομεν, τῇ χάριτι δέ. Ὡς δὲ αὖθις ἐκεῖνοι ἀντέλεγον, ὅτι Καὶ πρὸ τῆς ἀναστάσεως τῇ θείᾳ χάριτι ἄφθαρτον ἦν· πάλιν ἐκεῖνοι, Ἀλλὰ τὰ περὶ Χριστοῦ λεγόμενα τοῦτο οὐ συγχωρεῖ, ἔφασκον. Πρὸ γὰρ τῆς ἀναστάσεως καὶ πεινῆσαι καὶ διψῆσαι καὶ τἄλλα παθεῖν λέγεται. Καὶ πῶς ἂν εἴη τὸ τοιαῦτα πεπονθὸς ἄφθαρτον; Μετά γε μὴν τὴν ἀνάστασιν, οὐδὲν τῶν τοιούτων παθεῖν ἱστορεῖται· ὥστε δῆλον ἐντεῦθεν, ὅτι πρὸ μὲν τῆς ἀναστάσεως φθαρτὸν ἦν τὸ τοῦ Κυρίου σῶμα, μετὰ δὲ τὴν ἀνάστασιν διέμεινεν ἄφθαρτον. Τό γε μὴν φαγεῖν μετὰ τὴν ἀνάστασιν, οὐχ ὡς πεινῶν, ἀλλὰ κατ' οἰκονομίαν τοῦ ἐκ νεκρῶν ἀναστῆναι

cere volenti, e throno deturbatur. Joanni vero ex vico cui Srimis nomen est, in Cynegica regione, non longe ab Antiochia sita, ortum ducenti, sedes ea committitur. Quæ vero novæ istæ res fuerint quas imperator inducere constituerat, quamobrem etiam Eutychius episcopatu expulsus est dicere pergam. Nondum multum, sicuti dictum est, **781** a quinta synodo præterierat tempus, et vetus zizaniorum sator, quod nequaquam tranquillum Ecclesiæ statum cernere posset, ut eam perturbaret, depravata rursum dogmata quasi quasdam machinas ei admovit. Cum namque Severi doctrina ex Ecclesia rejecta, et qui illam secuti fuerant atque etiam Origenis et Didymi et Evagrii, aliorumque aliena atque absurda dogmata, nec non ante hos Anthimi et Petri et Zooræ impiorum hominum opiniones, anathemate confossæ essent : Severitæ, quos diximus, a Juliano Halicarnasseo et Gaiano progressi, sub pietatis prætextu cum quibusdam fortiter congressi, eis persuasere, quod ea quam ex Virgine Salvator Christus assumpsit caro ante passionem incorruptibilis fuerit (1) : Quorum ista fuere verba : « Nos quidem per necessitatem naturæ, affectiones ejus, famem scilicet et sitim, et reliquas circumferimus : Christus vero, utpote qui sponte sua passus sit, non itidem atque nos, naturæ legibus subserviit. Adversus quæ verba pii homines retulerunt : Quamvis spontanea Christi passio fuerit, æqualem tamen nostræ fuisse. Quomodo vero posset, quod qualicunque tandem modo pateretur, id incorruptibile proprie, et non corruptibile, perinde atque de nobis ipsis loquimur, dici? Ad quod illi rursum : Quomodo vos corpus Christi incorruptibile post resurrectionem, et nobis ὁμοούσιον, hoc est, consubstantiale dicitis : eodem modo et nos incorruptibile id ante resurrectionem dicentes, ὁμοούσιον consubstantiale nobis esse confitemur. Contra hæc nostri rursum intulerunt : Tametsi corpus Dominicum incorruptibile post vivificam resurrectionem confiteamur, non natura tamen id incorruptibile esse dicimus, sed gratia (2). Atque ubi illi contra dicerent, quod etiam ante resurrectionem per divinam gratiam incorruptibile fuerit ; nostri rursum : Ea quæ de Christo dicuntur, hoc minime admittere, responderunt. Ante resurrectionem namque et esuriisse et sitiisse, atque alia passum esse dicitur. Quomodo autem id quod talibus perpessionibus subditum esset, incorruptibile esset ?

(1) Aphthartodocitæ isti non satis perspexerunt sacramentum absumptionis hominis, quod sacramentum Dei vocat Hilarius : non item minorationem et exinanitionem Verbi Dei, formamque servi, non exaltationem et glorificationem hominis Christi, ejusdemque primogenituram ex mortuis. Pater minoravit Filium modico citra angelos, ad terras demittendo : gloria tamen et honore coronaturus illum, in cœlos resumendo. Tertull. *Adver. Praxeam.* — Et recedente infirmitate aguoscatur divinitas. (Ambr.) Primogenitus mortuorum Dominus, et in semine suum recipiens pristinos patres, regeneravit eos in vitam Dei, ipse initium viventium factus, sicut Adam initium morientium factus est. Propter hoc et Lucas initium generationis inchoans, in Adam retulit : significans quod non illi hunc, sed hic illos in evangelium vitæ regeneravit. (Iren. lib. III, cap. 33). — Et ideo primogenitus vocatur, quia in ipso primo deificati sumus. (Cyrill. in Thesaur. lib. x.)

(2) Imo natura etiam, cui gratia, quodammodo secundum Augustinum naturalis etiam juxta hominem fuerit. *Et in illo inhabitat* omnis plenitudo *Deitatis corporaliter*. (Col. II.)

Post resurrectionem sane nihil quidquam talium perpessum esse legitur. Quapropter satis inde manifestum esset, ante resurrectionem corruptibile fuisse Domini corpus, **782** post resurrectionem vero exstitisse incorruptibile. Quod namque cibum post resurrectionem ceperit (1) non id famis gratia, sed per œconomiam sive dispensationem manifestæ ex mortuis resurrectionis, ab eo est factum : ut exhiberet se eum ipsum, qui ex mortuis resurrexit, esse. Quo nimirum modo clavorum etiam fixuras ostendit, ut revera se resurrexisse, neque spectrum esse probaret. Proinde Scripturam non dicere, quod post resurrectionem ex mortuis vel esuriens manducaverit, vel sitiens biberit : sed quod simpliciter tantum ederit et biberit, propterea quod incorruptibilis post resurrectionem factus fuerit. Quod si forte sanctorum etiam quorumdam sententias illi adduxere, in corpus Domini corruptionem prorsus non cadere, de alia corruptione quam quæ nunc proposita esset, illos verba facere, nostri dixere. Corruptionis enim vocabulum duo significat. Ejus enim nomine naturales istæ et irreprehensibiles carnis affectiones sive perpessiones veniunt, sitis scilicet, fames, fatigatio, et angor et aliæ. Ad quem modum corruptibile Domini corpus, utpote ὁμοούσιον consubstantiale nobis, dicimus. Eas quippe perpessiones omnes voluntate sua Deus Verbum, propterea quod homo proprie et vere factus sit, suscepit. Atque hoc ipso modo Domini corpus incorruptibile dicere, de Juliani Halicarnassei et Gaini sententia, summæ impietatis est. Et corruptio quidem una hæc est : est autem et alia, corporis scilicet in ea elementa ex quibus compositum est, solutio, et carnis ipsius inquinatio : juxta quam significationem et nos corpus Domini incorruptibile prædicamus, quod inquinamentum nullum invadere et pertingere potuerit. Post divinam quidem resurrectionem, etiam secundum priorem verbi corruptionis significationem, incorruptibilem carnis Domini assumptionem esse sentimus : sicuti et corpora nostra post resurrectionem Deo dante erunt, ante resurrectionem vero secus. Atque hæc ipsa est Aphthartodocitarum hæresis, qua multi mortales sunt correpti, non solum ex eis qui honores et magistratus gesserunt, sed etiam hierarchæ primarii, et monachi vita illustres, et ex sacerdotali ordine alii, atque adeo ipse etiam imperator Justinianus. Et is plurimum opinioni ei inhæsit : non ille altius dogma tale investigans, verum verbi ipsius significationi acrius insistens, **783** videlicet qui handquaquam tale quiddam de Christo propter summum ipsius erga illum amorem et desiderium, audire constituerit. Princeps etenim iste tanto in Christum pietatis ardore flagrasse, ab eis qui res illius memoriæ posteritatis mandarunt, dicitur, quanto

σαφῶς διεπράττετο· ἵνα δείξῃ, ὅτι αὐτός ἐστιν ὁ ἐκ νεκρῶν ἀναστάς. Ὃν τρόπον καὶ τοὺς τύπους τῶν ἥλων ὑποδεικνύει, ὅτιπερ ἀληθῶς καὶ οὐ φανταστῇ ἀνέστη. Διά τοι τοῦτο οὐδὲ ἡ Γραφὴ λέγει μετὰ τὴν ἐκ νεκρῶν ἔγερσιν, ὅτι πεινῶν ἔφαγεν, ἢ διψῶν ἔπιεν· ἀλλ' ὅτι ἔφαγε καὶ ἔπιε μόνον ἁπλῶς, ὅτι ἄφθαρτος γέγονε μετὰ τὴν ἀνάστασιν. Εἰ δ' ἴσως καί τινων ἁγίων χρήσεις παρῆγον, ὡς φθορᾶς παντάπασιν ἀνεπίδεκτον τὸ τοῦ Κυρίου ἦν σῶμα, περὶ ἄλλης φθορᾶς ὁ λόγος ἐκείνοις, οὐ τῆς νῦν προκειμένης ἐστίν, ἔλεγον. Τὸ γὰρ τῆς φθορᾶς ὄνομα δύο σημαίνει· καὶ μία μὲν φθορὰ αὐτὰ τὰ φυσικὰ καὶ ἀδιάβλητα τῆς σαρκὸς πάθη, ἡ δίψα, ἡ πεῖνα, ὁ κόπος, ἡ ἀγωνία, καὶ τὰ ἑξῆς· καθ' ὃν τρόπον φθαρτὸν καὶ τὸ τοῦ Κυρίου λέγομεν σῶμα, ὡς καὶ ἡμῖν ὁμοούσιον. Ἃ δὴ πάντα ἐκουσίως ὁ Θεὸς Λόγος ἀνέλαβε διὰ τὸ ἄνθρωπος γεγονέναι κυρίως. Κατὰ γοῦν τοῦτον τὸν τρόπον ἄφθαρτον τὸ τοῦ Κυρίου λέγειν σῶμα κατὰ τὸν Ἀλικαρνασέα Ἰουλιανὸν καὶ Γαΐνον τῶν πάντη ἀσεβεστάτων ἐστί. Καὶ μία μὲν αὕτη φθορά· ἔστι δὲ καὶ ἄλλη φθορὰ ἡ εἰς τὰ ἐξ ὧν συνετέθη τὸ σῶμα στοιχεῖα διάλυσις, καὶ ὁ τῆς σαρκὸς μολυσμός· καθ' ὃ σημαινόμενον καὶ ἡμεῖς ἄφθαρτον τὸ τοῦ Κυρίου σῶμα πρεσβεύομεν· καὶ ὡς ἀνεπίβατον καὶ ἀπρόσβατον παντὶ μολυσμῷ· μετὰ μέντοι τὴν θείαν ἀνάστασιν, καὶ κατὰ τὸ πρῶτον τῆς φθορᾶς σημαινόμενον ἄνομα, ἄφθαρτον τὸ τῆς τοῦ Κυρίου σαρκὸς δοξάζομεν πρόσλημμα· ὥσπερ ἔσονται καὶ τὰ ἡμέτερα σώματα μετὰ τὴν ἀνάστασιν δωρησαμένου Θεοῦ. Ἀλλὰ τοιαύτη μὲν ἡ τῶν Ἀφθαρτοδοκητῶν αἵρεσις· ᾗ δὴ πολλοὶ συναπήχθησαν, οὐ μόνον τῶν ἐν τέλει, ἀλλὰ καὶ ἐν ἱεραρχίαις προεδρευόντων, καὶ μοναστικῇ διαπρεπόντων ζωῇ, καὶ ἄλλως ἱερωμένων· πρὸς δὲ καὶ βασιλεὺς αὐτὸς Ἰουστινιανός· καὶ προσέσχεν ἐπιπλεῖστον τῇ δόξῃ ταύτῃ, μὴ ἐμβαθύνων τῷ δόγματι, τῇ δὲ σημασίᾳ τῆς λέξεως δριμυσσόμενος, οἷάπερ μηδαμῶς τοιοῦτόν τι ἀκούειν περὶ Χριστοῦ ἀνωτέρω ἐσθαι ἠρημένος, τῷ πλεῖστον πόθον τρέφειν περὶ αὐτόν. Λέγεται καὶ γὰρ ὁ βασιλεὺς οὗτος περὶ τῶν τὰ ἐκείνου ἱστορηκότων, τοσοῦτον θεοφιλῆ ἔρωτα εἰς Χριστὸν τρέφειν, ὅσπερ οὐδενὶ τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, μετά γε τὸν τρισμέγιστον Κωνσταντῖνον ἐπιμαρτύρεται· ὥστε καὶ πολλὰ τῶν βιαίων τῷ σφοδρῷ πόθῳ δι' αὐτὸν πρᾶξαι. Τούς τε γὰρ Ἑβραίους τελεῖν οὐκ εἴα τὸ Πάσχα πρὸ τῶν Χριστιανῶν· καὶ Σαμαρείτας τῆς οἰκείας μὴ ἀφισταμένους δόξης ἐκάκου. Πλείστοις δὲ καὶ νεῷ τῶν ἁπάντων γῆς τὸ Θεῖον ἐτίμα, μεγαλοπρεπεῖς αὐτοὺς ἀνιστῶν, ἅτε δὴ Θεὸν γαριέμενον θείων ὑπερφυῶς. Καὶ ἄλλα τοιαῦτα παραπλησίως ἔχοντα διενήργει, τὸ περιὸν τῆς εἰς Θεὸν γνησίας καὶ ἐνδιαθέτου στοργῆς πᾶσιν ἀριδήλως φαίνειν πειρώμενος. Τηνικαῦτα δὲ καὶ ὁ βασιλεὺς οὗτος τῆς ὀρθῆς καὶ εὐθείας παρατροπὴς λεωφόρου, καὶ τιν' ἀσυνήθη καὶ ἀτριβῆ τοῖς τε θείοις ἀποστόλοις καὶ Πατράσιν ὁδὸν πορεύεσθαι ἠρημένος, ἀκάνθαις καὶ τριβόλοις περιεκάρη. Βουλόμενος δὲ καὶ τὴν Ἐκκλησίαν πρὸς

(1) Factum id per συγκατάβασιν, hoc est condescensionem et accommodationem et propter discipulos.

τὸν οἰκεῖον μεταρρυθμίσαι σκοπὸν, διημάρτανε· τὴν εὐθεῖαν καὶ βασιλικὴν ὁδὸν ἀσφαλῶς τοῦ Κυρίου θριγγοῖς ὀχυρωτέροις ἐξησφαλισαμένου, ὡς ἂν μὴ τῷ βουλομένῳ εὐεπιχείρητος εἴη λυμαίνεσθαι. Τότε δὲ καὶ Βιγίλλιος μὴ συνθέμενος τοῖς δοκοῦσιν Ἰουστινιανῷ, εἰς Ἰταλίαν ἀπαίρων, ἐνόδιος ἐθνήσκεν. Ἰωάννης δὲ ὁ καὶ Κατελῖνος τὴν τοῦ πρώτου τῶν ἀποστόλων ἐπισκοπὴν ἐκληροῦτο. Καὶ τοίνυν τοῦ μὲν Κατελίνου Ἰωάννου τῆς πρεσβυτέρας Ῥώμης ἐπισκοποῦντος· τοῦ δ' ἐκ Σιρίμιος Ἰωάννου τὴν νεωτέραν διέποντος· Ἀπολλιναρίου δὲ ἐν Ἀλεξανδρείᾳ ἔτι ὄντος· καὶ τῇ Θεουπολιτῶν μετὰ Δομνῖνον Ἀναστασίου τοῦ ἐκ Σιναίου χειροτονηθέντος· καὶ τῇ Ἱεροσολύμων Μακαρίου αὖθις τῷ θρόνῳ ἀποδοθέντος, μετὰ τὴν Εὐστοχίου καθαίρεσιν· καθεῖλε γὰρ τοῦτον μὴ τοῖς ἐκείνου δόγμασιν εἶκειν αἱρούμενον· μεθ' ὃ Ὠριγένην καὶ Δίδυμον ἀνεθεμάτισε καὶ Εὐάγριον Ἰουστινιανὸς, τὸ Ῥωμαϊστὶ ὀνομαζόμενον ἴδικτον γράφει· ἐν ᾧ ἄφθαρτον τὸ τοῦ Κυρίου σῶμα, καὶ τῶν ἀδιαβλήτων παθῶν ἀνεπίδεκτον κέκληκεν· οὕτω λέγων πρὸ τοῦ πάθους φαγεῖν, ὥσπερ ὕστερα καὶ μετὰ τὴν ἀνάστασιν· μή τινα τροπὴν ἢ ἀλλοίωσιν ἐξ αὐτῆς τῆς ἐν γαστρὶ τῆς Θεομήτορος διαπλάσεως, μηδὲ ἐν τοῖς ἐκουσίοις καὶ φυσικοῖς πάθεσι, μηδὲ μετὰ τὴν ἀνάστασιν τοῦ παναγίου αὐτοῦ σώματος δεξαμένου, καὶ τὴν ἀφθαρσίαν οὐ μετὰ τὸ πάθος κτήσασθαι· ὃ δὴ τῇ καθόλου Ἐκκλησίᾳ πρεσβεύεται· ἀλλὰ καὶ πρὸ τοῦ πάθους, ἐξ αὐτῆς δὴ τῆς ἀσπόρου καὶ θείας συλλήψεως. Συμφωνεῖν δὲ καὶ τοὺς ἀνὰ τὴν ἕω καὶ ἑσπέραν ἱερέας τῇ ἐκείνου διακένῳ δόξῃ βίαν προσάγων ἠνάγκαζεν. Πάντες δ' ἐς Ἀναστάσιον τὸν τῆς Ἀντιόχου ὁρῶντες, τὸ ποιητέον ἐκεῖθεν μανθάνειν ἦσαν καραδοκοῦντες· ὅθεν καὶ τὴν πρώτην ἐκείνου προσβολὴν τῇ προφάσει ταύτῃ σοφῶς διεκρούσαντο.

alius qui ante eum imperium obtinuerunt, nemo, termaximo illo Constantino semper excepto. Itaque propter vehementem in Christum amorem illius gratia multa etiam violenter fecit. Hebræos namque Pascha ante Christianos celebrare passus non est, et Samaritanos, quod a sententia sua discedere nollent, afflixit. Plurimis quoque templis ubique terrarum Numen divinum honoravit, quæ magnificentissime construxit, quippe qui Deum honoribus ejuscemodi præcipue colere voluerit. Alia insuper hisce consimilia peregit, ut omnibus certo abundantem et veram, quam in intimo gerebat animo, erga Deum pietatis affectionem palam faceret. Tum vero is imperator a recta planaque et regia via dilapsus, atque insuetum divisque apostolis et Patribus intactum iter ingressus, in spinas et tribulos incidit. Et cum Ecclesiam in sententiam suam adducere vellet, consilio opinioneque sua falsus est : quod rectam publicamque viam septo firmissimo Dominus ita communiisset, ut non facile quivis invadere eam et destruere posset. Tum autem et Vigilius minime pedibus in Justiniani sententiam ingressus, cum Italiam peteret, in itinere mortuus est. Joannes autem, qui et Catelinus dictus est, principis apostolorum episcopatum sortitus est. Cæterum Catelino Joanne in veteri Roma, Joanne autem cui patria Sirimis fuit, in nova Roma, Apollinari Alexandriæ episcopatum administrante, apud Theopolitanos vero post Domninum Anastasio, qui ex Sina monte progressus est, antistite lecto, et Hierosolymis Macario in thronum suum reducto (restituit namque hunc Justinianus, cum Origenem et Didymum et Evagrium anathemati subjecisset, post Eustochii exauctorationem), edictum (ita enim latine dicitur) idem imperator scripsit, in quo corpus Domini incorruptibile, **784** et in quod irreprehensibiles etiam perpessiones non caderent, vocavit : ita Dominum ante Passionem edisse dicens, sicuti et post resurrectionem ederit, quod non minus ab ipsa corporis in utero Dei Genitricis conformatione, id mutationis aut alterationis alicujus, in spontaneis istis et naturalibus perpessionibus, quam post resurrectionem, pro eo atque sanctissimum esset, capax non fuerit : et quod idem corpus incorruptibilitatem ipsam non post Passionem, tantum id quod catholica Ecclesia profitetur, verum etiam ante Passionem, ab ipsa usque divina seminisque experte conceptione obtinuerit. Ut vero in sententiam suam sacer ordo in Oriente simul et Occidente levem et futilem iret, vi adhibita cogere cœpit. At universi, oculis in Anastasium Antiochenum conjectis, ut ab eo quid facto opus esset discerent, cupide exspectabant. Per quam illi causam primam ejus conflictationem sapienter removerunt.

ΚΕΦΑΛ. Λ'.

Περὶ Ἀναστασίου τοῦ Θεουπόλεως τοῦ Σιναΐτου.

Ἀνάστασιος δ' οὗτος ὅσον ἐς τὰ θεῖα μάλιστα λόγιος ἦν, ὀρθὸς δὲ τὸν τρόπον, καὶ τὰ ἐς δίαιταν ἀκριβέστατος· ὡς καὶ τοῖς ἅγαν λεπτοῖς ἐπάγειν ῥυθμὸν, καὶ τοῦ ἅγαν ἀσφαλοῦς μηδαμῶς παρεκτρέπεσθαι· μήτοι γε τῶν καιρίων καὶ εἰς αὐτὸ τὸ Θεῖον ἀναφερομένων. Ἄριστα δέ οἱ καὶ τὸ ἦθος ἐκέκρατο· οὐ γάρ τοι πάνυ εὐέντευκτος ἦν, ἵνα μὴ τοῖς καθήκουσιν εὐεπίβατος εἴη· οὔτε μὴν αὐστηρός τις καὶ ἀφειδὴς καὶ ὡς ἂν γε μὴ καὶ δυσπρόσ-

CAPUT XXX.

De Anastasio Theopolis episcopo Sinaita.

Anastasius iste divinarum rerum peritus maxime fuit, in morum autem et quotidianæ vitæ integritate tam accuratæ observantiæ, ut et leviculis quoque negotiis moderationem adhiberet, et non modo in rebus gravibus et ad divinum Numen pertinentibus, sed etiam in minimis a constanti certoque proposito haudquaquam transversim excideret. Mentis vero habitum quam optime temperavit. Non enim facile admodum adiri se passus

est, ne temere quos minime oporteret, ad se admitteret : neque austerus adeo et tetricus fuit, ut se difficilem aditu eis quibus deceret exhiberet ; et cum tempus seriæ rei agendæ esset, in parato aures habebat, et lingua ejus fluminis instar scatebat, celeriterque quæ ei proponebantur solvebat. **785** Porro in negotiis otiosis, et ad rem minus pertinentibus, simul et aures prorsus obturabat, et linguam frenabat, ita ut cum orationem rationis tempestivo modulo metiretur, tum sermone quandoque silentium ejus præstabilius esset. In hunc perinde atque in propugnaculum quoddam Justinianus impegit, omni illum arte ingressus, recte hac secum, ut illi videbatur, ratione deliberata, eum si concussisset, non difficili opere se urbem omnem in potestatem suam redacturum, vera et germana dogmata eversurum, et Christi gregem in captivitatem abducturum. Anastasius vero fidei petra firmiter est nixus, et adeo adversus imperatoris impetum divina prorsus sublatus mente substitit, ut propalam disertis verbis, demonstrationes quoque arte maxima compositas adhibendo, illi dixerit, corruptibile fuisse ante Passionem Domini corpus, naturalibusque et irreprehensibilibus obnoxium perpessionibus, idque ita et sacros apostolos tradidisse, et divos Patres sensisse atque prædicasse. Quæ sane omnia etiam ad monachorum primæ et secundæ Syriæ ordinem, qui illum de eis consuluerant, manifeste et libere rescripsit, omnes ut ita sentirent confirmans, et quasi quidam aliptes ad certamen pro pietate obeundum excitans, dictumque illud quod vas electionis protulit, omnibus subjiciens atque proponens : *Si quis vobis, præterquam accepistis, evangelizaverit, anathema sit* [1]. Illi porro omnes in eadem sententiæ æmulatione perstiterunt. Quam ob causam, ut sibi ita resistentem in exsilium ageret, Justinianus consilium cepit. Id vero ut Anastasius audivit, compositam statim orationem, in qua argumentis cum adversariis congrederetur, Antiochenis, ut ea se defenderent, si opus esset, obtulit. Ea autem verborum elegantia et enthymematum densitate *est* confecta, nec non dictorum ex sacris Litteris depromptorum ubertate, ad rem ipsam ita accommodata, ut maximam auctor libri ejus consecutus sit admirationem. Sed scriptum id, quod Deus meliori quadam ratione Ecclesiæ suæ consultum voluerit, editum non est.

786 CAPUT XXXI.

Ut Justinianus mortuus sit, et de opinione et fide ejus.

Justinianus namque, cum Anastasii sacerdotumque ejus, qui eodem cum illo ardore flagrabant, exsilii libellum dictaret, invisibili ictus plaga, ex vita hac excessit, triginta et octo annis mensibusque octo in imperio transactis : cum quidem Aphthartodocetarum opinionem non abolevisset, quippe qui sententiam ejusmodi ad honorem Dominici corporis magis facere existimaverit. Nonnulli certe quidem veniam illi concedunt, neque eum ob talem opinionem itidem ut hæreses alias, ob

[1] Galat. I, 9.

ΚΕΦΑΛ. ΛΑ'.

Ὡς ἐτελεύτησεν Ἰουστινιανός· καὶ περὶ τῆς ἐκείνου δόξης.

Ὁ γὰρ Ἰουστινιανὸς τὴν ἐκείνου ἐξορίαν καὶ τῶν ἀμφ' αὐτὸν ἱερέων καὶ τῶν τοῦ ἴσου ζήλου ὑπαγορεύων, ἀοράτῳ πληγεὶς μάστιγι, τὸν τῇδε βίον κατέστρεψεν· ἔτη τὰ πάντα διαγενόμενος τῇ ἀρχῇ ὀκτὼ καὶ τριάκοντα σὺν μησὶν ὀκτώ· τὴν τῶν Ἀφθαρτοδοκητῶν μὴ ἀποτριψάμενος δόξαν, ἡγούμενος πρὸς τιμὴν μᾶλλον εἶναι τὴν δόξαν τοῦ Κυριακοῦ σώματος. Καί γε συγγνώμην τινὲς τούτῳ παρέχουσι, μὴ δεῖν εἶναι λέγοντες τὸν οὕτως ὑπειληφότα, ὑπίσης ταῖς ἄλλαις αἱρέσεσιν, ἔξω βάλλε-

A στον ἑαυτὸν οἷς δέοι παραδεικνύει· καὶ ἡνίκα μὲν καιρὸς σπουδῆς ἦν, ἐν ἑτοίμῳ ἦσαν τὰ ὦτα, καὶ ἡ γλῶττα ἴσα ῥεύματι νάουσα· θᾶττον τὰ προσπίπτοντα διαλύων. Ἐν δὲ τοῖς παρέργοις τά τε ὦτα τέλεον ἀπεκλείετο, καὶ τῇ γλώττῃ χαλινὸς ἐπέκειτο· ὡς συμβαίνειν τὸν μὲν λόγον τῷ καιρῷ τοῦ εὐλόγου ῥυθμίζεσθαι, καὶ κρείττονα εἶναι λόγου τὴν σιωπήν. Καὶ δή οἱά τινι προβόλῳ Ἰουστινιανὸς τούτῳ προσβάλλει, πᾶσαν μηχανὴν περιστήσας αὐτῷ· καλῶς, ὡς γ' ἐκείνῳ ἐδόκει, διανοούμενος, ὡς εἰ τοῦτον κατασείσειεν, οὐδενὶ πόνῳ καὶ τὴν πόλιν ἑλεῖν περιγένοιτο· τά τε τῶν δογμάτων γνήσια ἀνδραποδίσασθαι, καὶ ὑπὸ αἰχμαλωσίαν τὴν Χριστοῦ καταστῆσαι ποίμνην. Ὁ δὲ τοιοῦτον ἐστήρικτο τῇ τῆς πίστεως πέτρᾳ, καὶ ἀδόνητος ταῖς προσβολαῖς

B καθειστήκει, τῷ θείῳ μετηρμένος φρονήματι, ὡς ἀναφανδὸν διαῤῥήδην εἰπεῖν βασιλεῖ διαμηνυσάμενον δι' ἀποδείξεων ἐντέχνων μάλιστα, ὡς φθαρτὸν πρὸ τοῦ πάθους εἴη τὸ τοῦ Κυρίου σῶμα, καὶ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ὑποκείμενον πάθεσι· καὶ οὕτω παραδοῦναι τούς τε ἱεροὺς ἀποστόλους, καὶ τοὺς θείους Πατέρας οὕτως εἰδέναι τε καὶ κηρύττειν. Ἃ δὴ πάντα καὶ πρὸς τὸ μοναδικὸν τῆς πρώτης καὶ δευτέρας Συρίας ἐρωτῆσαν, μετὰ παῤῥησίας ἀνεῖπε, στηρίζων πάντας οὕτω φρονεῖν· καί τις ἀλείπτης πρὸς τὸν ὑπὲρ τῆς εὐσεβείας ἀγῶνα διερεθίζων, ἐκεῖνο τὸ τοῦ σκεύους, τῆς ἐκλογῆς πάσι λέγων καὶ προτιθείς· *Εἴ τις ὑμῖν εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.* Οἱ δὴ πάντες τὰ παραπλήσια ζηλοῦντες διαγεγόνασι. Διά τοι ταῦτα Ἰουστινιανὸς οὕτως ἀνθιστάμενον, ὑπερόριον

C ἄγειν σπουδὴν ἐποιεῖτο. Ὑπὲρ πυθόμενος Ἀναστάσιος, συνταχτήριον λόγον σχεδιάσας, Ἀντιοχεῦσι προβάλλειν ἐτίθετο· τοσοῦτον καλλιεπείᾳ καὶ τῷ πυκνῷ τῶν ἐνθυμημάτων, καὶ τῷ εὐπορίστῳ τῶν γραφικῶν ῥήσεων πρὸς τὸ τῆς ἱστορίας πρόσφορον ἡρμοσμένον, ὡς ἐπὶ μᾶλλον ἄγασθαι τὸν πατέρα τοῦ λόγου, καὶ ἐπιπλεῖστον αἱρεῖσθαι θαυμάζειν. Ἀλλὰ τοῦ Θεοῦ κρεῖττόν τι περὶ τῆς αὐτοῦ Ἐκκλησίας προβλεψαμένου, ὁ λόγος οὐκ ἐξεδόθη.

D

ΚΕΦΑΛ. ΛΑ'.

Ὡς ἐτελεύτησεν Ἰουστινιανός· καὶ περὶ τῆς ἐκείνου δόξης.

Ὁ γὰρ Ἰουστινιανὸς τὴν ἐκείνου ἐξορίαν καὶ τῶν ἀμφ' αὐτὸν ἱερέων καὶ τῶν τοῦ ἴσου ζήλου ὑπαγορεύων, ἀοράτῳ πληγεὶς μάστιγι, τὸν τῇδε βίον κατέστρεψεν· ἔτη τὰ πάντα διαγενόμενος τῇ ἀρχῇ ὀκτὼ καὶ τριάκοντα σὺν μησὶν ὀκτώ· τὴν τῶν Ἀφθαρτοδοκητῶν μὴ ἀποτριψάμενος δόξαν, ἡγούμενος πρὸς τιμὴν μᾶλλον εἶναι τὴν δόξαν τοῦ Κυριακοῦ σώματος. Καί γε συγγνώμην τινὲς τούτῳ παρέχουσι, μὴ δεῖν εἶναι λέγοντες τὸν οὕτως ὑπειληφότα, ὑπίσης ταῖς ἄλλαις αἱρέσεσιν, ἔξω βάλλε-

σθαι. Καὶ ἔδηλον, ἐξ ὧν καὶ ἡ ἕκτη σύνοδος ἐν τοῖς προοιμίοις, τῆς μακαρίας λήξεως τοῦτον καταξιοῖ, οὕτω κατὰ ῥῆμα διεξιοῦσα· « Ἐπειδὴ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ δύο σύνοδοι αἱ κατὰ ταύτην τὴν βασιλίδα καὶ θεοφύλακτον πόλιν συναθροισθεῖσαι· ἡ μὲν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως· ἡ δὲ ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως ἡμῶν Κωνσταντίνου πατρὸς τῆς σῆς ἡμερότητος. » Ἀλλὰ καὶ τὰ πρακτικὰ τῆς αὐτῆς συνόδου, ἡνίκα μνείαν ἐκείνου δέοι ποιῆσαι, ἀεὶ τὸν ἐν ἁγίοις Ἰουστινιανὸν λέγουσιν· ἐν οἷς καὶ σχόλιον εὗρον, ὅτι περ καὶ Ἰωάννης ὁ τοῦ Χαλκηδόνος ἐπικληθεὶς τὸν τῆς βασιλίδος θρόνον διέπων, ἐπὶ τῶν ἡμερῶν Ἀλεξίου τοῦ Κομνηνοῦ, ἐν αὐτῷ τῷ τεμένει τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, κατέτος μεγαλοπρεπῆ ἐποίει τούτῳ μνημόσυνα, πανδήμου τελουμένης τούτῳ τῆς πανηγύρεως· μνήμης δ' ἠξιοῦτο, καὶ κατὰ τὸ τῆς Ἐφέσου τέμενος, τῷ ἐπιστηθίῳ καὶ μαθητῇ ὃ ἐκεῖνος ἱδρύσατο. Πλὴν ὡς ἂν δόξῃς ἔχοι παρά τε Θεῷ καὶ ἡμῖν, τέως διὰ τοῦτό φασι καὶ τὸν ἱερὸν Εὐτύχιον διαῤῥῖψαι τοῦ θρόνου καὶ ἄλλους πολλούς. Μέλλων δ' ἐκλείπειν ὥσπερ ὁ θεῖος Κωνσταντῖνος τὴν Ἀθανασίου ἐπάνοδον, οὕτω καὶ οὗτος τὴν Εὐτυχίου ἐνδιαθήκως Ἰουστίνῳ τῷ μετ' αὐτὸν ἐνετείλατο. Ἡγοῦμαι τοίνυν, οὐκ ἀποφαίνομαι, διά τε τὰ ἄλλα αὐτοῦ κατορθώματα, καὶ τὸν πρὸς τὸ θεῖον ἐκείνου ζῆλον, καὶ τὸ ἐν πᾶσι θεοφιλές· μεσιτεύοντος καὶ τοῦ ὑπερφυοῦς ἔργου τῆς τοῦ Θεοῦ Λόγου Σοφίας νεὼ, εἴ τί περ τέως προσῆν ἐκείνῳ ἐλάττωμα ἐπικαλυφθήσεσθαι τῇ ἀπείρῳ φιλανθρωπίᾳ Θεοῦ.

Ecclesia proscribendum esse dicunt. Id ex præfatione sextæ synodi magis liquet, quæ Justinianum beata quiete dignatur verbis ejuscemodi : « Quandoquidem sanctæ et œcumenicæ duæ synodi, quæ in imperante hac et religiosa urbe coactæ sunt, altera quidem Justiniani divinæ memoriæ temporibus, altera vero sub piæ recordationis imperatoris nostri Constantini clementiæ tuæ parentis, etc. » Sedenim acta quoque ejus concilii, cum mentio ejus facienda est, semper eum qui in sanctis est Justinianum dicunt. In quibus et scholium sive brevem adnotationem inveni, quod Joannes Chalcedonis filius, cum Constantinopolitanæ præsset Ecclesiæ, Alexii Comneni ætate, in ipso Dei Verbi Sapientiæ templo quotannis magnifice memoriam ejus celebrarit, populi universi concione ad rem divinam coacta. Memoria ejus Ephesi quoque, in delubro discipuli ejus qui supra pectus Salvatoris recubuit, culta, quod delubrum ipse Justinianus construxerat. In quacunque vero illic demum apud Deum et homines est existimatione, tum quidem hanc etiam ob causam illum sacrum Eutychium atque alios plures throno expulisse aiunt. Cæterum moriturus, sicuti divus Constantinus Athanasii, ita et hic Eutychii restitutionem in testamento Justino successori suo mandavit. Equidem opinor, non autem decerno, propter alia ipsius egregie et recte facta, et præstantem in divinum Numen æmulationem, piamque in omnibus religionem, interveniente quoque mirifico Dei Verbi Sapientiæ templi opere, **787** si quid tum in eo est desideratum, id infinita Dei misericordia resarctum et contectum iri.

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τῶν Αὐξουμιτῶν, ὡς τὴν Χριστιανῶν θρησκείαν ἠσπάσαντο· καὶ περὶ ἄλλων τινῶν.

Τούτου δ' ἔτι τῇ βασιλείᾳ ἐμπρέποντος, ὁ τῶν Αὐξουμιτῶν Ἰνδῶν βασιλεὺς Ἑλληνίζων, μάχην συνεκρότει μετὰ τῶν Ὁμηριτῶν Ἰνδῶν αἱρουμένων Ἰουδαΐζειν, πρόφασιν διδοὺς τῆς διαμάχης Ῥωμαίων. Διὰ γὰρ τοῦ Ὁμηρίτου τῇ Αἰγύπτῳ προσεγγίζοντος, πρὸς Αὐξουμίτας εἰσήγοντο, τὰ παρ' ἀλλήλων διδόντες τε καὶ λαμβάνοντες. Καὶ δὴ ὑπὸ Δάμνου τοῦ τῶν Ὁμηριτῶν κατάρχοντος ἐπιβουλευομένων Ῥωμαίων, συνέβαινε τὴν πρὸς Αὐξουμίτας πάροδον ἐμποδίζεσθαι. Καὶ ἀνιώμενος ἐπὶ τούτοις, εἰς μάχην τοῖς Ὁμηρίταις καθίστατο, Θεῷ τῷ τῶν Χριστιανῶν ἐπευχόμενος ὡς εἰ περιγένοιτο τῶν Ὁμηριτῶν, τὰ Χριστιανῶν ἐλέσθαι. Καὶ συῤῥαγεὶς μάχῃ κατακράτος νικᾷ, καὶ αὐτὸν ἐκεῖνον Δάμνον ζωγρίαν χειροῦται· καὶ τὴν ὑπόσχεσιν διδοὺς τῷ Θεῷ Δαυὶδ ὁ Αὐξουμίτης, ἐς Ἰουστινιανὸν ἔστελλε πρέσβεις, ὅσα νόμιμα Χριστιανοῖς πράττειν αὐτοῖς. Ὁ δὲ λίαν ἡσθεὶς, ἄνδρα ἅγιον χειροτονήσας ἐκείνοις ἐπίσκοπον ἔπεμπεν· ὃς πολλοῖς τῶν ἀγαθῶν ἔργοις σύμπαν τὸ ἔθνος ὑπηγάγετο καὶ ἐβάπτισεν. Ἐκ ταύτης δὴ τῆς προφάσεως καὶ τὰ ἐνδότερα τῶν Ἰνδῶν ἔθνη τὸν Χριστιανισμὸν ἐπεσπάσαντο. Ἦλθη δ' ἐκεῖθεν πρώτως εἰς τὴν Κων-

CAPUT XXXII.

De Auxumitis, ut Christianum cultum susceperint : et de aliis quibusdam.

Eo vero adhuc imperium gubernante Auxumitarum Indorum rex, Græcorum sacrorum consectator, prælium cum Homeritis Indis, Judaicam religionem colentibus, commisit, belli ejus causam Romanis præbentibus. Per Homeritas enim, qui Ægypto appropinquant, mercedes ultro citroque datæ et acceptæ, ad Auxumitas inferebantur. Porro cum ab Homeritarum principe Damno Romani insidiis expetiti essent, ut profectio ad Auxumitas impediretur, accidit. Quare ad animi acerbitatem commotus Auxumita, bellum contra Homeritas movit, voto Christianorum Deo nuncupato, illorum se sacra suscepturum esse, si victoriam ab Homeritis reportaret. Itaque conflictu facto, victor fortiter evadit, ipsumque illum Damnum vivum capit : et votum Deo David Auxumita persolvens, ad Justinianum legatos mittit, ut quæ solemnia Christianis essent, ipsis præstaret. Justinianus autem valde ea re delectatus, delectum virum sanctum, episcopum eis misit, qui plurimis bonis operibus gentem eam omnem subegit et baptizavit. Atque ex hujusmodi sane causa interiores etiam Indorum populi Christianismum sunt com-

plexi. Et tum primum inde sericum (1) Constantinopolim est allatum. Prodigia quoque quamplurima Justiniano imperante exstitere. Ingentes terræmotus, concussiones et hiatus, stellarum faces admirandæ, atque exundationes maris, quod prope ad quatuor milliaria in Thraciam excurrit. Et catellus cæcus novas quasdam res peragebat, atque cuilibet suum tribuebat, et arcaniora quædam signis commonstrabat (1). In pontifices etiam, quos admodum de Sodomorum hæresi insanire compererat, acerbe, seu potius fœde, Justinianus animadvertit. Et cum fames Byzantii increbuisset, rerum necessariarum inopia, imperator secunda statim jejunii hebdomade, carnes in foro venales proponendas promulgavit. Et hoc quidem sic per vim actum. Populus autem, **788** qui pietatem sibi consectandam statuisset, neque eas emebat, neque edebat, mortem sibi potius adeundam esse censens, quam ut quidquam de patriis moribus et traditionibus mutaret. Hæc de Justiniano dicta sint. Faciendum autem mihi esse statui, ut Justini etiam imperium libro huic intexerem : ut proclive esset lectori trium principum Justini, Justiniani et Justini junioris ecclesiasticas actiones cognoscere.

CAPUT XXXIII.

De Justini junioris imperio, moribusque ejusdem.

Verum enimvero ejuscemodi opinioni addictus, eam ob causam turba et tumultu plena omnia reliquens, ad alterum illum rerum statum Justinianus transiit; et in magnifico monumento, ab ipso lapide Sardio in Apostolorum templo constructo, sepultus est ad dextram eam ædem ingredienti partem. Filius vero sororis ejus Justinus junior, cui imperialis aulæ administratio credita fuerat (curatorem palatii Romanorum lingua vocat), purpuream vestem et reliqua imperii insignia sumpsit, cum nondum quisquam præter familiares ejus, vel Justiniani mortem, vel ipsius successionem nosset; quoadusque derepente in Hippodromo apparuit, quæ imperatorum essent, more solito acturus simul et passurus. Atque ubi res, ita ut ei videbatur, prospere succederet, neque quisquam per res novas rebus ejus resisteret, in aulam revertitur, et primam scripto jussionem promulgat, qua omnibus ubique episcopis et sacerdotibus exsilium, in quod propterea acti fuerant, quod periculum pro recta religione adiissent, remisit; eosque sedes suas recipere, et religionem more solito colere, neque quidquam postea de fide novare præcepit. Hoc ille, sic ut dignum erat et

(1) Metaxa sericum villosum dici videtur, quod velutum vulgo vocant. Quadam ex parte hanc dictionem referunt Bohemi, qui sericum tale *Axamit* appellant. Metaxæ mentio fit l. *latas*. C. De murileg. et gynæciar. lib. II. Et metaxariorum negotiatorum, l. fin. C. De pignor. Serici usus e Persis ad Græcos hoc tempore transiit, jampridem

σταντίνου ἡ μέταξα · καὶ σημεῖα δὲ πάμπλειστα Ἰουστινιανοῦ τὴν ἀρχὴν διαθύνοντος ἐγεγόνει · ἐξαίσιοί τε γὰρ σεισμοὶ, καὶ βρασμοὶ γῆς καὶ χάσματα καὶ ἀστέρων φαύσεις παράδοξοι· ἐκτροπαί τε θαλάσσης ὡσεὶ μίλια τέσσαρα ἀνὰ τὴν Θρᾴκην ἐπεξιούσης · κυνίδιόν τε φωτὸς ἄμοιρον καινά τινα διαπραττόμενον, καὶ ἑκάστῳ τὸ οἰκεῖον ἀπονέμον, καὶ ἄλλα τινὰ τῶν ἀπορρήτοτέρων διασημαῖνον · πολλοὺς δὲ καὶ τῶν ἀρχιερέων περὶ τὴν Σοδόμων αἵρεσιν μεμηνότας εὑρὼν, πικρῶς, μᾶλλον δὲ αἰσχρῶς ἐκολάσατο. Ἐπιγεγονότος δὲ καὶ λιμοῦ ἐν Βυζαντίῳ, τῶν ἀναγκαίων ἐπιλελοιπότων, ὁ βασιλεὺς τῇ δευτέρᾳ τῶν νηστειῶν ἑβδομάδι, κρέα προθεῖναι τῇ ἀγορᾷ διηγόρευε. Καὶ τοῦτο μὲν τῇ βίᾳ ἐγίνετο. Ὁ δὲ λαὸς εὐσεβεῖν αἱρούμενος, οὔτ' ὠνεῖτο οὔτ' ἤσθιε · θανεῖν μᾶλλον ἡγούμενος αἱρετώτερον, ἢ τι τῶν πατρίων μετακινεῖν ἐθῶν τε καὶ παραδόσεων. Καὶ περὶ μὲν Ἰουστινιανοῦ τοσαῦτα εἰρήσθω · δεῖν δέ μοι λελόγισται καὶ τὴν Ἰουστίνου ἀρχὴν τῷ παρόντι τόμῳ μάλα ἐντάξαι · ἵνα ἐκ τοῦ προχείρου εἴη τῶν τριῶν τούτων, Ἰουστίνου, Ἰουστινιανοῦ καὶ Ἰουστίνου τὰς ἐκκλησιαστικὰς πράξεις ἀναλεγομένῳ ῥᾷστα μανθάνειν.

ΚΕΦΑΛ. ΑΓ'.

Περὶ τῆς Ἰουστίνου τοῦ νεωτέρου βασιλείας, καὶ τοῦ ἤθους αὐτοῦ.

Ἀλλ' ὁ μὲν Ἰουστινιανὸς τῇ τοιαύτῃ δόξῃ προσκείμενος, κἀντεῦθεν ταράχου πλήρη καὶ θορύβου τὰ πάντα λιπὼν, πρὸς τὴν ἐκεῖσε μετεχώρει κατάστασιν · ἐν τῷ παρ' αὐτοῦ ἀνεγερθέντι ἡρῴῳ πρὸς τῷ νεῷ τῶν ἀποστόλων λίθῳ Σαρδίῳ τεθεὶς, ἐς δεξιὰ εἰσιόντι τὸν δόμον. Ὁ δ' ἐκείνου ἀδελφιδοῦς Ἰουστῖνος ὁ νέος, τὴν τῶν ἀνακτόρων πεπιστευμένος διοίκησιν, ὃν κουροπαλάτον ἡ Ῥωμαίων εἶποι φωνὴ, τὴν ἀλουργὸν ἐσθῆτα καὶ τὰ λοιπὰ τῆς βασιλείας περιτίθεται σύμβολα · μή πώ τινος πλὴν τῶν ἀμφ' αὐτὸν, μήτε τὴν Ἰουστινιανοῦ ἀποβίωσιν, μήτε μὴν τὴν ἐκείνου ἐγνωκότος ἀνάῤῥησιν · ἕως οὗ κατὰ τὴν Ἱπποδρομίαν αἴφνης ἐφάνη τὰ συνήθη τῇ βασιλείᾳ δράσων τε καὶ πεισόμενος. Ἐπεὶ δὲ ὡς ἐκείνῳ ἐδόκει συνέβαινε μή τινος νεωτερισθέντος τῷ πράγματι, ἐπανῆκεν αὖθις εἰς τὰ βασίλεια. Καὶ πρώτη αὐτῷ ἔγγραφος ἐγίνετο κέλευσις λύουσα τοῖς ἐκασταχοῦ ἱερεῦσι τὰς ὑπερορίους φυγὰς, ἃς πεπόνθασιν ὑπὲρ τῆς ὀρθῆς θρησκείας προκινδυνεύοντες · καὶ τοὺς οἰκείους θρόνους ἀπολαμβάνοντας, κατὰ τὸ εἰωθὸς θρησκεύειν, καὶ μηδέν τε τοῦ λοιποῦ περὶ τὴν πίστιν ἐπικαινουργεῖν. Τοῦτο μὲν ἄξιον καὶ ὡς χρεών γε ὂν τῷ βασιλεῖ διεπράχθη, τὰ δ' ἄλλα οὐ κατὰ μόναρχον ἦν· τὸν γὰρ βίον μά-

desitus. (Egnat.)

(2) Designabat is mulieres uterum gestantes, scoriatores, adulteros, avaros, magnanimos. Quapropter spiritum Pythonis habere creditus est. Andreas quidam Italicus circulator eum habuit et circumduxit. (Diac.)

λιστα ἐκδεδιητημένος ὢν, τρυφαῖς καὶ ἡδοναῖς ἀτόποις ἐσχόλαζεν· ἐκτόπως τε καὶ οὗτος ἐπίσης τῷ θείῳ, ἥττων αἰσχρῶν λημμάτων καθεστηκώς, τῶν ἀλλοτρίων ὑπερφυῶς ἦρα. Καὶ μήτοι γε τὰ κοινὰ κέρδους ἀθέσμου ἀπεμπολῶν ἦν, ἀλλὰ καὶ ἐπὶ ταῖς ἱερωσύναις τὰ παραπλήσια δρᾶν, οὐδαμῶς εὐλαβούμενος· ὠνίους γὰρ καὶ ταύτας προτιθέμενος, τοῖς προστυχοῦσιν εὐώνως ἐπίπρασκε.

A imperatorem decebat, peregit. In rebus cæteris nihil quod monarchæ esset, habebat. Nam intemperanter maxime et dissolute vivens, deliciis et voluptatibus vacabat. Supra modum vero et iste, perinde atque avunculus, turpi lucro victus, aliena appetebat. **789** Et non modo publica commoda illicita mercede venalia habebat, verum etiam de sacerdotiis idem facere haudquaquam verebatur. Nam et hæc venum exposita quibusvis pretio vili vendebat.

ΚΕΦΑΛ. ΛΔ'.

Ὡς ἀνεῖλεν Ἰουστῖνος τὸν συγγενῆ Ἰουστῖνον· ἔτι καὶ Αἰθέριον καὶ Ἀδδαῖον τοὺς ἀλιτηρίους.

CAPUT XXXIV.

Ut is Justinum cognatum suum, item Ætherium et Addæum, homines impios et perniciosos, occiderit.

Δειλὸς δὲ ὢν φύσει, θράσει μᾶλλον συνείχετο· καὶ ἅμφω κακίστω παθῶν. Καὶ δὴ τὸν συγγενῆ Ἰουστῖνον διὰ φήμης ὄντα τῷ πλήθει, καὶ ταῖς κατὰ πόλεμον ἐμπειρίαις περιφανῆ, καὶ ταῖς ἄλλαις τῶν τιμῶν ἀναβάσεσι, μετεστίλλετο, ἀμφὶ τὸν Ἴστρον ποιούμενον τὰς διατριβὰς καὶ τὰς ἐκείσε τῶν Ἀβάρων ἐκδρομὰς εἴργοντα· ἀμαξόβιοι δὲ Σκυθαι οἱ Ἄβαρες· νέμονται δὲ ἅρα ὅσα πεδία ὑπὲρ τὸν Καύκασον. Ἀνάστατοι δὲ ἀθρόον ἐγένοντο πρὸς τῶν Ὑπερβορέων Περσῶν· κακῶς γὰρ πρὸς αὐτῶν πάσχοντες, φυγῇ χρώμενοι, ἀμφὶ τὸν Βόσπορον ἦκον, καταλιπόντες τὰς τοῦ Εὐξείνου πόντου ἠϊόνας. Ἔνθα συχνὰ μὲν ἔθνη βάρβαρα καὶ ὑπὸ Ῥωμαίων δ' ἔνια ἐξῳκίσθησαν, καὶ πόλεις τε καὶ στρατόπεδα, καί τινες προσορμίσεις, ἢ στρατιωτῶν ἀπομάχων γινομένων, ἢ καὶ ἀποικιῶν πρὸς τῶν βασιλέων στελλομένων, τὴν πόρευσιν ἐποιοῦντο, πρὸς τοὺς ἐν ποσὶ βαρβάρους ἀνθαμιλλώμενοι· ἕχρις οὗ πρὸς τὰς παριστρίους ἠϊόνας ἰόντες, πρὸς Ἰουστινιανὸν τὸν αὐτοκράτορα διεπρεσβεύσαντο. Ἐκεῖθεν τοίνυν ὁ ῥηθεὶς Ἰουστῖνος μεταπεμφθείς, οἷα δὴ τῷ νέῳ βασιλεῖ συμμεθέξων τῶν συγκειμένων, καὶ τῆς ἀρχῆς ἀπολαύσων. Παραπλησίω γὰρ ὄντες τῷ τε γένει καὶ τῇ κατὰ κόσμον κενότητι, πρὸς ἀμφοτέρους καὶ τὴν βασιλείαν ταλαντευομένην εἶχον. Σύμφωνοι δὲ μᾶλις ἦσαν πολλῶν ἀμφιλόγων γεγενημένων· ὥσθ' ὁπωτέρῳ γένοιτο παριέναι ἐς τὴν ἀρχήν, θατέρῳ τὴν μετ' ἐκεῖνον δοῦναι καθέδραν, ὡς συμβαίνειν ἐκ τῶν δευτερείων τῆς βασιλείας τὰ πρωτεῖα τῶν ἄλλων φέρεσθαι. Ἥκοντα τοίνυν, πολλῇ τῇ ἔξωθεν πρὸς αὐτὸν ἐχρῆτο φιλοφροσύνῃ· καὶ οἷα στρατηγόν τε περίδοξον καὶ προσήκοντα γένει, ποικίλως ἐδεξιοῦτο. Ἔπειτα αἰτίας δή τινας ἐπικλάττων, ἠρέμα παρῃρεῖτο, ὅσοι δῆτ' ἐκείνῳ ὑπασπισταὶ καὶ δορυφόροι καὶ σωματοφύλακες ἦσαν· καὶ τὰς αὐτοῦ προόδους ἀνεῖργε· καὶ τέλος οἶκοι περικλείσας αὐτὸν, ἀνὰ τὴν Ἀλεξάνδρου περιφανῆ πόλιν ἐπὶ πόρρω νυκτῶν κλινοπετῆ καθεστῶτα, δειλαίῳ μόρῳ ἀνῄρει. Ταύτην ἀμοιβὴν ὁ γεννάδας ἐκεῖνος τῆς περὶ τὸ ὁμόφυλον εὐνοϊκῆς διαθέσεως καὶ ταῖς κατὰ τῶν πολεμίων ἀπείροις νίκαις ἀπενεγκάμενος. Οὐ πρότερον δὲ τῆς κατ'

B Et cum natura timidus esset, ferocem se magis exhibebat, perturbationi utrique turpissime obnoxius. Itaque cognatum suum Justinum, cujus præclara vulgo fama erat, virum bellicis artibus aliorumque honorum gradibus illustrem, accivit, qui ad Istrum excubabat, et excursionibus Abarum (1) ibi obviam ibat. Abares autem Scythæ sunt, ἀμαξόβιοι, hoc est, in plaustris degentes, et campos qui ultra Caucasum sunt, incolentes. Inde autem confertim universi ab Hyperboreis Persis, a quibus male accipiebantur, pulsi, fuga sibi consuluere : et ad Bosporum, Euxini Ponti littoribus relictis, ubi multæ barbaræ gentes consederant, plerœque a Romanis sedibus suis exactæ, urbes quoque, castella et navalia, cum vel milites veterani C vacationem militiæ obtinuissent, et loca ea recepissent, vel imperatores colonias eo deduxissent, constructa erant, venere : et inde expeditionem contra eos qui illis obvii fierent, barbaros suscepere, donec ad Istri ripas venientes, ad Justinianum imperatorem legationem misere. Ex eis locis Justinus, quem dixi, evocatus est, perinde atque particeps fieri cum novo imperatore pactorum conventorum imperioque frui deberet. Quod namque et genere et mundana ista vanitate pares essent, ex æquo etiam ad utrumque imperium pertinebat. Post multas namque disceptationes tandem illis convenerat, ut qui imperii administrationem consequeretur, alteri proximum honorem concederet, ita ut is ex secundis imperii partibus D primas præ aliis ferret. Adveniente igitur eo, multa benignitate, sicuti præ se tulit, erga hominem imperator est usus, eumdemque ut ducem insignem, et genere sibi propinquum, varia humanitate tractavit. Deinceps autem causas quasdam commentus, paulatim quos ille milites, satellites et corporis custodes habebat, illi detraxit, progredique eum in publicum vetuit : et postremo in celeberrima **790** Alexandriæ urbe domi clausum, ita ut in lecto jacebat, in multa nocte miseranda cæde sustulit. Hanc generosus ille vir benevolæ propter cognationem affectionis, plurimarumque

(1) Abarum nomen adhuc in Hungaria retinet *Iberia*, divi Martini patria. His quoque Bavaros nomen suum acceptum ferre debere verisimile est.

ab hostibus victoriarum mercedem tulit (1). Neque vero prius et ipse Justinus et conjux ejus Sophia conceptam adversus illum iram remiserunt, aut exspectatione gravium malorum liberati sunt, quam caput ipsius allatum inspexerunt : cui etiam pedibus proculcato per risum illuserunt. Non multum intercessit temporis, cum et Ætherium simul et Addæum, principes senatus, qui res magnas sub Justiniano administraverant, læsæ majestatis legibus interrogat. Atque Ætherius quidem in quæstione graviter tortus, voluisse se veneno imperatorem tollere, consiliique ejus conscium atque in rebus omnibus socium sibi fuisse Addæum, confessus est. Hic autem gravi jurejurando se nihil earum rerum scire confirmavit. Verum utrique caput amputatum. Addæus cum jugulari deberet, per meram calumniam crimen id sibi objectum esse, de quo accusatus esset dixit. Vindicta autem divina, quæ omnia perspiciat, se merito supplicium pati, propterea quod incantationibus quibusdam Theodotum aulæ præfectum sustulerit. Sedenim quomodo hæc ultione cœlesti acta sint, non est mihi dicere promptum. Ambo tamen nefarii perniciosique fuere : Addæus quidem puerorum masculorum corruptor; Ætherius autem sycophanta magnus, qui per calumniam vivorum et mortuorum bona impudenter atque crudeliter devorare, rapereque sub imperatoriæ domus prætextu, cui sub Justiniano præfuit, solitus esset, ea re illi perquam utilis. Atque hæc quidem ad hunc modum sese habuere.

A ἐκείνου μήνιδος ἔληγεν αὐτός τε καὶ ἡ ἐκείνου γαμετὴ Σοφία, καὶ τῆς προσδοκίας ἀπήλλακτο τῶν δεινῶν, ἄχρις οὗ τὴν ἐκείνου κεφαλὴν κομισθεῖσαν τεθέαντο· ἦν τοῖς ποσὶν ἐκλακτίζοντες, διετώθαζον ἐγγελῶντες. Οὐ πολλοῦ δὲ διαγενομένου χρόνου, καὶ Αἰθέριον καὶ Ἀδδαῖον, τὰ πρῶτα τῆς συγκλήτου βουλῆς καὶ τὰς μεγάλας τῶν διοικήσεων ἐπὶ Ἰουστινιανοῦ διοικήσαντας, καθοσιώσεως ὑπῆγεν ἐγκλήματι. Ἀλλ' ὁ μὲν Αἰθέριος δεινῶς ἐταζόμενος, ὡμολόγει βουλόμενος φαρμάκοις ἀνελεῖν τὸν κρατοῦντα· εἶναι δέ οἱ τῆς τοιαύτης βουλῆς κοινωνὸν ἐφ' ἅπασι τὸν Ἀδδαῖον. Ὁ δὲ ὅρκοις δεινοῖς ἑαυτὸν ἠσφαλίζετο, μηδὲν εἰδέναι τῶν εἰρημένων. Οἱ μὲν οὖν καὶ ἄμφω τὰς κεφαλὰς ἀπετμήθησαν· Ἀδδαίου ἐν τῷ μέλλειν κτείνεσθαι φήσαντος συκοφαντίαν μὲν κενὴν ὑποσχεῖν οἷς κατηγόρηται· πρὸς δὲ B τῆς ἐφόρου δίκης πάσχειν ἐνδίκως, οἷς ἄνελοι τὸν τῆς αὐλῆς ὕπαρχον Θεόδοτον γοητείαις τισίν. Ἀλλ' ὅπως μὲν ταῦτα τῇ θείᾳ δίκῃ πέπρακται, ἐμοὶ μὲν λέγειν οὐκ εὐχερές. Πλὴν καὶ ἄμφω ἀλιτηρίω μάλιστα ἦστην, Ἀδδαῖος μὲν παῖδας ἄῤῥενας διαφθείρων, Αἰθέριος δὲ συκοφαντίαις χαίρων· καὶ τῶν τε ζώντων καὶ τεθνεώτων τὰς περιουσίας τῷ τρόπῳ τούτῳ ἀπηνῶς κατεσθίων καὶ λῃζόμενος. πρόσχημα περιβεβλημένος τὴν βασιλέως οἰκίαν, ἧς ἐπὶ Ἰουστινιανοῦ προειστήκει, μάλα ἐκείνῳ χρειώδης γεγενημένος. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

791 CAPUT XXXV.

De edicto litteris de fide publicato, quod Justinus ad omnes ubique misit ecclesias, ne quid in professione fidei novaretur.

Justinus autem edictum derepente compositum ad Christianos ditionis suæ omnes misit, ut nihil in ecclesiis novarent, sed antiquis Patrum decretis insistentes, recte divinum Numen colerent atque adorarent. Scriptum de fide hisce fuit verbis conceptum : « In nomine Domini nostri Jesu Christi Dei nostri, imperator Cæsar Flavius Justinus, fidelis in Christo, clemens, maximus, beneficus, Alanicus, Gothicus, Germanicus, Anticus, Francicus, Herculicus, Gepidicus, pius, felix, gloriosus, victor, triumphator, semper colendus Augustus. *Pacem meam do vobis*, inquit Dominus Christus, verus Deus noster : *pacem meam relinquo vobis*, idem promulgat hominibus omnibus. Id vero aliud non est, quam ut in eum credentes, in unam et eamdem Ecclesiam conveniant, consentientes quidem animis in recta Christianorum sententia, aversantes autem eos qui contraria dicunt aut opinantur. Primaria namque salus hominibus omnibus constituta est ipsa rectæ fidei confessio. Quam-

C

ΚΕΦΑΛ. ΛΕ'.

Περὶ τοῦ προγράμματος τῆς πίστεως, ὃ Ἰουστῖνος ταῖς ἁπανταχοῦ ἔπεμπεν ἐκκλησίαις, ὥστε μηδέν τι περὶ τὴν πίστιν νεωτερίζεσθαι.

Ὁ δὲ Ἰουστῖνος γράμμα σχεδιάσας τοῖς ἀνὰ τὸ ὑπήκοον πᾶσι Χριστιανοῖς διεπέμπετο, ὥστε μηδέν τι περὶ τὰς ἐκκλησίας νεωτερίζεσθαι· τοῖς ἐκ παλαιοῦ δὲ τῶν Πατέρων ὅροις ἐμμένοντας, θρησκεύειν ὀρθῶς τὸ Θεῖον γεραίροντας. Τὸ δὲ ὑπὲρ τῆς πίστεως πρόγραμμα τούτοις συγκείμενον τοῖς ῥήμασιν ἦν· « Ἐν ὀνόματι τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν, αὐτοκράτωρ Καῖσαρ, Φλάβιος Ἰουστῖνος, πιστὸς ἐν Χριστῷ, ἥμερος, μέγιστος, εὐεργέτης, Ἀλαμανικὸς, Γοτθικὸς, Γερμανικὸς, Ἀντικὸς, Φραγκικὸς, Ἐρκουλικὸς, Γηπεδικὸς, εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος, Αὔγουστος. *Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν*, φησὶν ὁ Δεσπότης Χριστὸς, ὁ ἀληθινὸς Θεὸς ἡμῶν· *εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν*, ὁ αὐτὸς κηρύττει πᾶσιν ἀνθρώποις. Οὐκ ἄλλο δὲ τοῦτό ἐστιν, ἢ τοὺς πιστεύοντας εἰς αὐτὸν εἰς μίαν καὶ τὴν αὐτὴν Ἐκκλησίαν συντρέχειν, ὁμοφρονοῦντας μὲν περὶ τὴν ὀρθὴν τῶν Χριστιανῶν δόξαν, ἀποστρεφομένους δὲ τοὺς τἀναντία λέγοντας

(1) Sub Justino Narses eunuchus, apud eum Sophia Augusta criminante delatus, et ad pensa ancillarum vocatus est. Quam ille indignitatem non ferens, Langobardos in Italiam allexit. Qui deinde Romæ mortuus est. Langobardi Pannonia Hunnis *Attilæ reliquiis*, a quibus Hungaria denominata est, relicta, in Italiam venerunt, rege Alboino ducente : et Veronam, Vicentiam, Mediolanum, etc., per deditionem receperunt. (Blond). Et ab Alboino rege usque ad Desiderium per ducentos et quatuor annos tenuerunt. (Egnat.)

ἢ δοξάζοντας· πρώτη γὰρ σωτηρία καθέστηκε πί- A
στιν ἀνθρώποις ἡ τῆς ὀρθῆς πίστεως ὁμολογία. Διὸ
καὶ ἡμεῖς τοῖς εὐαγγελικοῖς κατακολουθοῦντες πα-
ραγγέλμασι, καὶ τῷ ἁγίῳ συμβόλῳ ἤτοι μαθήματι
τῶν ἁγίων Πατέρων, πρὸς μίαν καὶ τὴν αὐτὴν Ἐκ-
κλησίαν τε καὶ γνώμην προτρεπόμεθα πάντας συν-
ελθεῖν, πιστεύοντες εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον
Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν Θεότητα ἤτοι φύ-
σιν καὶ οὐσίαν λόγῳ καὶ πράγματι, καὶ μίαν δύνα-
μιν καὶ ἐξουσίαν καὶ ἐνέργειαν ἐν τρισὶν ὑποστά-
σεσιν, ἤγουν προσώποις δοξάζοντες· εἰς ἃ βεβαπτί-
σμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ οἷς συντετάγμεθα·
μονάδα γὰρ ἐν Τριάδι, καὶ Τριάδα ἐν μονάδι πρυσ-
κυνοῦμεν, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν
καὶ τὴν ἕνωσιν. Μονάδα μὲν κατὰ τὴν οὐσίαν ἤγουν
Θεότητα. Τριάδα δὲ κατὰ τὰς ἰδιότητας, ἤγουν ὑπο- B
στάσεις ἤτοι πρόσωπα. Διαιρεῖται γὰρ ἀδιαιρέτως,
ἵν' οὕτως εἴπωμεν, καὶ συνάπτεται διῃρημένως.
Ἐν γὰρ ἐν τρισὶν ἡ Θεότης, καὶ τὰ τρία ἓν τὰ ἐν
οἷς ἡ Θεότης, ἢ τό γε ἀνριβέστερον εἰπεῖν, ἃ ἡ
Θεότης· Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ
Πνεῦμα τὸ ἅγιον· ὅταν ἕκαστον πρόσωπον καθ' ἑαυ-
τὸ θεωρῆται, τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα·
Θεὸν τὰ τρία μετ' ἀλλήλων νοούμενα τῷ ταυτῷ
τῆς κινήσεως καὶ τῆς φύσεως. Ἐπειδὴ χρὴ καὶ
τὸν ἕνα Θεὸν ὁμολογεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις,
ἤγουν ἰδιότητας, κηρύττειν. Ὁμολογοῦμεν δὲ αὐ-
τὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, τὸν Θεὸν Λόγον, τὸν
πρὸ αἰώνων καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς γεννηθέντα,
οὐ ποιηθέντα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν δι' ἡμᾶς C
καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν
οὐρανῶν, καὶ σαρκωθέντα, ἐκ Πνεύματος ἁγίου καὶ
τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου Θεοτόκου
καὶ ἀειπαρθένου Μαρίας, καὶ γεννηθέντα ἐξ αὐτῆς·
ὃς ἐστι τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι ἴσος· οὐδὲ
γὰρ τετάρτου προσώπου προσθήκην ἐδέξατο ἡ ἁγία
Τριάς, καὶ σαρκωθέντος τοῦ ἑνὸς τῆς ἁγίας Τριά-
δος Θεοῦ Λόγου· ἀλλ' ἔστιν εἷς καὶ ὁ αὐτὸς ὁ Κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς ὁμοούσιος τῷ Πατρὶ καὶ
Θ ῷ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν ὁ αὐτὸς
κατὰ τὴν ἀνθρωπότητα· παθητὸς σαρκὶ, καὶ ἀπα-
θὴς ὁ αὐτὸς ἐν θεότητι. Οὐ γὰρ ἄλλον τὸν Θεὸν
Λόγον τὸν θαυματουργήσαντα, καὶ ἄλλον τὸν παθόντα
ἐπιστάμεθα· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦμεν D
Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Λόγον
σαρκωθέντα καὶ τελείως ἐνανθρωπήσαντα· καὶ ἑνὸς
καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ πάθη ἅπερ
ἑκουσίως ὑπέμεινε σαρκὶ διὰ τὴν ἡμετέραν σωτη-
ρίαν. Οὐ γὰρ ἄνθρωπός τις ἑαυτὸν ὑπὲρ ἡμῶν δέδω-
κεν, ἀλλ' αὐτὸς ὁ Θεὸς Λόγος, ἀτρέπτως γενόμενος
ἄνθρωπος τό τε ἑκούσιον πάθος καὶ τὸν θάνατον
ὑπὲρ ἡμῶν σαρκὶ κατεδέξατο. Καὶ Θεὸν τοίνυν αὐ-
τὸν ὁμολογοῦντες, οὐκ ἀθετοῦμεν τοῦ εἶναι αὐτὸν
καὶ ἄνθρωπον· καὶ ἄνθρωπον αὐτὸν ὁμολογοῦντες,
οὐκ ἀρνούμεθα τοῦ εἶναι αὐτὸν καὶ Θεόν. Ὃ δὲ
ἕνα καὶ τὸν αὐτὸν ἐξ ἑκατέρα, φύσεω, θεότητος

propter et nos evangelica præcepta, et sanctorum A
Patrum sacrum Symbolum sive doctrinam consec-
tantes, ut ad unam eamdemque Ecclesiam et sen-
tentiam simul accedant, omnes cohortamur, cre-
dentes in Patrem et Filium et Spiritum sanctum,
Trinitatem ὁμοούσιον, consubstantialem, Deitatem
sive naturam et essentiam verbo et reipsa unam.
Unam etiam virtutem et potestatem et ἐνέργειαν,
hoc est, efficaciam in tribus subsistentiis seu per-
sonis profitentes, in quas baptizati sumus, in quas
credimus, et quibus professione addicti sumus.
Unitatem siquidem in Trinitate, et Trinitatem in
unitate adoramus, distinctionem simul et unionem,
præter opinionem omnem, habentem. Unitatem
quidem secundum essentiam sive Deitatem : Tri-
nitatem vero secundum proprietates sive subsi- B
stentias seu personas. Distinguitur namque indi-
stincte, ut ita dicamus et conjungitur distincte,
siquidem unum est in tribus ipsa Deitas : et tria,
in quibus Deitas est, seu, quod certius dicitur, quæ
Deitas sunt, unum Deum Patrem, Deum Filium,
Deum Spiritum sanctum, **792** cum persona quæ-
que per seipsam spectatur, mentis ipsius sensu,
quæ insegregabilia sunt, segregante : Deum unum
tria hæc simul mentis acumine intellecta, propter
eumdem motum et naturam eamdem. Quandoqui-
dem peropus est, et unum Deum profiteri, et tres
subsistentias sive proprietates prædicare. Confite-
mur vero ipsum unigenitum Filium Dei, Deum
Verbum (1), ante sæcula quidem et absque tem- C
pore ex Patre genitum, non factum. In extremis
autem diebus, propter nos, et propter nostram
salutem, descendisse de cœlis : et incarnatum ex
Spiritu sancto, et Domina nostra sancta gloriosa
Dei Genitrice et semper Virgine Maria, et ex ipsa
natum esse. Qui est Patri et Spiritui sancto æqua-
lis. Non enim quartæ, per incarnationem unius,
ex sancta Trinitate Dei Verbi, personæ accessio-
nem suscepit Trinitas sancta, sed est unus et
idem Dominus noster Jesus Christus, consubstan-
tialis Patri et Deo juxta divinitatem, et idem con-
substantialis nobis secundum humanitatem : pas-
sioni obnoxius carne, et passionis idem expers
divinitate. Namque non alium Deum Verbum,
quod miracula edidit, et aliud quod passum est, D
novimus : verum unum et eumdem confitemur
Dominum nostrum Jesum Christum Dei Verbum
incarnatum, et perfecte hominem factum : nec
non unius et ejusdem miracula simul et passio-
nes, quas voluntarie carne sustinuit, propter no-
stram salutem. Non enim homo aliquis seipsum
pro nobis tradidit : sed ipse Deus Verbum immu-
tabili modo homo factus est, spontaneam simul
passionem et mortem pro nobis carne subiit. Atque
dum Deum ipsum esse confitemur, non inficiamur
eum etiam hominem esse. Et hominem ipsum

(1) In Verbo intelligo verum Dei Filium. In car-
ne agnosco verum hominis Filium, et utrumque
simul in una persona Dei et hominis ineffabili
gratiæ largitate conjunctum. (Aug. *De Trin.* lib.
XIII, cap. 19.)

confitentes, Deum ipsum quoque esse non negamus. Proinde unum et eumdem ex utraque divinitatis scilicet et humanitatis natura compositum, profitentes Dominum nostrum Jesum Christum, unione confusionem non inducimus. Non enim quod secundum nos homo factus est, propterea Deus esse desinet. Neque sane quod Deus natura est, et in eum similitudo nostræ naturæ non cadit, propterea homo esse negabitur. Verum quemadmodum in humanitate Deus, ita nihilominus in sublimitate Deitatis homo permanet : utrumque vero in eodem est, et unus Deus simul, et homo, ipse Emmanuel (2). **793** Porro eumdem confitentes in divinitate perfectum atque etiam in humanitate perfectum, ex quibus etiam compositus est, divisionem aut sectionem in partes, una ejus composita subsistentia, non inducimus. Differentiam vero naturarum, quam unio non tollit, indicamus. Nam neque natura divina in humanam est versa, neque humana natura in divinam mutata. Intelligentiæ autem acie utramque considerante, et potius utraque in propriæ naturæ fine et ratione exsistente, factam quidem unionem dicimus, secundum subsistentiam : ipsa vero secundum subsistentiam unio ostendit Deum Verbum, hoc est, ex tribus Deitatis subsistentiis subsistentiam unam, non præexsistenti homini unitam esse, sed eam in utero Dominæ nostræ sanctæ et gloriosæ Dei Genitricis semperque Virginis Mariæ, sibi ipsi ex ea condidisse in propria subsistentia carnem nobis ὁμοούσιον, consubstantialem, et eisdem perpessionibus per omnia obnoxiam, absque peccato, anima rationali et intellectuali animatam. In ipsa namque subsistentiam habuit, et homo factus est. Et est unus atque idem Dominus noster Jesus Christus, qui cum Patre et Spiritu sancto conglorificatur. Cæterum ineffabilem ejus unionem considerantes, recte naturam unam Dei Verbi incarnatam carne, quæ anima rationali et intellectuali est animata, profitemur. Rursum differentiam naturarum contemplantes, eas duas (3) esse dicimus, divisionem nullam introducentes. Utraque enim natura in eo est. Unde unum et eumdem profitemur Christum : unum Filium, unam personam, unam subsistentiam, Deum simul et hominem. Omnes vero qui aliter vel senserunt, vel sentiunt, anathemati subjicimus, alienos eos esse a sancta Dei catholica et apostolica Ecclesia judicantes. Itaque cum recta et a sanctis Patribus nobis prodita dogmata sic prædicentur, universos vos ut in unam et eamdem catholicam et apostolicam Ecclesiam conveniatis,

καὶ ἀνθρωπότητος, σύνθετον ὁμολογοῦντες, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, σύγχυσιν τῇ ἑνώσει οὐκ ἐπεισάγομεν. Οὐ γὰρ ὅτι γέγονε καθ' ἡμᾶς ἄνθρωπος, τὸ εἶναι Θεὸς ἀπολέσει· οὔτε μὴν ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀπαράδεκτον ἔχει, καὶ τὸ ἄνθρωπος εἶναι παραιτήσεται. Μεμένηκε δὲ ὥσπερ ἐν ἀνθρωπότητι Θεὸς, οὕτω καὶ ἐν ὑπεροχῇ θεότητος ἄνθρωπος ὤν, οὐδὲν ἧττον· ἅμφω δὲ ὢν ἐν ταυτῷ, καὶ εἷς Θεὸς ὁμοῦ τε καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ. Τὸν αὐτὸν δὲ ὁμολογοῦντες ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τέλειον, ἐξ ὧν καὶ συνετέθη, διαίρεσιν μὲν τὴν ἀναμέρος ἢ τομὴν οὐκ ἐπιφέρομεν τῇ μιᾷ αὐτοῦ συνθέτῳ ὑποστάσει· τὴν δὲ διαφορὰν τῶν φύσεων σημαίνομεν, οὐκ ἀναιρουμένην διὰ τὴν ἕνωσιν. Οὔτε γὰρ ἡ θεία φύσις εἰς τὴν ἀνθρωπείαν μετεβλήθη, οὔτε ἡ ἀνθρωπεία φύσις εἰς τὴν θείαν ἐτράπη. Νοουμένης δὲ καὶ ὑπαρχούσης μᾶλλον ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ τε καὶ λόγῳ, πεπρᾶχθαι μὲν τὴν ἕνωσιν καθ' ὑπόστασιν. Ἡ δὲ καθ' ὑπόστασιν ἕνωσις δηλοῖ ὅτι ὁ Θεὸς Λόγος, τουτέστιν ἡ μία ὑπόστασις τῶν τριῶν τῆς Θεότητος ὑποστάσεων, οὐ προϋποστάντι ἀνθρώπῳ ἡνώθη, ἀλλ' ἐν τῇ γαστρὶ τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐδημιούργησεν ἑαυτῇ ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ὁμοούσιον ἡμῖν καὶ ὁμοιοπαθῆ κατὰ πάντα χωρὶς ἁμαρτίας, ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ· ἐν αὐτῇ γὰρ ἔσχε τὴν ὑπόστασιν καὶ γέγονεν ἄνθρωπος· καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Ἐννοοῦντες δὲ αὐτοῦ τὴν ἄφραστον ἕνωσιν, ὀρθῶς ὁμολογοῦμεν μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην σαρκὶ ἐψυχωμένῃ ψυχῇ λογικῇ τε καὶ νοερᾷ. Καὶ πάλιν ἐν θεωρίᾳ λαμβάνοντες τὴν τῶν φύσεων διαφορὰν, δύο ταύτας εἶναι λέγομεν, διαίρεσιν οὐδεμίαν εἰσάγοντες· ἑκατέρα γὰρ φύσις ἐστὶν ἐν αὐτῷ· ὅθεν ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦμεν Χριστὸν, ἕνα Υἱὸν, ἓν πρόσωπον, μίαν ὑπόστασιν, Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον. Πάντας δὲ τοὺς παρὰ ταῦτα φρονήσαντας ἢ φρονοῦντας ἀναθεματίζομεν, ἀλλοτρίους κρίνοντες τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. Τῶν ὀρθῶν τοίνυν δογμάτων τῶν παρὰ τῶν ἁγίων Πατέρων παραδεδομένων ἡμῖν κηρυττομένων, προτρέπομεν ὑμᾶς ἅπαντας εἰς μίαν καὶ τὴν αὐτὴν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν συντρέχειν. Μᾶλλον δὲ παρακαλοῦμεν· οὐ γὰρ ὀκνήσομεν κἂν ἐν ὑπεροχῇ βασιλείας ἐσμὲν, τοιούτοις χρήσασθαι ῥήμασιν, ὑπὸ τῆς τῶν Χριστιανῶν ἁπάντων ὁμοφροσύνης τε καὶ ἑνώσεως, ἐκ τοῦ μίαν ἁπάντων δοξολογίαν ἀναπέμπεσθαι τῷ

(2) Salus credentium mysterium Trinitatis est. (Hieron.) — Deum esse multis notum est. Sed quod Pater sit et Filium habeat, paucis (Aug.). — *Pater, manifestavi nomen tuum hominibus*, etc. (*Joan.* XVII.) — Et creditur a nobis sine confusione conjuncta sancta Trinitas, sine separatione distincta. (Aug.) — Εἷς Θεὸς ἐν τρισὶ, καὶ τὰ τρία ἕν· Unus *Deus* in tribus, et tria hæc unum. Unus Deus *Pater, ex quo omnia* ; *et* unus Dominus Jesus Christus, per quem omnia : et unus Spiritus sanctus, in quo omnia. Eo, *ex quo* et *per quem* et *in quo*, non naturas dissecantibus, verum unius et inconfusæ naturæ proprietates designantibus. Atque id ex eo clare patet, quod in unum rursus colliguntur. Ex ipso, et per ipsum, et in ipsum omnia : ipsi gloria in sæcula, Amen. (Greg. Nazianz.)

(3) Duæ naturæ Christi in unam coeuntes dominationem et deitatem. (Theologus.)

μεγάλῳ Θεῷ καὶ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ. Τοῦ δὲ λοιποῦ, μηδένα προφασιζόμενον περὶ πρόσωπα ἢ συλλαβὰς ζυγομαχεῖν· ὅτι πρὸς μίαν καὶ τὴν αὐτὴν ὀρθὴν πίστιν τε καὶ ἔννοιαν αἱ συλλαβαὶ φέρουσι τοῦ μέχρι νῦν κρατοῦντος εἴθους τε καὶ σχήματος ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, διὰ πάντων βεβαίου τε καὶ ἀκαινοτομήτου καὶ εἰς τὸν ἐξῆς ἅπαντα μένοντος χρόνον. » Τῷ μὲν οὖν ἰδίκτῳ τούτῳ πάντες οἱ ἐκτὸς συγκατετίθεντο ἱερεῖς, ὀρθῶς ἐκφωνηθῆναι λέγοντες· οἱ δ' ἀποδιῃρημένοι ἐπὶ τοῦ σχίσματος ἐμενον, ἤκιστθ' ἑνοῦσθαι θέλοντες, οὐ δι' ἄλλο τι, ἀλλ' ὅτιπερ ῥητῶς οὕτω πρὸς τῷ τέλει τοῦ γράμματος εἴρηκε, τὸ βέβαιον καὶ ἀκαινοτόμητον πεφυλάχθαι ταῖς ἐκκλησίαις καὶ κατὰ τὸν ἐξῆς ἐσόμενον χρόνον.

A hortamur, seu potius rogamus. Non enim grave nobis est, quamvis in fastigio imperii collocati simus, Christianorum omnium consensionis atque unionis gratia, ejusmodi verbis uti : ut una ab omnibus laus et glorificatio tribuatur Deo magno et Servatori nostro Jesu Christo. **794** De cætero autem, ne quis causam aut occasionem illam de personis aut syllabis (sive fidei formulis) per intestina dissidia contendendi captet, quoniam ad unam et eamdem rectam fidem et sententiam syllabæ (seu formulæ) producunt consuetudinis et status ejus, qui hucusque in sancta Dei catholica et apostolica Ecclesia obtinuit, et per omnia citra innovationem aliquam firmus stabilisque deinceps in tempus omne permanebit. » Edictum hoc omnes ubique episcopi et sacerdotes catholici comprobarunt, recte promulgatum esse dicentes. Qui vero se ab Ecclesia segregaverant, in schismate et dissidio persistentes, haudquaquam cum ea uniri voluerunt : non aliam quidem ob causam, quam quod ad finem scripti disertis verbis appositum esset, etiam temporibus futuris professionem fidei talem absque rebus novis stabilem conservatum iri.

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ τῶν προέδρων τῶν μεγάλων πόλεων, καὶ Γρηγορίου τοῦ Θεουπόλεως.

Ἰουστῖνος δὲ Ἰωάννου τοῦ ἐκ τοῦ Σιρίμιος τόν τε βίον ὁμοῦ δὲ καὶ τὸν θρόνον τῆς βασιλίδος θανάτῳ ἀπεβάλομένου, Εὐτύχιον ἐκ τῆς ὑπερορίας ἀγαγὼν, καθὼς Ἰουστινιανὸς ἐν διαθήκαις ἐνεκελεύετο, τῷ θρόνῳ αὖθις ἐγκαθιδρύει· ὃν ἐπὶ δύ' ἔτη διαγενόμενον Ἰωάννης ὁ Νηστευτὴς διεδέχετο. Ἀλλὰ καὶ Ἰωάννου τοῦ Κατελίνου τὸν τῆς πρεσβυτέρας Ῥώμης θρόνον λιπόντος, καὶ πρὸς τὴν ἐκεῖσε χωρήσαντος δίαιταν, Βόνοσσος τοὺς οἴακας τῆς ἐπισκοπῆς ἐγχειρίζεται· ὃν Ἰωάννης ἕτερος διεδέχετο, τὸν δ' αὖθις Πελάγιος· μετὰ δὲ Ἀπολλινάριον Ἰωάννης τὸν τῆς Ἀλεξάνδρου ἄνεισι θρόνον, ὃν Εὐλόγιος διεδέξατο. Ἀνὰ δὲ τὴν Ἱεροσολύμων τὴν ἱερωσύνην οἰακίζων ἦν αὖθις μετ' Εὐστόχιον ὁ Μακάριος· ἔπειτα Ἰωάννης τὴν ἱεραρχικὴν ἐκληροῦτο καθέδραν, τῇ τῶν Ἀκοιμήτων μονῇ τὸν λιτὸν καὶ ἄσκευον βίον ἄριστα μετελθών. Κατὰ δὲ τὴν Θεούπολιν τὸν μετὰ Δομνῖνον Ἀναστάσιον ἐλάσας ὁ Ἰουστῖνος, Γρηγόριον κατεστήσατο, μηδενὸς τηνικαῦτα περὶ τὴν Ἐκκλησίαν νεωτερισθέντος· αἰτίαν δὲ βασιλεῖ ἔσχεν ὁ Ἀναστάσιος, ὅτιπερ τὰ ἱερὰ χρήματα δαπανῴη μὴ κατὰ τὸ προσῆκον ἀρχιερεῖ, καὶ ὅτι εἰς βασιλέα προσέκοψε βλασφημήσας. Ἐρομένου γάρ τινος Ἀναστάσιον τί δή ποτε οὕτω χύδην τὰ ἱερὰ χρήματα διαῤῥίπτει, καὶ μὴ ὡς χρεὼν διασκορπίζει εἰς τὸ δῆθεν καταναλίσκων, διαῤῥήδην εἰπεῖν σκώψαντα, Ἵνα μὴ, φησὶ, παρὰ τῆς κοινῆς λύμης τοῦ Ἰουστίνου ἀφαιρεθεῖεν. Ἠφήμιστο δὲ μηνίσαι τὸν Ἰουστῖνον ἐκείνῳ, ὅτιπερ ζητοῦντι χρήματα οὐ προῄρητο δοῦναι. Καί τινα δ' ἕτερα ἐκείνῳ προσῆπτοντο τὸν βασιλικὸν σκοπὸν θεραπεύειν βουλομένων ἐνίων. Τούτου δ' ὑπεξελθόντος, Γρηγόριος, ὡς εἴρηται, τὸν θρόνον ἐλάμβανεν· οὗ κλέος εὐρὺ κατὰ ποίησιν· ἐκ γὰρ πρώτης τριχὸς, τοῖς μοναδικοῖς

CAPUT XXXVI.

De magnarum urbium episcopis, et Gregorio Theopolis antistite.

Justinus, postquam Joannes cui Sirimis patria fuit, vitam simul et thronum imperantis urbis morte abjecisset, Eutychium ab exsilio, sicuti Justinianus testamento jusserat, revocatum in ecclesiam suam restituit. Qui duobus exactis annis, Joannem Nηστευτήν, hoc est jejunatorem, successorem habuit. Ubi vero Joannes etiam Catelinus in veteri Roma sedem vacuam reliquit, et ad vitam illam migravit, Bonoso (1) episcopatus gubernacula mandata sunt : cui Joannes alius, atque huic rursus Pelagius successit. Post Apollinarem autem Joannes Alexandriæ in pastoralem conscendit thronum, et huic deinceps subrogatus est Eulogius. Hierosolymis episcopatum denuo post Eustochium gubernavit Macarius. Post eum hierarchicam cathedram sortitus est Joannes, **795** qui puram et inopem vitam in Insomnium monasterio optime egerat. Apud Theopolim autem Justinus Anastasio Domnini successore pulso, Gregorium substituit, nullis tum in Ecclesia novis rebus motis. Imperator vero crimen illud Anastasio objecit, quod sacram pecuniam in alios, quam episcopum decerret, conferret sumptus, et quod convicio et maledicto imperatorem ipsum petiisset. Cum namque interrogatus a quodam Anastasius esset, cur ita profuse pecuniam sacram dilapidaret, et non potius in usus decentes eam impendens, ita uti opus esset, dispergeret, diserte per cavillationem dixisse fertur, ne a communi pernicie Justino auferretur. Fama autem vulgatum est, propterea illi Justinum infensum fuisse, quod pecunias ei petenti ille dare noluerit. Affinguntur præterea viro ei alia quædam a nonnullis, qui imperatoris cœptum tegere aut excusare voluerunt. Postquam Anasta-

(1) Pro Bonoso legendum puto *Benedicto*.

sius episcopatu abiit, Gregorius, sicuti dictum est, sedem eam accepit : cujus lata est gloria, ut poetæ verbis utar. A primis enim capillis, in monasticis exercitatus studiis, strenue ad summos gradus, cum nuper admodum se in eo lanugo prima exhibuisset, contendit. Primum vero Byzantii monasterio præfuit, ubi etiam ab initio vitam rerum omnium expertem degere cœpit. Postea Justino jubente, pastorale munus in monte Sinæo suscepit : in quo a Scenitis barbaris obsessus, non minimis circumventus est periculis. Quibus etiam, ut pacificationem inirent, suasor auctorque fuit. Apud hos cum res magnas peregisset, in sacram deinde provectus est cathedram. Animo et consilio in rebus omnibus optimo fuit : et ad quodcunque negotium se converteret, id quam facillime conficiebat. Metu minime perturbabatur. Potestatibus autem, ut facile illis territus cederet, flectendum se haudquaquam præbuit. Liberalis quoque, et admodum munificus, magnifice pecunias largiebatur : usque adeo, ut quocunque, pro eo atque opus esset, progrederetur, quam plurimi homines eum stiparent atque sequerentur, eorum etiam quibus nihil cum eo intercederet consuetudinis, et qui nihil ad eum pertinerent. Alii insuper qui eum prodiisse audiissent, vel vidissent, ad eum confluebant, et honorem mundanis dignitatibus debitum, præ viri ejus observantia, secundo loco habebant, **796** avide sua sponte et videre et audire eum cupientes, etiam de rebus non magni momenti plenamque verba facientem. Erat siquidem ad arcanum desiderium eorum animis, qui illum quomodocunque conveniebant, inserendum quam maxime idoneus, aspectu admodum admirandus, in colloquiis valde jucundus, et si quis alius, et ipse ad id quod deceret cognoscendum acutissimus, et ad faciendum quam facillimus. Ad consilium aliis dandum, atque ad res domesticas et externas dijudicandas, promptissimus. Quapropter multas res optime gessit, negotia in crastinum differre non solitus. Terrori vero erat non tantum Romanis imperatoribus, cum publica tractaret negotia, quantum necessitas postularet et tempus flagitaret, verum etiam Persarum ducibus, sicuti suo loco a me dicetur. Varius etiam fuit. Aliquando namque multa utebatur vehementia : nonnunquam iratum se esse præ se ferebat. In primis autem, cum opus esset, maxime in eo eminebat lenitas et mansuetudo, adeo ut quam commodissime in eum dictum illud prudens Gregorii Theologi conveniret, severitas reverentia temperata sic fuit (2), ut altera ab altera non læderetur, sed utraque per alterum illustraretur.

CAPUT XXXVII.

Ut pacta conventa inter Persas et Romanos soluta sint.

Verum enimvero primo Gregorii episcopatus anno Persarmenii, qui prius magnæ Armeniæ incolæ nominati fuerant, et Romanis paruerant, a Philippo autem, qui post Gordianum apud Romanos imperium obtinuit, Sapori Persarum regi ita proditi fuerant, ut Armenia quidem quæ nunc dicitur,

(2) Evagr. lib. v, cap. 5.

ΚΕΦΑΛ. ΛΖ'.

Ὡς αἱ μεταξὺ Περσῶν καὶ Ῥωμαίων σπονδαὶ διελύοντο.

Ἔτος δὲ Γρηγορίου τούτου πρῶτον ἄγοντος τῇ ἱεραρχίᾳ, Περσαρμένιοι, οἳ πρότερον τῆς μεγάλης Ἀρμενίας οἰκήτορες ὠνομάζοντο, καὶ Ῥωμαίοις ἦσαν κατήκοοι, πρὸς Φιλίππου δὲ ὃς μετὰ Γορδιανὸν Ῥωμαίων ἦρξε, Σαπώρῃ τῷ Περσῶν κατεπροδόθησαν βασιλεῖ· καὶ ἡ μὲν Ῥωμαίοις ἐκρατήθη

μικρὰ Ἀρμενία ὀνομασθεῖσα· ἡ δὲ Πέρσαις κεχεί- A
ρωτο τὰ Χριστιανῶν ὡς ἔθος πρεσβεύουσα· οὗτοι
τοίνυν οἱ Περσαρμένιοι κακῶς πρὸς Περσῶν πά-
σχοντες, καὶ μᾶλλον παρανομεῖν περὶ τὴν οἰκείαν
ἐκβιαζόμενοι νόμισιν, κρύφα Ἰουστίνῳ διεπρεσβεύ-
οντο, αὖθις κατήκοοι Ῥωμαίοις γενέσθαι δεόμενοι,
ὡς ἂν ἐπ' ἀδείας εἴη δρᾶν πραγμάτων ἄνευ τὰ εἰς
Θεὸν ἐκ τῆς θρησκείας νομιζόμενα γέρα· προσκα-
μένου δ' Ἰουστίνου τὴν δέησιν ἐπί τισι συνθήκαις
πρὸς τοῦ βασιλέως ἐγγυηθεῖσι, καὶ ὅρκοις ταύτας
σφοδρῶς ἐμπεδώσαντος, οἱ μὲν Περσαρμένιοι τοὺς
σφῶν ἄρχοντας διαχειρισάμενοι, τὸ δὴ λεγόμενον,
πασσυδεὶ τῇ Ῥωμαίων προσχωροῦσιν ἐπικρατείᾳ·
καὶ τοὺς περικύκλῳ ὁμοεθνεῖς τε καὶ ἀλλοφύλους
ἑταιρισάμενοι, Οὐαρδαμάνου προὔχοντος τούτοις
καὶ ἄγοντος, ἀνδρὸς γένει καὶ ἀξιώματι καὶ τῇ περὶ B
τὰ πολέμια ἐμπειρικῇ στρατηγίᾳ ὑπερτεροῦντος.
Καὶ τοίνυν διὰ ταῦτα ἐπεγκαλῶν βασιλεῖ Χοσρόης,
ἀπόπεμπτος ἦν, πεπεράνθαι λέγων τὰ τῆς εἰρήνης·
ἄλλως τε καὶ μὴ οἷός τε εἶναι Χριστιανῶν ἀνθρώ-
πων ὑπεροράν, καιρῷ περανθείσης εἰρήνης τοῖς
ὁμοφύλοις προσιόντων. Καὶ ὁ μὲν βασιλεὺς ταῦτα
καὶ τοιαῦθ' ἕτερα παραπλήσια ἀπεκρίνατο· ὅμως
καίπερ τοιαῦτα λέγων, οὐ πρὸς μάχην παρεσκευά-
ζετο· τῇ συνήθει δὲ σχολάζων τρυφῇ περιεῖλκετο,
δεύτερα πάντα τῶν σφετέρων λογισμῶν τε καὶ ἡδο-
νῶν τιθέμενος. Ἄνδρα δέ τινα συγγενῆ αὐτῷ οἱ
καθεστῶτα, Μαρκιανὸν ὄνομα, στρατηγὸν τῶν ἑῴων
χειροτονήσας ταγμάτων ἐξέπεμπε, μήτε στρατὸν
ἀνήκοντα, μήτε παρασκευὴν ἀξιάλογον ἐγχειρίσας C
αὐτῷ· ὃς ἐς προφανῆ κίνδυνον, καὶ τὸ δὴ λεγόμε-
νον, ἐπὶ καταστροφῇ τῆς ἕω, πρῶτον ἐπὶ τὴν Μέσην
ἐγεγόνει τῶν Ποταμῶν, βραχεῖς κομιδῇ στρατιώτας
καὶ τούτους ὅπλων ἄνευ προσεπαγόμενος· πρὸς δὲ
σκαπανεῖς καὶ ῥαφεῖς τε καὶ βοηλάτας οὓς ὅθεν ὁπ-
ποτε ἠρανίσατο. Καὶ δὴ συμβαλὼν Πέρσαις περὶ τὴν
Νίσιβιν, τὸ πλέον δῆθεν ἐσχηκώς· μήπω παρεσκευα-
σμένων Περσῶν, τὴν πόλιν περιεκάθητο. Οἱ δὲ
Πέρσαι ἐν καταφρονήματι τῆς δῆθεν περιφανοῦς
στρατηγίας οὐδ' ἀποκλεῖσαι τὰς πύλας ἠνέσχοντο·
αἰσχρότητι δὲ μάλα καθύβριζον τὸ Ῥωμαίων στρα-
τήγημα. Τεράστια δὲ πλεῖστα τὰ ἐσόμενα δυσχερῆ
Ῥωμαίοις τηνικαῦτα τεθέατο προμηνύοντα· καὶ
βοῦς δ' ἀρτιγέννητος ὤφθη τῇ προσβολῇ τοῦ πολέ-
μου, ᾧ δύο κεφαλαὶ τοῦ τραχήλου ἠώρηνται. D

Romanis subdita maneret, major autem Christianorum sacra moribus colens Persis sit tradita: Persarmenii, inquam, isti, quod graviter a Persis affligerentur, legesque suas transgredi vi compellerentur, clam ad Justinum oratores miserunt, ut sub ditionem Romanorum reciperentur precantes, quo libere absque molestia sacros ritus, pro religionis consuetudine, Deo peragere possent. Justinus preces eorum comprobavit, pactis conventis quibusdam ab ipso interpositis, **797** quæ etiam jurejurando confirmavit. Itaque Persarmenii magistratibus suis interfectis, omnino, quod dicitur, universi sese Romanorum imperio commiserunt, in societatem suam finitimis ejusdem gentis populis, atque itidem alienis pertractis. Apud quos Ardaamanes principem locum habuit, vir genere et dignitate, nec non bellicis et imperatoriis artibus præstans. Hac vero de causa cum Chosroes imperatorem incusaret, tale ab eo responsum tulit: finem suum pacis pacta conventa habere: insuper autem fieri haudquaquam posse, ut Christianos, pacis finitæ tempore, ad populares suos confugientes ipse non reciperet. Hæc quidem ille, atque his similia alia respondit: et quamvis talia diceret, minime tamen se ad bellum instruxit, sed otio solito deditus, deliciis diffluxit, post rationes et voluptates suas omnia habens. Virum autem quemdam genere sibi propinquum, Marianum nomine, Orientalium copiarum ducem designatum, adversus Persas misit, neque exercitu justo, neque apparatu belli alio satis instructum. Hic cum manifesto periculo, et quod dicitur, cum ipsius Orientis eversione, in Mesopotamiam primum est profectus, paucos admodum milites eosque inermes secum ducens: ad quos accedebant fossores et sarctores, et boum actores undequaque coacti. Et cum Persis apud Nisibim levi certamine congressus, cum meliore loco res ejus essent, Persis nondum satis paratis, urbem eam obsidere quam hostes persequi maluit. Oppidani porro propter tam splendidi scilicet belli apparatus contemptum portas non clauserunt, sed fœdissima etiam in Romanum exercitum convicia jecerunt. Plurima vero prodigia, Romanorum futuras clades portendentia, tum visa sunt: et bos recens genitus in initio belli conspectus est, ex cujus cervice duo capita eminebant.

ΚΕΦΑΛ. ΛΗ'.

Ὅπως Χοσρόης, τὴν Ἔω ἐπιδραμών, χρυσίά τε εἵλε, καὶ πολλὴν λείαν περιεβάλλετο.

Ἐπεὶ δ' ὁ Χοσρόης καλῶς τὰ πρὸς τὸν πόλεμον ἐπηρτίσατο, τὸν Οὐαρδαμάνην μέχρι τινὸς διελάσας, καὶ τὸν Εὐφράτην ἀνὰ τὴν σφετέραν διαβιβάσας γῆν, διὰ τοῦ καλουμένου Κιρκησίου ἐς τὴν Ῥωμαίων ἧφιει γῆν. Ἔστι δὲ τὸ Κιρκήσιον τοῦτο πολίχνιόν τι λίαν ἐπικαιρότατον, πρὸς τῷ τέρματι τῆς Ῥωμαίων κειμένου γῆς· ὀχυρὸν δὲ τὰ μάλιστά ἐστι, τείχη στερρότατα περιβεβλημένον, καὶ ἐς πολύ τι ὕψος αἰρόμενα. Ἀλλὰ μὴν καὶ ὁ ποταμὸς Εὐφρά-

798 CAPUT XXXVIII.

Ut Chosroes, incursione in Orientale imperium facta, et castella ceperit, et prædam multam abduxerit.

Postea quam autem Chosroes se ad bellum probe instruxit, Ardaamanem aliquatenus productum, Euphratem in regno suo transmittere, et per Circesium (quod dicitur) in Romanorum ditionem excurrere jussit. Est autem Circesium oppidum commodissimum et munitissimum, ad fines Romanorum imperii situm. Muro namque firmissimo atque altissimo circumdatum est. Quin et Euphrates et Aboras fluvii id circumfluentes, et in insulæ formam

redigentes, inexpugnabile efficiunt. Ipse autem cum copiis suis, Tigri amne trajecto, magnis itineribus celeriter ad Nisibim venit : quæ, sicuti dictum est, a Marciano obsidebatur. Hæc ita a Persis agi Romani ignorabant : usque adeo, ut Justinus multorum sermonibus deceptus, qui Chosroem jam mortuum esse, aut non longe a morte abesse nuntiabant, Marciano valde succenseret, quod Nisibis expugnationem protraheret : ad quem etiam quosdam misit, qui illum ad claves portarum quam celerrime afferendas excitarent. Ut autem res minus ex sententia successit, et Justinus risu et probro se dignum exhibuit, qui apud talem et tantam urbem, quæ efficere nequiret, conaretur, ad quam scilicet tam exiguus exercitus assidebat : res ea primum Gregorio Theopolis antistiti ab episcopo Nisibeno renuntiata est. Erat enim is Gregorio, a quo pecuniam ingentem acceperat, amicus quam maxime. Et dabat præterea operam, ut urbs ea propter ærumnas, quas a Persis patiebatur, in potestatem Romanorum rediret. Itaque is Gregorio quæ in Perside gererentur, suo quæque tempore insinuando, significabat. Ea porro ad Justinum Gregorius scribebat, de subita etiam Chosroæ expeditione certiorem eum faciens. Atque ille more suo deliciis et luxuriæ deditus, fidem habere episcopi scriptis supersedit, ea quæ cupiebat geri etiam ratus. In hominibus namque molliter et dissolute viventibus, ad ignaviam et socordiam gloriosa audacia accedere solet. Neque illi eventis rerum fidem habent, si alium, quam ipsi volunt, exitum consequantur. **799** Justinus ergo Gregorio rescribens, ea quæ is renuntiasset, tanquam falsa omnino essent, rejiciebat. Atque ut etiam vera essent, Persas tamen urbis expugnationem non præventuros esse. Quin etiamsi prævenirent, eos tamen inde fœde atque turpiter repulsum iri dicebat. Et Acacium quemdam delectum, virum protervum, confusionem plane dicas, ad Marcianum misit, cum ejusmodi mandato, ut etiamsi Marcianus urbem cepisset, et pedem alterum in ea posuisset, dignitatem statim deponeret, eamque ipse Acacius sumeret. Quod sane is fecit, imperatoris jussa non ex illius commodo exsecutus. Postquam enim eo venit, Marcianum illico in hostili terra dignitate privavit, re ea militibus non renuntiata. Sedenim qui in exercitu ordines ducebant, ubi ducem magistratum deposuisse cognoverunt, ulterius perseverare in castris nequaquam voluere : sed paulatim hinc et inde palantes diffugere, ridicula illa obsidione soluta. At Vadaarmanes copias secum martem spirantes, non solum ex Persis, sed etiam barbaris qui Scenitæ dicuntur, delectas ducens, Circesio præterito, quam plurimum Romanorum rebus intulit detrimenti. Ferro namque et igne pleraque loca vastans, neque moderatum quidquam, propter defensorum solitudinem, vel cogitans vel faciens, non pauca castella cepit. Et quod ibi nemo cum imperio esset, tum autem quod

της καὶ Ἀδόρας περικύκλῳ ῥέοντες, καὶ ὥσπερ τοῦτο ἀπονησοῦντες, ἄμαχον ἀπεργάζονται. Αὐτὸς δὲ σὺν τοῖς ἀμφ' αὐτὸν τὸν Τίγρητα διαβὰς ποταμὸν, ὅσον τάχος ἐλαύνων ἐπὶ τὴν Νίσιβιν ἦκεν, ὑπὸ Μαρκιανῷ πολιορκουμένην, ὡς εἴρηται. Ἐλάνθανε ταῦτα Ῥωμαίους Πέρσαις πραττόμενα, ὡς καὶ Ἰουστῖνον, τῇ τῶν πολλῶν ἀπατώμενον φήμῃ ὡς ἤδη θάνοι Χοσρόης, ἢ ἐγγὺς εἶναι ἀποθανεῖν, ἀσχάλλειν σφόδρα κατὰ Μαρκιανοῦ, οἷς ἐβράδυνε μὴ ἐκπολιορκήσας τὴν Νίσιβιν· πέμψαι δέ τινας ἐκεῖνον διερεθίσοντας, ὥστε καὶ τὰς τῶν πυλῶν κλεῖς ὡς τάχιστα ἀγαγεῖν. Ὡς δὲ οὐ κατὰ σκοπὸν τὰ πράγματα προὔβαινε, πολλὴν δὲ καὶ αἰσχύνην ὤφλεν, ὥσπερ ἀμήχανα ζητῶν ἐπὶ τοιαύτῃ καὶ τοσαύτῃ πόλει, καὶ ταῦτα στρατῷ πάμπαν ἐξουθενημένῳ παρακαθημένῳ, ἀγγέλλεται τὰ πραττόμενα πρῶτα μὲν Γρηγορίῳ τῷ Θεουπόλεως παρὰ τοῦ ἐπισκόπου Νισιβηνῶν· ἦν γάρ οἱ φίλος μάλιστα, Γρηγορίῳ μεγάλοις χρήμασι δεξιωθείς· ἄλλως τε καὶ πάλιν ὑπὸ Ῥωμαίοις γενέσθαι σπεύδοντος τὴν οἰκείαν πόλιν· οἷς κακῶς πρὸς Περσῶν ἔπασχε, τὴν τῶν πραττομένων τῇ ὑπερορίᾳ δήλωσιν τῷ Γρηγορίῳ παρεῖχετο, ἐγκαίρως παριστὰς ἕκαστα· ἃ δὴ πάντα Ἰουστίνῳ ἐδήλου, μηνύων καὶ τὴν ἐξάπινα Χοσρόου ἔφοδον. Ὁ δὲ τῇ ἐξ ἔθους τρυφῇ καὶ ἡδυπαθείᾳ σχολάζων, ἥκιστα πιστεύειν ᾔρειτο τοῖς γεγραμμένοις τῷ ἱερεῖ, ἐκεῖνο οἰόμενος, ὅπερ ἠβούλετο. Τοῖς γὰρ σφόδρα ἐκδεδιητημένοις τῶν ἀνθρώπων πρὸς τῷ ἀγεννεῖ καὶ τὸ θράσος φιλεῖ ἕπεσθαι· καὶ τὰς τῶν πραγμάτων ἐκβάσεις πάμπαν διαπιστεῖν, εἴ γε τύχοιεν κατέναντι τῶν θελήσεων φέρεσθαι. Καὶ ἀντιγράφων Γρηγορίῳ ὡς οὐκ ἀληθῆ παντάπασιν εἶεν τὰ εἰρημένα, ἀπεωθεῖτο· εἰ δέ γε καὶ ἀληθῆ, ἀλλ' οὐ φθαῖεν Πέρσαι τὴν πολιορκίαν· εἰ δέ γε καὶ φθαῖεν, ἀλλὰ κακῶς καὶ αἰσχρῶς ἐκεῖθεν ἀπαλλαγεῖεν. Καὶ δή τινα ἐκλεξάμενος Ἀκάκιον ὄνομα, ἄνδρα ὑβριστὴν καὶ ἄντικρυς σύγχυσιν, καὶ παρὰ Μαρκιανὸν πέμψας, ἐνεκελεύετο ὡς καὶ εἴπερ καὶ τὸ ἄστυ εἷλε, καὶ θάτερον τοῖν ποδοῖν ἐκείνῳ ἐνέβαλλεν, αὐτίκα τε τῆς ἀρχῆς αὐτὸν παραλῦσαι, καὶ ταύτην αὐτῷ περιθεῖναι. Ὃ δὴ καὶ πέπραχεν, οὐκ ἐπὶ τὸ συνοῖσον τὰ τῷ βασιλεῖ κεκελευσμένα τελέσας. Ἐπεὶ γὰρ ἦκε, Μαρκιανὸν εὐθὺς ὑπερόριον ἐποιεῖτο, μή τι τῷ στρατῷ διαγγείλας. Οἱ δὲ τοῦ στρατοῦ τὰ πρῶτα φερόμενοι, ἐπεὶ μάθοιεν τὸν στρατηγὸν τῆς ἀρχῆς πεπαυμένον, πρόσω μὲν ἰέναι οὐδαμῶς ἤθελον· κατολίγον δὲ σποράδες φεύγοντες ἀνεχώρουν, τὴν καταγέλαστον πολιορκίαν λύσαντες. Οὐαδαρμάνης δὲ ἄρην πνέοντα στρατὸν ἐπαγόμενος, οὐ Περσῶν μόνον, ἀλλὰ καὶ βαρβάρων οἳ Σκηνῆται καλοῦνται, τὸ Κιρκήσιον παραμείψας ὡς πλεῖστον, τοῖς Ῥωμαίων διελυμήνατο πράγμασι. Καὶ τὸ μὲν καίειν, τὸ δὲ καὶ κτείνειν, καὶ μηδὲν μέτριον διανοούμενος ἢ πράττων κατὰ πολλὴν ἦρε τοῦ κωλύσοντος ἐρημίαν, οὐκ ἐλάχιστα φρούρια εἷλε· καὶ τὸ μὲν ὅτι οὐδεὶς ἦρχεν· ἔπειτα καὶ τῶν ἀφειλόντων μάχεσθαι κατὰ τὸ Δάρας φρούριον ἀποκεκλεισμένων, ἐπ' ἀδείας ποιεῖν ὅ βούλεται προὔκειτο. Ἐκεῖθεν δ' ἀπάρας, τῇ Θεουπόλει προσέβαλε, πέμψας

πλείστου τῶν ἀμφ' αὐτὸν, οὐ παραγενόμενος· οἱ καὶ παρ' ἐλπίδα πᾶσαν ἀπώσθησαν, οὐδενὸς ἔνδον ἐναπολειφθέντος, πλὴν ὀλίγων τινῶν κομιδῇ καὶ εὐαρίθμων. Ἀπέδρα δὲ καὶ ὁ ἱερεὺς, τὰ προσόντα ἱερὰ ὑπεξαγαγών, ὅτιπερ καὶ τὸ πλεῖστον τοῦ τείχους διερρωγὸς ἦν. Ὑπανίστατο δὲ καὶ ὁ δῆμος νεωτερίζειν ἐπιχειρῶν, ὥσπερ εἰώθει τοῖς τοιούτοις καιροῖς γίγνεσθαι. Πρὸς τοῖς ἄλλοις δὲ καὶ αὐτοὶ φυγὴν μελετήσαντες, ἐρήμην τὴν πόλιν καταλελοίπασιν, οὐδενὸς ὅλως ἀντιστῆναι ἢ ἐπιτεχνήσασθαί τι ἐπιχειρήσαντος. Ὡς δ' οὖν Οὐαδαρμάνης ἀπεκρούσθη πεῖραν προσαγαγών, πῦρ ἐμβαλὼν τῇ πάλαι μὲν Ἡρακλείᾳ, ὕστερον δὲ ὄνομα σχούσῃ Γαγαλικῇ, Σελευκείᾳ προσέρχεται, ἣν Νικάνωρ ὁ Σέλευκος συνεστήσατο, εὐδαίμονα μὲν τὰ πρῶτα καὶ πολυάνθρωπον οὖσαν, χρόνῳ δὲ διαρρυεῖσαν, καὶ ἐς ὀλίγον συσπειραθεῖσαν. Καὶ ἐπεὶ ἀντικαθίστασθαι οὐχ οἷά τε ἦν, συμβάσει τινὶ ταύτης ἔνδον ἐγένετο παρὰ τὰ συγκείμενα διαπεπραγμένος· καὶ πᾶσαν ἅρδην τὴν πόλιν ἐξανδραποδισάμενος ᾤχετο, καὶ τὰ πέριξ αὐτῆς ληϊσάμενος· ἐν οἷς καὶ τὸν ἱερέα τῆς πόλεως, καὶ τὸν ἐπὶ τῇ ἀρχῇ καθεστῶτα ζωγρίας ἑλὼν κατεῖχε. Πάνδεινα δὲ καὶ τῇ ἀποστροφῇ διειργάσατο, οὐδενὸς ἀντιπράττοντος, πλὴν ὀλίγων κομιδῇ στρατιωτῶν πρὸς τοῦ βασιλέως σταλέντων, οὓς Μάγνος ἦγε, πρότερον μὲν ἀργυρᾶς τραπέζης προεστηκὼς κατὰ τὴν τοῦ βασιλέως πόλιν, ἐς ὕστερον δὲ καὶ μιᾶς τῶν βασιλικῶν οἰκιῶν τὴν ἐπιτροπὴν εἰληφὼς· οἳ προτροπάδην ἔφευγον, μικροῦ δορυάλωτοι γεγονότες. Καὶ ταῦτα διαπραξάμενος Οὐαδαρμάνης, τὸν Χοσρόην κατειλήφει μήπω τὴν πόλιν ἑλόντα· ῥοπὴ δ' ἐκείνῳ μεγάλη ἐγένετο προσιών. Τό τε γὰρ οἰκεῖον ἅπαν ἀνεθάρρησε, τό τε ἀντίπαλον κατεπλάγη. Καὶ τὴν μὲν πόλιν ἀποτειχισθεῖσαν εὑρίσκει, καὶ χοῦν ἄγχιστα ταύτης ἠθροισμένον πολύν· αἱ δ' ἑλεπόλεις καθίσταντο, καὶ μάλιστα καταπέλται, ἃς μηχανὰς λιθοβόλους τῷ πλήθει καλεῖν σύνηθες· δι' ὧν καὶ ἡ πόλις ὥρᾳ χειμῶνος Χοσρόῃ ἑάλω, Ἰωάννου τοῦ παιδὸς Τιμοστράτου αὐτῆς ἄρχοντος, οὐδαμῶς ἐν φροντίδι τὴν πολιορκίαν ποιησαμένου, μᾶλλον δὲ καὶ καταπροδόντος. Καὶ τοῦτο γὰρ τηνικαῦτα διατεθρύλληται. Πέμπτον δὲ μῆνα καὶ μικρόν τι πρὸς προσεδρεύσας τῷ ἄστει, εἶλε μηδενὸς ἀμύνοντος. Καὶ τοίνυν πάντας ἐξαγαγών, πλῆθος ἀστάθμητον, καὶ τοὺς μὲν μαχαίρας ἔργον πεποιηκὼς, τοὺς δὲ ζωγρίας φυλάξας, τὴν μὲν πόλιν οἷα ἐπίκαιρόν γε οὖσαν, φρουρὰν ἐμβαλὼν κατέσχεν· αὐτὸς δὲ γαυριῶν τῷ τροπαίῳ, ἀνεχώρει ἐπ' οἴκου.

A Romani propugnatores in castello Daras a Chosroe clausi forent, faciendum sibi libere quod vellet statuit. Castris autem inde motis, Theopoli animum adjecit: et partem copiarum maximam, ipse non profectus, eo misit, quæ spe sua falsæ, e ab urbe ea sunt rejectæ, propterea quod nulli in ea, aut sane quam pauci cives mansissent. Profugerat vero etiam episcopus ipse, et sacra secum vasa et donaria extulerat. Nam et magna muri pars corruerat: et plebs novarum rerum studio, sicuti ejusceemodi temporibus accidere solet, tumultum moverat: et tandem desertam relinquens urbem, inde excesserat, nemine prorsus hostibus resistere aut obviam ire conante. Vadaarmanes postquam voto suo et Theopolis direptione excidit, B ignem olim quidem Heracleæ, **800** postea autem Gagalicæ dictæ urbi injecit, et ad Seleuciam (1), quam Nicanor Seleucus condidit, locupletem quidem illam primum et populosam, postea vero tempore collapsam, et ad paucitatem redactam, progressus est. Hæc cum resistere illi non posset, pacto quodam interveniente, in eam est receptus. Ubi sane præter conventa multa egit, et civitate direpta, vicinis quoque locis circumcirca dispoliatis, inde abiit. In præda reliqua et episcopum et magistratum urbis summum cepit. Nec pauciores in reditu ille clades Romanæ ditioni intulit, nemine videlicet prohibente, præter paucos admodum milites, qui ab imperatore missi fuerant. Horum ductor Magnus erat, qui antea argentariæ C mensæ in urbe imperante præfuerat, postea autem unius ex imperialibus ædibus curam susceperat. Ii cum terga vertentes fugerent, parum abfuit quin ab hostibus sint excepti. Hisce rebus confectis, Vadaarmanes Chosroem nondum urbem quam obsidebat cepisse reperit. Magnum autem adveniens illi attulit momentum, quod cum suis animum addidit, tum hostes plurimum exterruit. Invenit urbem muro nudatam, et aggerem ingentem prope illam factum. Helepoles exstructæ stabant, et catapultæ, quas vulgus machinas seu tormenta, saxa ex edito loco jacientia, vocare consuevit, quibus urbem hiemis tempore Chosroes in potestatem suam redegit. Cui Joannes Timostrati filius D præfuit. Hic ejus obsidionem non admodum curavit, seu urbem potius ipsam prodidit. Nam et hoc tum sermonibus ita jactatum est. Obsedit eam Chosroes mensibus quinque et aliquot insuper diebus, cepitque, nemine prope propugnante. Et civibus ex urbe multitudine varia ductis, partim eos ferro concidit, partim vivos in captivitate servavit. Urbem ipsam, utpote opportunam et commodam, præsidio imposito retinuit: ipse vero tropæo eo superbus, domum est reversus.

ΚΕΦΑΛ. ΛΘ'.

Ὡς ἀμέτρῳ λύπῃ σχεθεὶς Ἰουστῖνος, φρενίτιδι περιέπιπτε νόσῳ· ὑπὸ Τιβερίῳ δὲ τὰ πράγματα ἦγετο· καὶ ὡς τέχνῃ τὸν Χοσρόην μετελθών, εἰρήνην ἔπραττεν ὁ Τιβέριος.

Τοῦτο μαθὼν Ἰουστῖνος, καὶ μηδὲν ὑγιὲς ἢ φρενῆρες διανοησάμενος, οὐδὲ ἀνθρωπίνως τὸ συμβὰν

801 CAPUT XXXIX.

Ut Justinus, immenso dolore correptus, in morbum phrenitidem inciderit, et Tiberius rempublicam administraverit. Et ut arte quadam Chosroem aggressus Tiberius, pacem cum eo fecerit.

Ea re Justinus cognita, nihil prorsus recte aut prudenter mente agitans, neque casum talem

(1) Evagr. *Apameam* habet, et *Nicanoris Seleucum*.

humaniter ferens, in phrenitidis morbum et insaniam incidit, ita ut nihil quidquam earum rerum quæ fierent, intelligeret. Imperium autem a Tiberio administrari cœptum, qui honorem præcipuum Justino acceptum ferebat, ex Thracia oriundus. Hunc pridem Justinus cum plurimis militarium copiarum millibus adversus Abares miserat: et captus ille statim in prima congressione ab eis fuisset, militibus ejus nequaquam barbarorum conspectum sustinentibus, nisi eum divina providentia inde ereptum, Romanorum imperio manifesto conservasset. Quod sane imperium ad id discrimen pervenerat, metuendum ut esset, ne Justini præter rationem omnem susceptis actionibus, una cum republica corrueret, et in barbarorum potestatem perveniret. Cum igitur Justinus tam graviter morbo affectus esset, neque quidquam earum quæ agerentur rerum animadverteret, Tiberius consilium commodum, rebusque præsentibus opportunum admodum cepit, quo casum et errorem omnem correxit. Trajanum enim, virum præclarum ex senatu, canitie et prudentia multos antecellentem, ad Chosroem mittit: et legationem non imperii aut reipublicæ, sed solius Sophiæ Augustæ Justini conjugis nomine, ad Chosroem instituit. Cujus etiam litteræ ad eum regem scriptæ sunt, quibus illa ærumnam casumque mariti et rempublicam principe carentem deplorabat: nequaquam decorum esse addens, illum viduæ mulieri, et principi jacenti reipublicæque perturbatæ insultare. Nam et ipsum aliquando ægrotantem non solum in persimilem casum incidisse, verum etiam præclarissimos quosque medicos ex ditione Romana ad eum missos venisse, qui arte sua et cura debita ægritudinem illius dispulissent. Legatione tali audita Chosroes flexus est: et cum in animo habuisset, primo quoque tempore expeditionem in Romanorum terram suscipere, triennales tamen inducias Orientis partibus concessit: ita ut nihilominus Armeniam, quæ bellum adversus eum parasset, nemine res Orientales turbante, aggrederetur. Porro rebus Orientis in eum statum adductis, Sirmium a barbaris captum est, quod Gepides dudum tenuerant et Justino donaverant, sua sponte inde decedentes.

A ἀνατλάς, ἐς φρενίτιδα νόσον καὶ μανίαν ἐμπίπτει· καὶ τῶν γενομένων οὐδέν τι τὸ παράπαν συνίει· τὰ δὲ τῆς ἀρχῆς ὑπὸ Τιβερίῳ διῳκεῖτο· ὃς τὰ πρῶτα Ἰουστίνῳ φερόμενος, ἐκ Θράκης μὲν ὥρμητο· πολλαῖς δὲ στρατοῦ μυριάσι κατὰ τῶν Ἀβάρων πρώην ἐπέρρεπτο. Καὶ ἦλω ἂν ἐκείνοις εὐθὺς προσβαλών, τῶν περὶ αὐτὸν μηδαμῶς πρὸς τὴν θέαν ὑπενεγκόντων, εἰ μὴ Θεοῦ πρόνοια ἐκεῖθεν ἁρπάσασα, τῇ Ῥωμαίων ἡγεμονίᾳ τοῦτον σαφῶς διετήρησε, κινδυνευούσῃ τὰ ἔσχατα τοῖς Ἰουστίνου παραλόγοις ἔργοις διαῤῥυῆναι, σύναμα τῷ πολιτεύματι, καὶ τοῖς βαρβάροις τῆς τοσαύτης ἀρχῆς ἐκστῆναι. Κατοίνουν Τιβέριος οὕτως ἀθλίως Ἰουστίνῳ διακειμένῳ, καὶ μηδὲν τῶν πραττομένων ἐπαισθανομένῳ, βουλὴν πρόσφορον τοῖς πράγμασιν ἐπικαιροτάτην βουB λεύεται, ἢ τὸ πᾶν ἐπηνώρθωσε πταῖσμα. Τραϊανὸν γάρ τινα λόγιον ἄνδρα τῆς συγκλήτου βουλῆς ἐς τὰ μάλιστα ὄντα, πρὸς Χοσρόην ἐξέπεμπε, πολιᾷ καὶ συνέσει τῶν πολλῶν διαφέροντα. Ἀνῆγε δὲ τὴν πρεσβείαν οὐκ ἐκ τῆς βασιλείας ἢ καὶ τοῦ πολιτεύματος τῷ Χοσρόῃ, ὑπὲρ δὲ Σοφίας μόνης τῆς βασιλίδος, τῆς γαμετῆς Ἰουστίνου· ἧς καὶ γράμματα ἐπεφέρετο πρὸς Χοσρόην, τὰς συμφορὰς ὀλοφυρομένης καὶ τὸ τοῦ πολιτεύματος ἄναρχον· καὶ μὴ δέον ὂν χήρᾳ γυναικὶ βασιλεῖ τε κειμένῳ καὶ πολιτείᾳ συγκεχυμένῃ ἐπεμβαίνειν. Καὶ γὰρ καὶ αὐτὸν νοσήσαντα, ἐπίσης ἡμᾶς ἐκείνῳ πάλαι γενέσθαι· καὶ τοὺς ἐπισήμους τῶν ἰατρῶν καὶ τῆς πολιτείας παρ' ἐκεῖνον ἐλθεῖν, οἳ δὴ τέχνῃ καὶ τῇ προσηκούσῃ ἐπιμελείᾳ C τὴν ἐκείνου νόσον ἀπήλασαν. Ταῦτ' ἀκούσας Χοσρόης, πειθήνιος ἦν· καὶ δὴ πρὸς νοῦν ἔχων τοῖς Ῥωμαίων ἐπιθήσεσθαι πράγμασιν, ἀναβολὴν ἐς τριετίαν ἀπεχαρίζετο τοῖς ἑῴοις μέρεσι· δόξαν Ἀρμενίαν ἐπελθεῖν, ὡς ἂν αὐτοῦ πολεμῴη, μηδενὸς τὰ ἑῷα παρενοχλοῦντος. Τῶν δ' ἑῴων οὕτω Ῥωμαίοις ἐχόντων, τὸ Σέρμιον πρὸς τῶν βαρβάρων ἑάλω· ὃ Γήπεδες μὲν πρώην ἐκράτουν, Ἰουστίνῳ δ' ἀπεχαρίζοντο, ἐκόντες ἐκεῖθεν ἀναχωροῦντες.

802 CAPUT XL.

Ut Justinus Tiberium in imperio sibi substituerit: et quæ ad eum moriens de imperii administratione verba fecerit.

Interea Tiberius Sophiæ instinctu Cæsar a Justino, qui meliuscule morbo remittente habebat, declaratur. Cæterum coronam imperatoriam ei impositurus, ea verba diserte ad eum est prolocutus, quæ historiam omnem veterem et novam longe excellunt. Cum namque Justinus commode per dilucidum intervallum scilicet compos mentis esset, idque divina providentia, ut simul et peccata erataque ipse sua proferret, et in rempublicam ordinem meliorem inferret: cumque omnes, atque ipse etiam Joannes sacrorum antistes, cujus antea meminimus, cum sacerdotibus suis in hypæthro, sive subdiali imperialis aulæ palatio, congregati

ΚΕΦΑΛ. Μ'.

Ὡς Ἰουστῖνος Τιβέριον εἰς τὴν ἀρχὴν προσβάλλετο· καὶ ὅσα ἐνευθέτει αὐτῷ τελευτῶν.

D

Ἐν δὲ τούτῳ καὶ Τιβέριος Σοφίας ταῖς εἰσηγήσεσι Καῖσαρ πρὸς Ἰουστίνου ἀναγορεύεται, μικρὸν τῆς νόσου ῥαΐσαντος. Μέλλων δὲ αὐτῷ τὸν βασιλικὸν στέφανον περιτίθεσθαι, τοιάδε πρὸς αὐτὸν διαῤῥήδην ἀνεῖπεν, ἃ πᾶσαν ἱστορίαν παλαιάν τε καὶ νέαν ὑπερηκόντιζεν, ἐν εὐθέτῳ γενομένου τοῦ Ἰουστίνου Θεοῦ προνοίᾳ, ὥστε καὶ τὰς ἐκείνου ἐξειπεῖν ἁμαρτάδας, καὶ τῷ πολιτεύματι εἰσηγήσασθαι τὰ χρηστότερα. Πάντων γὰρ καὶ τοῦ τὴν ἱεραρχικὴν καθέδραν διέποντος Ἰωάννου, οὗ καὶ πρόσθεν μνείαν ἐποιησάμην, σὺν τοῖς ἀμφ' αὐτὸν ἐν τῇ ὑπαίθρῳ τῶν ἀνακτόρων συνελισθέντων, ἔνθα θέμις τὰ τοιαῦτα τελεῖσθαι, τὸν βασιλικὸν ἁράμενος στέφανον, καὶ

τὴν πορφυρᾶν χλαῖναν· καὶ μέλλων ταῦτα περιτιθέναι τῷ Τιβερίῳ, κόμητι ὄντι τῶν ἐξκουβίτων τὸ πρότερον, τοιάδε παῤῥησίᾳ ἐξεῖπε· « Μή σε, ὦ βέλτιστε, τῆς φαντασίας ἡ σκηνὴ καὶ ἡ ἀμπεχόνη πλανάτω· οἷς καὶ αὐτὸς οὐκ εἰς δέον παρασυρείς, ἔλαθον ἑαυτὸν ταῖς ἐσχάταις ποιναῖς ὑπεύθυνον καταστήσας. Σοὶ δὲ μελήσει καὶ τὰς ἐμὰς ἁμαρτάδας ἐπανορθοῦν. Ἐπανορθώσεις δὲ, καλῶς τε ἅμα καὶ εὐπειθῶς διεξίγων τὴν πολιτείαν. Μὴ παντάπασι δὲ τούτοις αἱροῦ πείθεσθαι (τοὺς ἄρχοντας ὑποδεικνύς)· καὶ γὰρ αὐτοί με οἷς ὁρᾷς δεινοῖς περιέβαλον. » Καὶ ἄλλα δὲ τοιαῦτα ἐπῆγεν, ἃ δὴ πρὸς κατάπληξιν καὶ δακρύων κρουνοὺς παρεκίνησεν. Ὕστερον δὲ πάντων ἐπήγαγε· « Τίμησον τὸν Θεὸν καὶ τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ τὴν πάλαι μὲν σὴν κυρίαν καὶ δέσποιναν, νῦν δέ σου μητέρα. Οἱ ἔχοντες οὐσίαν ἐχέτωσαν· οἷς μὴ πρόσεστι, δώρησαι. Ὅπερ δὲ σαυτῷ, οὕτω καὶ πᾶσι πρόσεχε. Γνῶθι δὲ τίς ἦσθα, καὶ τίς νῦν σήμερον εἶ. Εἰ δ' ἁμαρτάνειν οὐ βούλει, μὴ ὑπερηφάνως διάκεισο. Σὺ γὰρ ὁρᾷς τίς ἐγὼ πρὸ μικροῦ καὶ τί νῦν εἰμι σήμερον. Ἀγάπα πρὸ πάντων τοὺς πένητας· καὶ ἐλεημοσύναι μὴ ἐκλειπέτωσαν ἀπὸ σοῦ. » Γεγενημένης δ' εὐχῆς ὑπὸ τοῦ ἀρχιερέως, ὁ Τιβέριος ὑπὸ τοὺς πόδας τῷ βασιλεῖ ἔῤῥιπτο. Ὁ δὲ ὑπολαβὼν ἔφη· « Ἐὰν θέλῃς, εἰμί· ἐὰν θέλῃς, οὐκ εἰμι· ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντα ὅσα ἐπελαθόμην εἰπεῖν σοι, αὐτὸς εἰς τὴν σὴν καρδίαν ἐπεμβαλεῖ, στηρίζων καὶ στοιχειῶν σε τῷ ἁγνοτάτῳ φόβῳ αὐτοῦ, δι' οὗ σύμπαν σοι κατορθωθείη τῶν ἀγαθῶν. » Ἐπ' ἔτη δὲ τέσσαρα συνδιαγαγὼν Τιβερίῳ Ἰουστῖνος ὁ νέος ἐκλείπει τὸ ζῆν, ᾧ μὲν καθ' ἑαυτὸν τὴν ἀρχὴν διοικήσας σὺν μησὶ δέκα πρὸς τῷ ἡμίσει, καὶ ἕτερα τέσσαρα μετὰ Τιβερίου, μηνὸς δέοντος· ὡς εἶναι τὰ πάντα ἔτη ις' πρὸς μησὶν ἐννέα καὶ ἥμισυ. Οὗτος ὁ Ἰουστῖνος, ὅσα ὁ Ἰουστιανὸς ᾠκοδόμησε φιλοτίμως διατεθείς, προσθήκαις καὶ ἀναθήμασι κατεκάλλυνε, καὶ κειμηλίοις πολλοῖς· πεσόντα δὲ καὶ τὸν δρόφον τοῦ μεγάλου νεὼ, ἐπὶ ιε' πήχεις ἀνυψώσας, πρὸς τὸ εὐπρεπέστερον μετεσκεύασεν, ἐς οἷον ὁρᾶται τὴν σήμερον. Εὐσεβέστατος δὲ ὢν, λίαν τὸν βίον ἐκδεδιητημένος ἐτύγχανεν. Περιέχει δὲ καὶ ἡ παροῦσα ἑπταικαιδεκάτη μοι τῶν ἱστοριῶν χρόνον ἐτῶν τεττάρων πρὸς τοῖς ἑξήκοντα σὺν μησὶν ὀκτώ· ὑπηνίκα κόσμου μὲν ἔτος ς' ἐνενηκοστὸν ὄγδοον, ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως ψ' τρίτον καὶ ἐνενηκοστὸν ἐπεραίνετο.

essent, quo loco hæc agi celebrarique fas est, imperatoriam coronam sustollens, purpureamque vestem, ut ea Tiberio imponeret, qui comes antea excubitorum fuerat, ita propalam verba fecit: « Ne te, vir optime, umbra ista phantasiæ seu apparatus hujus et vestis hæc decipiat: quibus et ipse, præterquam deceret, transversim raptus, non sensi meipsum supremis pœnis obnoxium reddere. Tibi vero curæ erit, ut peccata quoque mea corrigas. Corriges autem, si recte et benigne rempublicam administrabis: nec omnino istis tibi parendum erit (principes demonstrans), nam et ipsi me in eas quas cernis ærumnas conjecerunt. » Alia insuper ejus generis adduxit, quæ ad consternationem et lacrymas prolixas auditores commoverunt. Postremo vero omnium intulit: « Honora Deum et Ecclesiam ejus, et olim quidem heram et dominam, nunc vero matrem tuam. Qui facultates et possessiones habent, habeant; quibus eæ desunt, eis tribue. Perinde atque in teipsum, ita in omnes animum intende. Nosce vero et quis antea fueris, et quis hodie factus sis. Si peccare non vis, ne arrogans et superbus fueris. Ipse namque vides, quis ego paulo ante fuerim, et quid nunc sim. Pauperes in primis dilige, et eleemosynæ apud te non deficiant. » Et cum precatio ab episcopo facta esset, Tiberius ad pedes imperatoris se abjecit. Atque ille subinferens, « Si, inquit, volueris, sum; si nolueris, non sum. Deus qui fecit cœlum et terram, omnia quæcunque tibi dicere oblitus sum, ipse in animum tuum subjiciet, confirmans, atque ab ipso **803** nunc initio instituens te sanctissimo timore suo; per quem omnia tibi recte atque feliciter evenient bona. » Justinus junior ubi in imperio cum Tiberio annos quatuor exegisset, vita excessit. Ipse solus annis duodecim et mensibus decem cum dimidio imperium gubernavit; cum Tiberio annis quatuor, mense uno minus, ita ut imperii ejus anni omnes sedecim sint, et menses novem cum dimidio. Justinus, quæcunque templa Justinianus magna usus liberalitate magnifice construxit, ea accessionibus, donariis et sacris vasis pluribus ipse exornavit. Et summam Magni templi testudinem collapsam, et quindecim cubitos sustulit, et decentissime, ita ut hodie cernitur, restituit. Et cum pietatis esset studiosissimus, in vita quotidiana tamen perquam dissolutus fuit.

Liber hic historiarum decimus septimus tempus complectitur sexaginta et quatuor annorum (1), cum ab orbe condito sexies millesimus nonagesimus octavus, a divina autem Domini nativitate quingentesimus nonagesimus tertius ageretur annus.

(1) Computatio annorum istorum cum aliis chronicis scriptoribus non concordat. Secundum quosdam enim obitus Justini in annum Domini 582, secundum alios in 578 incidit.

ΚΕΦΑΛ. Β'.

Ὡς Τιβέριος στρατὸν ἀξιόμαχον ἀθροίσας, διὰ Ἰουστίνου τὴ Περσῶν χώρᾳ προσβάλλει, καὶ πολλὰ τῶν φρουρίων ἐλευθεροῖ· καὶ ὡς ἐτελεύτα Χοσρόης.

Καὶ τοίνυν τοῖς οὐ καλῶς συλλεγεῖσι τῶν χρημάτων χρησάμενος ἐς ὄδον, πρὸς τὴν τῶν ὑπεναντίων μάχην περιφανῶς καθωπλίζετο· καὶ δὴ στρατὸν ἀθροίσας ἡρωϊκὸν ἔκ τε τῶν περὶ τὰς Ἄλπεις ἐθνῶν καὶ τῶν ἀμφὶ τὸν Ῥῆνον κατῳκημένων, ἔτι δὲ Μασσαγέτας Παίονάς τε καὶ Μυσοὺς σύναμα Ἰλλυριοῖς καὶ Ἰσαύροις, καὶ ἐκ τοῦ Σκυθῶν γένους ἀριστίνδην ἐπιλεξάμενος, ὡς ἑκατὸν χιλιάδας καὶ πεντήκοντα ἵλας ἱππέων ἀρίστων ἐκλέξασθαι, κατὰ Χοσρόου ἐξῆρε, ἐκείνου εὐθὺς μετὰ τὴν τοῦ Δάρας ἅλωσιν ἐπὶ τὴν Ἀρμενίαν ἰλθόντος, καὶ τὸ θέρος διαβιβάζοντος· κἀκεῖθεν ἐπὶ τὴν Καισαρος ὁρμᾶν σκοπὸν ἔχοντος, ἣ τοῦ τῶν Καππαδοκῶν ἔθνους προκοθημένη, τῶν περὶ αὐτὴν τὴν ἀρχὴν ἐκληρώσατο. Ἐς τοσοῦτον δὲ τὰ Ῥωμαίων ἦκε περιφρονεῖν, ὡς καὶ πρέσβεων ὡς αὐτὸν ἰκόντων, μηδὲ θέας ἀξιῶσαι· ἔπεσθαι δ' ἐπιτάξαι ἄχρι τῆς Καίσαρος· κἀκεῖσε γὰρ ὁκοῦσαί τε ὧν δέοιντο, καὶ τὰ περὶ τῆς πρεσβείας διασκεψάμενον, ἀπόκρισιν δοῦναι. Ἐπεὶ δ' ἐκεῖσε ἐγένετο, καὶ τὸ Ῥωμαίων στράτευμα προλαβὸν ἐθεάσατο (ἐστρατηγοῦντος Ἰουστινιανοῦ, ὃς ἀδελφὸς ἦν Ἰουστίνου τοῦ δειλαίου πρὸς Ἰουστίνου ἀνῃρημένου τοῦ αὐτοκράτορος· ἀκριβὴς δὲ καὶ οὗτος τὰ πολέμια ἦν, πρὸς μάχην τε τὸ στράτευμα παρετάσσετο· αἱ σάλπιγγές τε ἤχουν τὸ ἐνυάλιον, καὶ ὅσα δὴ σημεῖα μάχης ᾠώρητο), τόν τε στρατηγὸν καὶ θυμοῦ μετὰ τῆς ἐσάγαν εὐκοσμίας πνέοντα, καὶ ἄντικρυς φωνοῦντα, καὶ τοσαύτην ἵππον ἣν οὐδεὶς βασιλέων πώποτε ἐφαντάσθη, καταπλαγεὶς τοῖς πεπραγμένοις, πρὸς τὸ αἰφνίδιόν τε καὶ προσδοκίας πέρα, ἐκ βάθους στενάξας, βύθιον ἀνωλόλυξε, καὶ μάχης οὐκ ἤθελεν ἄρχειν. Τρίβοντι δὲ τὸν καιρὸν καὶ σοφιζομένῳ τὴν ἀναβολήν, ὁ τοῦ δεξιοῦ κέρως τὴν ἀρχὴν ἐπιτετραμμένος Κοῦρς ὁ Σκύθης εἰσβάλλει. Καὶ μὴ οἷόν τε Περσῶν τὴν ἄθρόαν αὐτοῦ προσβολὴν, τήν δὲ κατ' αὐτοὺς τάξιν ἀπολιπόντων, πολὺς ἐγένετο φόνος τῶν ἐναντίων. Ἔπειτα τοῖς οὐραγοῖς ἐμπίπτει, ὅπου δὴ καὶ ἡ ἀποσκευὴ τοῦ τε Χοσρόου, καὶ τοῦ λοιποῦ ἀμφ' αὐτὸν στρατεύματος ἦν. Καὶ δὴ λαμβάνει τὰ ἐκείνου χειμήλια σύμπαντα, καὶ τὴν λοιπὴν ἐκείνου ἀποσκευὴν, ὁρῶντος μὲν Χοσρόου, ἀνεκτοτέραν δὲ τὴν ἑαυτοῦ ἐπιστροφὴν τοῦ Κοῦρς ἡγουμένου. Ἀλλ' οὗτος ἐξάπινα μεγάλων χρημάτων κύριος γεγονὼς, καὶ τὰ σκευοφόρα τῶν ζώων σὺν τοῖς φορτίοις ἐπήγετο· ἐν οἷς καὶ τὸ παρ' ἐκείνοις σεβόμενον πῦρ, ὃ ἴσα Θεῷ λατρεύουσιν. Ἀδὼν δὲ παιᾶνα, τὸ Περσικὸν περιελαύνει στρατόπεδον, καταλαμβάνει δὲ τὴν σφετέραν παράταξιν περὶ λύχνων ἁφὰς, μήτε τῆς σφῶν τάξεως ὑπεκστάντων, μήτε Χοσρόου ἐπιόντος αὐτοῖς, μήτ' αὖ ἐκείνων μάχης ἠργμένων· ὀλίγων δέ τινων ἀκροβολισμῶν γεγενημένων, ἢ ἑνός που καὶ δύο ἐξ ἀμφοῖν τοῖν στρατοπέδοιν συμπλακέντων, ὥσπερ εἰωθὸς γίνεσθαι.

CAPUT II.

Ut Tiberius magno et forti exercitu coacto, et per Justinum in Persidem irruptione atque impetu facto, multa castella munitaque loca recuperaverit. Utque Chosroes sit mortuus.

Itaque pecunias non recte exactas in usum decentem convertens, ad bellum hostibus inferendum splendide se armavit : et exercitu heroico ex subalpinis populis, et Rhenum accolentibus gentibus, præterea ex Massagetis, Pæonibus, Mysis, una cum Illyricis et Isauris, atque etiam ex Scythis, optimis strenuissimisque quibusque visis delectis, ita ut centum millia et quinquaginta turmas fortissimorum equitum haberet (1), conscripto, expeditionem adversus Chosroen suscepit, cum ille statim, post Daras castellum captum, Armeniam ingressus esset, atque inde circa messis tempus ad Cæsaream contendere in animo haberet : quæ principem locum apud Cappadocum gentem sortita, primas inter urbes reliquas ferebat. Usque adeo vero jam res Romanorum contemnebat, ut etiam oratores qui ad eum venerant, in conspectum suum non admitteret, sed ad Cæsaream urbem eos se sequi juberet, ibidem postulata eorum auditurus, responsumque eis re deliberata daturus. Eo autem ubi pervenit, et exercitum Romanorum, qui eum prævenerat (quem Justinianus ducebat, frater Justini illius, a Justino imperatore miserandum in modum casi, rei bellicæ et ipse egregie peritus) conspexit, et jam tubæ classicum canebant, signaque militaria sublimia ferebantur, ac dux ipse una cum tam splendido apparatu animum magnum spirabat, atque ex adverso vociferabatur, equitatusque tantus aderat, quantum nemo unquam imperatorum in animo saltem est imaginatus : apparatu tanto et re tam subita atque inopinata consternatus, ex intimo pectore ductis suspiriis, altius indoluit atque ejulavit, neque pugnæ initium facere voluit. At ipso tempus prælii extrahente, atque arte et fraude dilationem texente, Curs Scytha, cujus curæ dextrum cornu commissum fuerat, impetum in eum facit. **810** Hujus vim confertam cum Persæ sufferre nequirent, ordinesque suos relinquerent, multi ex eis cæduntur. Deinde extremum hostium agmen Curs aggreditur, ubi instrumentum aulicum Chosroæ et exercitus ejus apparatus erat. Hic pretiosissimas quasque res ejus et instrumentum omne, ipso inspiciente et tolerante Chosroe, quod facilius is impressionem suam quam ipsius Curs sustineri posse existimaret, diripit. Et derepente ingentis pecuniæ dominus factus, jumenta quoque una cum impedimentis abduxit : in quibus etiam, qui ab eis perinde atque Deus colitur, ignis erat. Et Curs Paana canens, Persarum aciem circuit, et tandem circiter primum facem ad suos redit : qui adhuc ordines suos sicuti acies structa fuerat, servabant, quod neque Chosroes aggressus eos est

(1) Evagr. lib. v, cap. 14.

set, nec ipsi initium pugnæ fecissent. Paucis vero velitaribus prœliis, unis tantum aut binis ab utraque acie congressis, sicuti fieri assolet, commissis, Chosroes frequentes per noctem ignes accendit, nocturnum prœlium experturus. Et cum Romanorum exercitus in duas partes divisus esset, nocte intempesta, vigiles earum copiarum quæ Borealem plagam versus excubabant, invadit : eisque repentina impressione dissipatis, exercitu universo Melitinem, quæ in propinquo erat, contendit : quam ab incolis et custodibus vacuam Persæ incendunt, seque ad Euphratem trajiciendum instruunt. Porro cum eos Romanorum copiæ a tergo consequerentur, saluti suæ timens Chosroes, elephante conscenso, fluvium tranat, et multos ex militibus suis in amne eo, qui illis pro sepulcro fuit, amittit. Hos suffocatos cum secum accepisset mature decessit. Hujusmodi ille summam pœnam postquam pro injuriis Romano imperio illatis persolvit, ulterius in partes Orientales est progressus, ubi ejusmodi inducias, ut eum nemo aggrederetur, habuit. Justinianus autem cum exercitu omni Persidem est ingressus, ibique hieme transacta, qui ei resisteret, invenit neminem : atque exercitu non diminuto, circiter æstivum solstitium inde reversus, cum magna et præclara gloria, circa confinium, æstatis reliquum consampsit. **811** Exinde Chosroes rebus desperatis, doloreque ingenti confectus, et fortunæ vicissitudine exanimatus, cum dedecore vitam amisit : et perinde atque sempiternam columnam atque monumentum fugæ suæ, legem illam, ne quis postea Persarum rex adversus Romanos exercitum duceret, post se reliquit. Ab eo regnum ad Hormisdam filium pervenit, de quo postea dicemus.

A Χοσρόης δὲ πυρὰ κατὰ τὴν νύκτα ἐκείνην ἀνάψας, πολλὰ, νυκτομαχεῖν ἐπειρᾶτο. Εἰς δύο δὲ τοῦ Ῥωμαϊκοῦ διῃρημένου στρατεύματος, ἐν τῷ βαθεῖ τῆς νυκτὸς ἔπεισι τοῖς ἀμφὶ τὸ βόρειον μέρος νυκτοφυλακοῦσιν· ὧν διασκορπισθέντων τῇ ἀδοκήτῳ τῆς εἰσβολῆς, γειτονούσῃ τῇ Μελιτηνῇ ἀθρόον ἐμπίπτει· ἣν ἔρημος οἰκητόρων καὶ ἀφύλακτος καθεστῶσα, πίμπρατο Πέρσαις, οἳ καὶ πρὸς τὴν τοῦ Εὐφράτου διάβασιν παρεσκευάζοντο. Ὡς δὲ τὸ Ῥωμαίων ἀλισθὲν στράτευμα κατόπιν ἐφείπετο, δείσας Χοσρόης περὶ τῷ σώζεσθαι, αὐτὸς μὲν ἐπιβὰς ἐλέφαντι, τὸν ποταμὸν διεπερᾰώσατο. Πολὺ δέ τι τοῦ περὶ αὐτὸν στρατεύματος τάφρῳ τῷ ποταμῷ ἐχρήσατο· πολλοὺς δὲ καὶ τοῖς ὕδασιν ἐμπνιγέντας λαβὼν ὤχετο. Καὶ τοσαύτην ὑστάτην Χοσρόης ποινὴν ἀνθ' ὧν εἰς Ῥωμαίους ὑβρίσε καταθέμενος, ἐπὶ τὰ πρόσω ἐχώρει τῆς ἕω· ἔνθα τὴν ἐκεχειρίαν εἶχεν, ὡς ἂν μή τις αὐτῷ ἐπίοι. Ὁ δὲ Ἰουστινιανὸς σύναμα παντὶ τῷ στρατῷ εἰς τὴν Περσίδα εἰσβάλλει· καὶ τὸν καιρὸν τοῦ χειμῶνος ἐκεῖσε διάγων, εὐδαιμίαν ποθὲν ἀντίστασιν εὗρισκεν· καὶ μηδέν τι τοῦ στρατεύματος ἀποβαλὼν, ἀμφὶ θερινὰς τροπὰς ἐκεῖθεν ἐξῆει. Σὺν πολλῇ δ' εὐθείᾳ καὶ περιφανεῖ τῇ δόξῃ περὶ τὰ μεθόρια διατέλει θερίζων. Ἐντεῦθεν Χοσρόης τῷ πολλῷ τῆς καταχυθείσης λύπης ἐν ἀμηχάνῳ γενόμενος, καὶ τῇ παλιρροίᾳ τῶν πραγμάτων ἀποπνιγείς, μετ' αἰσχύνης ἀπολείπει τὸ ζῆν· ὥσπερ τινὰ στήλην ἀθάνατον τῆς αὐτοῦ φυγῆς τὸν νόμον ἐκεῖνον θέμενος, μήποτε τοῦ λοιποῦ βασιλέα Περσῶν κατὰ Ῥωμαίων στρατεύεσθαι. Μετὰ δ' ἐκεῖνον ἐς Ὡρμίσδαν τὸν παῖδα διέβαινεν ἡ ἀρχὴ, περὶ οὗ ἐν τοῖς καθεξῆς μοι λελέξεται.

CAPUT III.

De terræmotu, qui Antiochiæ et in vico qui Daphne dicitur, fuit.

Tertius jam imperii Tiberii agebatur annus : et Antiochiæ rursum maximus terræ motus circa meridiem coortus, publicas et privatas ædes ad ipsa usque fundamenta disrupta concussit, minime tamen in terram prostravit. Ipsa vero universa Daphne, quasi succisivum ejus opus facta, corruit. Evenere tum alia quoque non solum Theopoli, verum etiam in urbe ipsa imperante, memoratu digna, quæ civitates eas maximis motibus concitatis conturbarunt atque perterruerunt. Quæ cum initium a zelo et æmulatione divina sumpsissent, convenientem etiam finem sunt consecuta.

ΚΕΦΑΛ. Γ'.

Περὶ τοῦ ἐν Ἀντιοχείᾳ καὶ ἐν Δάφνῃ γεγονότος σεισμοῦ.

Ἤδη δὲ τρίτον ἄγοντος τῇ ἀρχῇ Τιβερίου, ἀνὰ τὴν Ἀντιόχου πάλιν σεισμὸς ἐξαίσιος γεγονὼς κατὰ τὸ τῆς ἡμέρας μεσημβρινὸν, τά τε δημόσια καὶ ἰδιωτικὰ τῶν οἰκημάτων μέχρι τῶν θεμελίων διαῤῥαγέντα, ἤκιστα μὲν εἰς γῆν ἔκλινε· σύμπαντα δὲ ἡ Δάφνη πάρεργον αὐτῷ ἐγεγόνει. Καὶ ἄλλα οὐ κατὰ τὴν Θεουπολιτῶν μόνον γέγονεν, ἀλλά γε δὴ καὶ κατ' αὐτήν τε τὴν βασιλεύουσαν, ἄξια λόγου καὶ διηγήσεως. Ἃ δὴ ταύτας ἀνετάραξέ τε καὶ ἐξεθάκχευτε μεγίστους θορύβους ἀνακινήσαντα, τὴν ἀρχὴν θεῖον ζῆλον ἐσχηκότα συμπράττοντα· διὸ προσῆκον καὶ τὸ πέρας ἐδέξαντο.

CAPUT IV.

De Anatolio mago, et ejus adversus Gregorium Theopolis episcopum fraudulentis insidiis.

Erat Theopoli Anatolius quidam (1), ex plebeiis ille quidem et ignavis unus, sed qui postea multis se et variis negotiis ingesserit, et Theopolitanorum res potissimum administrarit : qua ex causa in Gregorii, urbis ejus sacerdotis antistitis amicitiam

ΚΕΦΑΛ. Δ'.

Περὶ Ἀνατολίου τοῦ γόητος, καὶ τῆς κατὰ τοῦ Θεουπόλεως Γρηγορίου συσκευῆς.

Ἦν γάρ τις ἐν τῇ Θεουπολιτῶν Ἀνατόλιος, εἷς μὲν τῶν πολλῶν τὰ πρῶτα, καὶ ἐπιδιῤῥίων καθιστηκὼς, πολλοῖς δ' ἐς ὕστερον καὶ διαφόροις πράγμασιν ἑαυτὸν ἐπεισῤῥήσας, καὶ μάλιστα τῇ Θεουπολιτῶν αὐτὰ διῳκεῖτο· δι' ὧν καὶ φίλος Γρηγορίῳ τῷ τῆς

(1) Anatolius Antiochiæ diis sacrificavit. Evagr. c. 1.

Θεσσαλίας τῶν ἱερῶν ἡγουμένῳ ἐγένετο· πυκνός τε παρ' αὐτὸν φοιτῶν, μείζω δύναμιν ἐκ τῆς πρὸς αὐτὸν ἐμνᾶτο σχολῆς. Οὗτος τοίνυν ὁ Ἀνατόλιος εἰδώλων θυσίαις προσανέχειν διελεγχθείς, ἐξάγιστός τις σὺν ἄλλοις δεινῶν ἀτοπήμασι φωρᾶται συνισχημένος. Δώροις δὲ τὸν τῆς ἕω ἡγούμενον μετελθών, παραβραχὺ σὺν τοῖς ἀμφ' αὐτὸν διέδρα. Πολλοὶ γὰρ σὺν αὐτῷ ἑάλωσαν τῷ μιάσματι, εἰ μὴ τὸ πλῆθος διαταραχθὲν, τὸ σκέμμα διέλυσεν. Ἐπετώθαζον δὲ καὶ τὸν Ἱερία, ὡς ἄρα εἴη καὶ αὐτὸς τοῖς ἁλιτηρίοις κεκοινωνηκώς. Καί τις δαίμων ταραξίας καὶ ἁλιτήριος ἐνίους ἀνέπεισεν, ὡς εἴη καὶ θυσίαις σὺν Ἀνατολίῳ χρησάμενος. Καὶ μικροῦ δὲ διεφθάρη Γρηγόριος μεγάλα κατ' αὐτοῦ ὀργώντος τοῦ δήμου· καὶ ἐπὶ τόσον τὰ τῆς φήμης διέδραμεν, ὡς καὶ τὸν βασιλέα Τιβέριον, μὴ δι' ἄλλου, ἀλλὰ δι' αὐτῆς Ἀνατολίου φωνῆς τἀληθὲς θηράσαι θελῆσαι τῆς μέμψεως· καὶ δῆτα κελεύει τόν τε Ἀνατόλιον καὶ οἳ σὺν αὐτῷ ἦλωσαν, ἀνὰ τὴν βασιλέως ἐλθεῖν. Ἃ δὴ μεμαθηκὼς Ἀνατόλιος, τῇ τῆς Θεομήτορος εἰκόνι ἐκεῖσέ που ἐν τῇ εἱρκτῇ καλωδίῳ ἠωρημένῃ ἐκτρέχει ὀπίσω στρέψας τὼ χεῖρε, ὡς δῆθεν ἱκετεύων τε καὶ δεόμενος. Ἡ δὲ ἅμα μὲν τὸν ἐναγῆ καὶ ἐξάγιστον ἐκεῖνον μυσαττομένη, ἅμα δὲ καὶ τὸν ἁλιτήριον ἐξελέγχουσα, εἰς τοὐπισθεν παντάπασιν ἀπεστράφη. Θαῦμα φρίκης μεστὸν καὶ ἐσαεὶ μνημονεύεσθαι δίκαιον· ἃ δὴ πάντες οἵ τ' ἔμφρουροι καὶ οἱ τὴν φυλακὴν ἐπιτεταραμμένοι κατεῖδόν τε καὶ τοῖς πᾶσιν ἀνήγγειλαν. Ἡ δ' εἰκὼν καί τισι τῶν πιστῶν ἐωράθη πρὸς τὴν ἑαυτῆς ἐκβίκασιν αὐτοὺς ἐρεθίζουσα, φάσκουσι ὡς ἄρα εἴη ἐνυβρίσας ἀφύβρα τῷ ταύτης υἱῷ Ἀνατόλιος. Ὡς δὲ κατὰ τὴν Βύζαντος ἐγεγόνει μαστίγων τε ταῖς ὑπερβολαῖς αἰκισθεὶς, οὐδέν τι κατὰ τοῦ ἱερέως ἐξεῖπεν. Ἐπίσης δὲ κἀκεῖσε μειζόνων κακῶν καὶ στάσεως οἴτιος τῷ δήμῳ ἐγένετο. Καὶ γὰρ ψήφων δοθέντων ἐνίους ἐξοστρακίζεσθαι καὶ μὴ ἀναιρεῖσθαι, ὁ δῆμος τῷ θείῳ ζήλῳ ἀναφλεγείς, τὸ πᾶν συνέχεεν ἐκταράσσων· ἀγριαίνων τε καὶ χαλεπαίνων τοὺς ἐξοστρακισθέντας ἀνσρπάστους ποιῆσαι καὶ ἀκατίοις ἐνθέμενος, ζῶντας πυρὶ κατηκόντιζε. Τοιαύτην τοῦ δήμου ψῆφον ἐξενεγκόντος, διελοιδοροῦντό τε ἅμα βασιλεῖ, καὶ πολλὰ τοῦ σφῶν ἱερέως Εὐτυχίου κατεβοῶντο, ὡς τὴν πίστιν καταπροϊεμένων, οἳ καὶ τὸν Εὐτύχιον διαχρήσασθαι ἔμελλον· καὶ τοὺς τὴν ζήτησιν ἐπιτεταραμμένους πάντη περιώντες καὶ τούτους ἀνερευνώμενοι· εἰ μὴ ἡ τὸ πᾶν διέπουσα θεία πρόνοια ἐκείνους μὲν ἐκ μέσου τούτων ἀνῆρπασε, τὸ δὲ ζέον τοῦ τοσούτου πλήθους καταβραχὺ ἔσβεσε, μηδενὸς ἀτοπήματος γενομένου. Ὁ δ' Ἀνατόλιος θηρίοις τὰ πρῶτα κατὰ τὸ ἀμφιθέατρον ἐκβληθεὶς καὶ ἱκανὸς ἐκείνοις διασπαραχθῆς, ἔπειτα ἀνεσκολοπίζετο, μηδ' οὕτω τῶν ἀνοσίων ἔργων λύσιν εὑράμενος· τὸ γὰρ ἐξάγιστον ἐκείνου σῶμα [οἱ λύκοι] τὸ μὴ ποτε ἱστορίᾳ δοθὲν καταγαγόντες, ἐκεῖθεν, θοίνην ἑαυτοῖς διενείμαντο. Καί τις δ' ἐν Ἀντιοχείᾳ παρὼν, προσφοίβαζε τὰ ἐπ' αὐτῷ γενησόμενα. Καὶ γάρ πως ἔλεγε καθ' ὕπνους ἰδεῖν ὡς ἡ κατὰ Ἀνατολίου ψῆφος καὶ τῶν σὺν αὐτῷ τῷ δήμῳ διακριθήσεται· καί τις δὲ μέγας τῶν

A pervenit. Et cum eo nomine frequentius ad eum iret, potestatem majorem ex ejus consuetudine est consecutus. Anatolius iste crimine sacrificiorum diis oblatorum accusatus, una cum aliis, ut sacer et exsecrabilis, res graves et absurdas admisisse compertus est. Caterum cum Orientis præfectum donis expugnasset, parum abfuit quin una cum popularibus suis (multi namque cum eo piaculi ejus participes capti fuerant) evaserit. Multitudo autem, motu concitato, consilio tali obviam iit. Illusit ea antistiti quoque, quasi et ipse detestandorum illorum hominum socius esset. **312** Et dæmon quidam seditiosus et pestilens nonnullis persuaserat, quod Gregorius etiam cum Anatolio sacrificasset. Atque is prope a plebe vehementer B infesta et irata interfectus est. Et in tantum fama ejus rei increbuit, ut Tiberius quoque imperator non aliter atque per ipsius Anatolii vocem, criminis ejus veritatem investigare voluerit. Itaque Anatolium, et qui cum eo capti erant, Constantinopolim venire jubet. Quod ubi Anatolius cognovit, ad Dei Genitricis imaginem in carcere alicubi ex funiculo dependentem, versis in tergum manibus, procurrit, supplicantis scilicet et deprecantis in morem. At illa impurum et exsecrandum illum detestans, simul et criminis tanti arguens, totam se ab eo avertit: miraculo medius fidius horrendo, et memoria sempiterna digno: quod captivi omnes, qui in custodia servabantur, et quibus cura C carceris commissa fuerat, oculis ipsi suis viderunt, et omnibus renuntiarunt. Imago ipsa fidelibus etiam quibusdam conspecta est eos ad contumeliam suam vindicandam concitare, Filio suo ab Anatolio contumeliose injuriam factam esse dicens. Postquam vero Byzantium Anatolius venit, et flagris quam maxime tortus est, nihil est contra episcopum prolocutus. Verum ibi quoque magnorum malorum et seditionis populo ipse cum popularibus suis causa fuit. Cum namque quosdam, sententiis ferendis, non jugulandos, sed ostracismo multandos esse judicatum esset, plebs zelo divino accensa, universam urbem turbulento motu replevit: saeviensque et graviter eam rem ferens, eos qui ad exsilium damnati fuerant, raptos, et D piscatoriis navibus impositos, igni vivos combussit. Et cum populus ejusmodi sententiam tulit, tum convicia etiam in imperatorem jecit, et adversus episcopum suum Eutychium vociferatus est, perinde atque illi fidem abjecissent. Quin multitudo Eutychium quoque, eosque quibus quæstio mandata fuerat, in locis omnibus, investigatos interfecisset, nisi quæ omnia gubernat divina Providentia, illos quidem e medio subripuisset, ferocientis autem multitudinis ardorem paulatim ita restinxisset, ut nihil absurdi committeretur. Porro Anatolius bestiis primum in amphitheatro objectus, et abunde ab illis dilaniatus, in crucem postea est actus. Verum ne sic quidem impiorum flagitiorum pœna est defuncta. **313** Siquidem

exsecrandum illius corpus (quod nunquam historiis proditum est) lupi inde detractum devorarunt. Quidam vero Antiochiæ fuit, qui res eas illi obventuras divinavit. In somnis enim se vidisse dixit, Anatolii complicumque ejus judicium plebi, quæ de eis sententiam ferret, commissum esse. Vir præterea magnus, imperialibus ædibus præfectus, quamvis Anatolium defenderet, prolocutus vehementer se objurgantem, et talia fere dicentem : impudenter supra modum in me et Filium meum

A βασιλικῶν οἰκιῶν προεστὼς, καίπερ τὸν Ἀνατόλιον περιποιούμενος, ἐξεῖπεν, ὡς θεάσαιτο τὴν Θεοῦ μητέρα σφοδρότερον ἐπιτιμῶσαν, καὶ ταῦτα ὡσανεὶ ἐπιλέγουσαν· Μέχρι τίνος ἀντιποιῇ τοῦ Ἀνατολίου, οὕτως ἐς τε τὸν ἐκείνης παῖδα καὶ ἐς αὐτὴν ὑπερφυῶς παροινήσαντος ; Ἀλλὰ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

illusit? Sed hæc hactenus.

CAPUT V.

Ut Tiberius ducem Orientis legerit Mauricium, eumdemque deinceps moriens imperatorem creavit.

Tiberius perro ubi Justinianum non eadem fortuna, qua antea, rem adversus Barbaros gerere cognovit, illi quidem præfecturæ Orientalis dignitatem, post Justini obitum, abrogavit et imperatoria corona dudum sumpta, ducem alium militarium in Oriente ordinum creavit Mauricium, qui paulo post successor etiam Tiberii fuit. De eo mox loco suo dicemus. Qualis enim et quantus fuerit, ex imperio ejus colligendum, quod virum eum clarius manifestiusque hominibus exhibuit, cum illi summam quodcunque vellet, arbitrio suo faciendi potestatem dedisset. Qua re etiam factum, ut domesticæ ejus res et arcanæ in publicum proterrentur. Hic igitur Mauricius, copiis militaribus receptis, ultra Romani imperii fines progressus, et quæcunque erant idoneo commodoque loco Persis castella adortus, ea cepit : tantamque prædam inde egit, ut urbibus et insulis et agris, quicunque deserti antea fuissent, colonos imponeret, et quæ a multo tempore vacuæ jacuissent terræ, eas ad fructum ubertim ferendum cultura præpararet. Ex eis colonis strenuas etiam et fortes conscripsit copias, quæ contra alias quoque gentes egregium bello robur ostenderunt. Effecit is etiam ut domus universæ servis complerentur, et ut in abundanti rerum omnium copia, levi facile pretio omnia venirent. Conflixit quoque cum fortissimis quibusque inter Persas viris, imperatoriaque arte celeberrimis : cum Tamichosroe videlicet illo, **814** et Adaarmane, qui cum validissimis exercitibus cum eo sunt congressi. Sedenim quomodo ille, et quid prælio cum illis commisso gesserit, in præsentia mihi dicere facile non est, ad alia quæ instituti nostri sunt, properanti. Tum quidem in ipsa pugna Tamichosroes non equidem Romani exercitus virtute, sed religione sola et sincera in Deum fide ipsius ducis cecidit. Adaarmanes autem prælio excedens, habenis omnibus quam maximis laxatis fugit, non paucis suorum amissis : cum quidem Alamundarus qui Scenitas Barbaros ducebat, victoriam prodidisset : quippe qui Euphratem trajicere, et Mauricio in prælio adesse, contra Scenitas Arabes pugnanti, noluerit. Ea namque Arabum gens invicta maxime, equis celerrimis, ventisque ipsis velocitate simillimis insidens, sicubi conclu-

ΚΕΦΑΛ. Ε'.

Ὡς ὁ Τιβέριος στρατηγὸν τῆς ἑῴας χειροτονήσας Μαυρίκιον, εἶτα τελευτῶν, καὶ εἰς τὴν βασιλείαν ἀρχὴν προεβάλλετο.

Τιβέριος δὲ ἐπεὶ τὸν Ἰουστινιανὸν μὴ παραπλησίᾳ γρώμενον τύχῃ κατὰ τῶν βαρβάρων ἐμάνθανε, παραλύει μὲν τῆς ἐν τῇ Ἑῴᾳ ἀρχῆς μετὰ τελευτὴν Ἰουστίνου· καὶ τὸν βασιλικὸν περιθέμενος στέφανον, στρατηγὸν ἕτερον τῶν κατὰ τὴν Ἑῴαν ταγμάτων ἐχειροτόνει Μαυρίκιον· ὃς μικρὸν ὕστερον καὶ διάδοχος Τιβερίου καθίστατο· περὶ οὗ τὰ πρόσφορα μικρὸν ὅσον οὔπω διαληψόμεθα. Ὅσος γὰρ καὶ οἷος γέγονε, τῇ βασιλείᾳ μᾶλλον φυλακτέον αὐτὸν, ἢ τὸν ἄνδρα τελεώτερον καθυπέδειξε, τὸ αὐτεξουσίως ὁρᾶν παρασχοῦσα· ὃ δὴ καὶ τὰ ἔνδον ἐκείνου μᾶλλον ἀνέπτυξε. Καὶ τοίνυν οὗτος τὰς δυνάμεις ἀνειληφὼς, κατὰ τὰ ὑπερόρους ἐγεγόνει τῶν πόλεων· καὶ ὅσα Πέρσαις ἐπικαιρότατα φρούρια, προσπεσὼν εἷλε, καὶ τοσαύτην λείαν περιεβάλλετο, ὡς τὰ σκυλευθέντα πόλεις τε καὶ νήσους καὶ ἀγροὺς ὁλοκλήρους οἰκίσαι, τῷ πρώην χρόνῳ ἔρημα γεγονότα· καὶ τὴν ἐκ πολλοῦ ἀγεώργητον γῆν πολλῷ καρπῷ βρίθειν παρασκευάσαι, στρατιάν τε ἐξ αὐτῶν γενναίαν μάλα καὶ ἀνδρικὴν καταστήσασθαι, ἃ δὴ καὶ κατὰ τῶν ἄλλων ἐθνῶν γεννικὴν τὴν ἄμιλλαν ἐνεδείξαντο· οἰκίας δ' ἁπάσας οἰκετῶν πληρωθῆναι, ῥᾳδίως καὶ εὐώνως τῷ πολλῷ πλήθει πάντων τὴν ὠνὴν καταβαλλομένων. Συμπλέκεται δ' εἰς μάχην καὶ τοῖς ἀρίστοις μάλα Περσῶν, καὶ ἐπὶ στρατηγίᾳ τὸ διαβόητον ἐσχηκόσι, τῷ τε Ταμιχοσρόῃ ἐκείνῳ, καὶ Ἀδαρμάνῃ, μετ' ἀξιομάχων ἐπελθόντων τῶν στρατευμάτων. Ἀλλ' ὅπως μὲν καὶ τί αὐτῷ διεπράχθη τούτοις ἀντικαταξαμένῳ ἐμοὶ μὲν γράφειν οὐκ εὐχερὲς πρὸς ἕτερα τοῦ σκοποῦ μοι ῥέποντος· τέως δ' οὖν πίπτει μὲν ὁ Ταμιχοσρόης κατὰ τὴν συμβολὴν· οὐκ ἀνδρίᾳ τοῦ Ῥωμαίων στρατοῦ, πίστει δὲ τῇ εἰς Θεὸν ἀκραιφνεῖ καὶ εὐλαβείᾳ μόνῃ τοῦ στρατηγοῦ. Ὁ δ' Ἀδαερμάνης σφαλεὶς τῇ μάχῃ, ἀνεὶς τὰς ἡνίας ὅλας ἀναχάτος ἔφευγεν, οὐκ ὀλίγους τῶν σφετέρων ἀποβαλών· καὶ ταῦτα Ἀλαμουνδάρου, ὃς τῶν Σκηνητῶν βαρβάρων ἡγεῖτο, καταπροδόντος τὴν νίκην· ἅτε δὴ μὴ ἐλομένου τὸν Εὐφράτην διαπερᾶν, καὶ συμμαχεῖν Μαυρικίῳ, τὴν ἄμιλλαν πρὸς τὸ σκηνικὸν τῶν Ἀράβων πεποιημένῳ. Καὶ γὰρ τὸ τοιοῦτον τῶν Ἀράβων φῦλον ἀκαταγώνιστον μάλιστα, ἵπποις ὠκυπόοις ἐποχούμενον, καὶ ἀνέμους διαθέον ἐπίσης, οὔτε καταλαμβανόμενον, εἴ που γένοιτο ἐγκλεισθῆναι, μάλιστα δὲ καὶ ταῖς ὑπαγωγαῖς τοὺς ἀπεναντίας προφθάνον. Ἀλλὰ μὴν οὐδὲ Θεοδωρίχου, ὃς τῶν Σκυθι-

κῶν ταγμάτων ἡγεμὼν ἐτύγχανεν ὤν, ἄγχιστα δὴ τῆς μάχης γεγενημένου, ἔξω τε βελῶν ὡς μάλιστα καθεστῶτος, καὶ σὺν τοῖς ἀμφ' αὐτὸν ἀναχράτος χρησαμένου φυγῇ · ἐπανήκων δ' ἐκεῖθεν ἐπὶ λαμπροῖς τοῖς τροπαίοις, θρίαμβον κατῆγε, καὶ διὰ πάσης ἤγετο γλώσσης. Ὁ δ' ὧδ' ὑπερβαλλούσης τιμῆς προϊών, καὶ ἐς τὴν βασίλειον περιωπὴν ἄνεισι · Τιβερίου πρὸς τῇ τελευτῇ καθεστῶτος, τήν τε παῖδα Αὐγούσταν καὶ τὴν ἀρχὴν ἀντὶ φερνῆς παραδεδωκότος αὐτῷ · ὀλίγον μὲν ἐπὶ τῇ βασιλείᾳ διαγεγονότος ἐνιαυτὸν, ἀγήρω δὲ μνήμην τῷ παντὶ καταλείψαντος χρόνῳ, οἷς εὖ πράττων τὸν βίον ἐγένετο · ἃ λόγῳ περιλαβεῖν οὐ πάνυ τοι ῥᾴδιον καταφαίνεται · μέγιστον δ' αὐτῷ τῶν πεπραγμένων, καὶ ὃν τῇ βασιλείᾳ καταλελοίπει κλῆρον, τὴν τοῦ θαυμαστοῦ Μαυρικίου ἀνάῤῥησιν · ὃς καὶ τὰς προσούσας κλήσεις ἐκείνοις διένειμε · τὸν μὲν Μαυρίκιον καὶ Τιβέριον προσειπών, τὴν δὲ Αὐγούσταν καὶ Κωνσταντῖναν προσαγορεύσας. Καὶ τοίνυν ὅτ' ἐδόκει Τιβέριον τῆς ἐντεῦθεν λοιπὸν λήξεως μεταβήσεσθαι, καὶ τοῖς τῆς φύσεως καὶ αὐτὸν ὑπείκειν θεσμοῖς, μελαίνης ἐπικειμένης χολῆς, Μαυρίκιος μὲν ἀνηγορεύετο · καὶ νεάζων τῇ ἀλουργίδι, τῆς αὐτοκρατορικῆς ἀξίας καὶ τιμῆς μετελάγχανε. Καὶ γὰρ φοράδην ἀχθεὶς ὁ Τιβέριος, τῇ ὑπαίθρῳ τῶν βασιλείων αὐλῇ τὸν τῆς ἱεραρχικῆς καθέδρας ἐπειλημμένον συγκαλέσας (Ἰωάννης δὲ τηνικαῦτα τοὺς τῆς Ἐκκλησίας καὶ ἔτι διῴθυνεν οἴακας), πρὸς δὲ καὶ τὸν ξύλλογον τῶν ἱερῶν ἀξιωμάτων ἀθροίσας, τήν τε περὶ αὐτὸν δορυφορίαν καὶ φυλακὴν, καὶ ὅσοι δὴ τῇ βασιλείῳ τιμῇ συντετάχαται, ἀλλὰ μὴν καὶ ὅσον τοῦ δήμου ἐπίσημον, γλῶτταν ἑαυτοῦ ἐποιεῖτο τὸν Ἰωάννην, ἄνδρα ῥήτορα καὶ νόμων ἕδριν Ῥωμαϊκῶν, ὃς διάτορον γλῶτταν αὐχῶν, μεγαληγορῶν διετέλει τὰ βασιλέως · ὃν ἐπιχωρίῳ φωνῇ Ῥωμαῖοι κοιαίστωρα ὀνομάζουσι. Παρῆν γοῦν ὁ αὐτοκράτωρ ἐπὶ τῇ τοῦ νέου βασιλέως χειροτονίᾳ ἅμα τῇ παιδὶ Κωνσταντίνῃ, ἣν Μαυρικίῳ βίου καὶ τύχης ἅμα κοινωνὸν ἐποιεῖτο · πρινὴ γοῦν ἐγχειρίσαι τὴν ἀνάῤῥησιν, τῷ συλλόγῳ τῷδε διωμίλησατο · A datur, non capitur, et locis ad insidias capiendis hostes facile prævenit. Sed et Theoderichus, Scythicorum (1) ordinum dux, in pugna non affuit, verum extra telorum jactum quam maxime consistens, se cum suis effusæ fugæ commisit. Ab ea victoria cum amplissimis tropæis reversus, triumphum egit, atque omnium hominum ore celebratus est. Summi vero honoris via progressus, etiam ad imperiale fastigium conscendit, cum Tiberio jam vitæ finis adesset, qui illi filiam Augustam, et cum ea loco dotis imperium ipsum dedit. Non ille quidem longo admodum tempore in imperio transacto, sed monumento tamen sempiterno ad ævum omne relicto, per res quas per vitam bene egit. Eas vero verbis complecti, non ita facile B videtur. Maximum autem probe ab eo gestorum, et quasi quædam hæreditas, quam imperio post se reliquit, illud est, quod Mauricium, virum admirandum, imperatorem renuntiavit. Quin etiam nomina sua genero et filiæ indidit, Mauricio quidem Tiberii, Augustæ vero Constantinæ nomine imposito. Itaque cum Tiberius videret, ex hac deinceps vita sibi migrandum, naturæque legibus cedendum esse, atra illum bili affligente, Mauricius imperator dictus, purpura conspicuus honorem et dignitatem meræ summæque potestatis recepit. **815** Tiberius etenim in hypæthram illam imperialis palatii aulam progressus, antistitem sacrorum (Joannes autem tum adhuc Ecclesiæ clavum gubernabat) eo evocavit, atque insuper conventum sacrarum dignitatum coegit, satellitumque suorum C et corporis custodum, eorum quoque qui imperiali honori accensentur. Tum autem quicunque in populo præclari erant, ad se arcivit, ubi nomine ejus Joannes verba fecit, orator egregius, et Romanarum legum peritus, et propter insignem eloquentiam imperatoris jussa pro concione exponere solitus, quem vernacula lingua Romani quæstorem dicunt. Aderat igitur imperator ipse in novi principis electione, una cum filia Constantina, quam Mauricio vitæ simul et fortunæ sociam dederat. Prius autem quam imperatoris novi renuntiatio promulgaretur, ad conventum eum ita verba fecit :

ΚΕΦΑΛ. Ϛ'.

Δημηγορία Τιβερίου τοῦ αὐτοκράτορος ἐπὶ τῇ ἀναῤῥήσει Μαυρικίου ῥηθεῖσα τῷ πλήθει.

« Ἄνδρες Ῥωμαῖοι, ὄνομα πολυθρύλλητον ἅπασιν ἔθνεσι, καὶ δι' εὐκλειαν δόξης τοῖς ἁπάντων στόμασι περικείμενον· νῦν μεγάλαι τῶν ὠδίνων φροντίδες ἐμοὶ περίκεινται. Ἡ μὲν γὰρ ἃ καταλιπεῖν δέον καλῶς διαθεῖναι ἐπείγουσα· ἡ δ' ἐκταράττει τῇ μεταθέσει τῆς διαζεύξεως. Κατεπείγει γὰρ τῆς ἐνθένδε βιοτῆς τοὺς λόγους παραθέσθαι τῷ τῶν ὅλων δημιουργῷ. Καί γε νῦν ἐμοὶ ἡ πάλαι παῤῥησία καὶ ἄδεια περιδεής μοι μάλα καθίσταται. Οἷς γὰρ ἀφθονία τῆς ἐξουσίας πρόσεστι, πλείω δὴ καὶ τὰ σφάλματα εἰκὸς ἕπεσθαι. Ἀλλ' ὅμως αἱ περὶ τῆς βασιλείας ἡμῖν ὀξύτερον ἐπιβάλλουσιν, οὐχ οὕτω D

CAPUT VI.

Oratio Tiberii imperatoris in electione et designatione Mauricii, ad populum dicta.

« Viri Romani, præclarissimum apud omnes gentes nomen, et propter amplitudinem gloriæ omnibus omnium linguis celeberrimum : magnæ me nunc curæ et sollicitudines circumstant. Quarum alteræ, ut quæ me relinquere oportet, ea recte constituam, adurgent : alteræ vero, migratione ipsa, qua a vobis disjungar, exterrent. Ea namque rationem actæ hic vitæ universitatis hujus conditori reddere cogit. Et nunc usurpata mihi dudum libertas et securitas in timiditatem ingentem est conversa. Quibus etenim prolixior est faciendi quæ velint potestas, eos peccata plura solent consequi.

(1) Hic quoque Gothi Scythæ dicuntur.

Sedenim quam de imperio concepi curam, acrius me urget, ut videlicet non temere quidvis de republica decernam, sed qui eam recte administret, substituam. Quandoquidem nec mihi imperium ad voluptatem et delicias corporis consectandas commissum fuit. Neque vero fortuna tantum animum meum angit, verum etiam natura ipsa. Eodem enim et imperium et conjux et liberi concurrunt. Nam imperium sapientem gubernatorem requirit, conjux viduitatis curatorem æquissimum, liberi porro, qui eos ducat et defendat, tutorem, propter ætatis imbecillitatem, et naturæ, maxime muliebris, infirmitatem. Cæterum naturæ sæpenumero contemno necessitudinem, morbo ingruente: **816** despicio etiam liberos, et conjugem nihili facio, mihique jam mori videor, et sollicitudinis ejusmodi libertatem consequor. Vix autem cogitationes tales depono, cum mihi imperii cura incessit. Non solum enim certaminum omnium multo maximum est, creditum sibi sceptrum pro eo atque par est conservare, verum etiam hæreditatem imperii, ita ut decet, ad eos quos oportet, transmittere. Equidem æquum esse admodum arbitror, decessoribus principibus successores debere esse præstantiores, ut illorum errata isti corrigant. Quod nisi fiat, imperii ipsius ditionem omnem, propterea quod imbecillibus fundamentis nitatur, labi et corruere necesse est. Talibus curis cum animus meus conficeretur, ea quæ res omnes respicit Providentia, laboribus nostris succurrit, consiliumque nostrum auspicata, auctoritate sua confirmavit, et eum qui post me magnifice imperaturus est, declaravit: Mauricium istum, virum rei Romanæ perquam utilem et commodum, qui plura et magna certamina pertulit, et quasi quemdam arrhabonem, ut ita dicam, futuræ suæ de civibus subditisque curæ et providentiæ apud rempublicam deposuit. Hunc ipsum hodie imperatorem conspicietis. Tanta autem persuasione et fiducia illum maximæ omnium administrationi adhibeo, haudquaquam mente claudicans, aut erranş, ut non modo imperium ei, verum etiam filiolam credam, pignore tanto naturæ ipsius, bono vos animo esse jubens. Id quod velut consolationis viaticum, mecum mihi laturus ad longam istam, unde reverti non liceat, migrationem videor. Vos ipsi autem idonei et fide digni pulcherrimæ hujus ordinationis testes mihi estis, ex eo quod eorum qui imperium nostrum dudum administrarunt, et hujus præcipue viri periculum fecistis, qui prudentissime nos est consectatus. Tu vero, Maurici, pulcherrimum mihi epitaphium imperium tuum facere perge, et sepulcrum meum virtutibus tuis exorna (1), neque spem eorum qui tibi concrediti sunt, per dedecus fallens, neque virtutes ipse tuas oblivioni tradens, et veluti pristinam animi tui generositatem fugiens. Proinde potestatis insolen-

ταύτην ὡς ἔτυχε καταθέσθαι, ἀλλ' ᾗ ἂν αὐτὴν καλῶς διακυβερνήσειεν. Ἐπεί τοί γε οὐδ' ἐμοὶ κατηγόρηται ἐπί τε τῇ τρυφῇ καὶ κολακείᾳ τοῦ σώματος. Τρύχει δέ με οὐχ ἡ τύχη μόνον, ἀλλὰ καὶ φύσις αὐτή. Ἐν ταυτῷ γὰρ ἥ τε βασιλεία καὶ ἡ γυνὴ καὶ παῖδες ἐπιτίθενται· ἡ μὲν σοφὸν ἡγεμόνα ζητοῦσα, γυνὴ δὲ χηρείας κηδεμόνα ἐπιεικέστατον· οἱ δὲ παῖδες, χειραγωγοῦ τὸ ἀτελὲς τῆς ἡλικίας προβεβλημένοι, καὶ μάλιστα τὸ τῆς θηλείας φύσεως ἀσθενέστατον. Ἀλλὰ τὸν μὲν τῆς φύσεως περιφρονῶ πολλάκις δισμὸν, ἐπικειμένης τῆς νόσου· ὑπερορῶ δὲ καὶ παίδων, καὶ παρ' οὐδέν μοι τὸ γύναιον, δοκῶν ἤδη τεθνάναι, καὶ λαγχάνων τῆς τοιᾶσδε προμηθείας τὸ ἐλεύθερον. Οὕτω δὲ ταῦτ' ἀποτίθεμαι. Καὶ ἡ περὶ τῶν σκήπτρων εἰσπράττει φροντίς. Οὐ γάρ τοι μόνον ἀγώνων ἐστὶν ὁ μέγιστος τὸ ἐμπιστευθὲν σκῆπτρον προσηκόντως διατηρῆσαι, ἀλλὰ καὶ τὸ δεόντως παραπέμψαι τὸν κλῆρον οἷς χρὴ, ἔμοιγε μάλα λελόγισται δίκαιον τῶν προτέρων ἡγεμόνων εἶναι τοὺς δευτέρους ἀμείνους, ὡς ἂν οἷς ἐκείνοι συνέδη σφαλῆναι, οὗτοι τὴν σφετέραν διόρθωσιν ἀπαγάγωσιν. Εἰ δ' οὖν, ἀλλὰ σύμπαν τὸ ὑπήκοον ἀνάγκη διολισθαίνειν ἄδρανεῖ κρηπῖδι τὴν βασιλείαν ἑδράσαντι. Τοιαύταις φροντίσιν ἐκδαπανῶντί μοι τὴν ψυχὴν, ἡ πάντων ἔφορος Πρόνοια ἐπίκουρος ἡμῖν τῶν πόνων γίνεται, καὶ ταῖς ἡμῶν βουλαῖς αἴσιον τὸ κῦρος ἐπάγει· καὶ τῶν μετ' ἐμὲ βασιλεύσοντα λαμπρῶς ἀναδείκνυσι. Μαυρίκιον τουτονὶ, ἄνδρα λυσιτελῆ μὲν τοῖς Ῥωμαίων γενόμενον πράγμασι, πολλούς τε καὶ μεγάλους ἀγῶνας διενεγκόντα· ὡς ἄν τις εἴποι, ἀρραβῶνας οἷόν τινας προκατατιθέμενον τῆς ἀμφὶ τὸ ὑπήκοον αὐτῷ ἐσομένης προνοίας. Τοῦτον τοίνυν αὐτοκράτορα τήμερον ὄψεσθε· οὕτω δὲ πεποιθώς εἰμι, καὶ θαρρούντως ἐπιβάλλω τῇ μεγίστῃ τῶν διοικήσεων μηδαμῶς χωλεύων κατὰ διάνοιαν, ὡς οὐ μόνον τὴν βασιλείαν, ἀλλὰ καὶ τὸ θυγάτριον τούτῳ καταπιστεύω, τηλικούτῳ φύσεως ἐνεχύρῳ θαρρύνων ὑμᾶς. Ὃ δή μοι καὶ ἐφόδιον ψυχαγωγίας ἀποτίθεσθαί μοι δοκῶ τῆς μακρᾶς καὶ ἀνυποστρόφου ἐκδημίας. Ὑμεῖς δέ μοι μάρτυρες ἀξιόχρεω τῆς καλλίστης τῇδε συντάξεως· ἐξ ὧν τε ἡμῶν πάλαι ποτὲ ἐπειράθητε τὴν ἡγεμονίαν ἡνιοχούντων, καὶ τουτονὶ συμπαρομαρτοῦντος λίαν ἡμῖν ἐμφρονέστατα. Σὺ δέ μοι, Μαυρίκιε, κάλλιστον ἡμῖν ἐπιτάφιον τὴν σὴν βασιλείαν ποιῶν διατέλει· καὶ τὸν ἐμὸν τάφον ταῖς σαῖς ἀρεταῖς διακόσμει· μήτε τὰς τῶν σοι πεπιστευμένων αἰσχύνων ἐλπίδας, μήτ' ἀρετῶν ἐπιλελησμένος τῶν σῶν, καὶ τοῦ πρὶν εὐγενοῦς τῆς σῆς ψυχῆς ὡς μάλιστα δραπετεύων· ὅθεν καὶ χαλίνου λόγῳ τὸ τῆς ἐξουσίας ἀγέρωχον, καὶ φιλοσοφίᾳ τὸ τοῦ κράτους σκάφος ὁλάκιζε. Ἡ γὰρ βασιλεία χρῆμά τι τῶν ὑψηλῶν μετέωρον, ἐς μέγα τὸν ταύτης ὑπερκαθήμενον αἴρουσα, καὶ τοὺς λογισμοὺς ἐκμοχλεύουσα Οἴεσθαι δέ σε χρεὼν μὴ πάντων ὑπερέχειν φρονήσει· εἰ καὶ τὰ τῆς τύχης ὑπερβάλλει, καὶ ὑψηλὰ κατεσκεύασται παρὰ πάντας. Τῶν γε μὴν ὑπηκόων τὴν εὐνοιαν, ἢ τὸν φόβον θηρεύειν

(1) Pulcherrimum decedentis principis epitaphium, bonus successor.

παιρῶ. Τὸν δ' ἔλεγχον μᾶλλον ἀγάπα δωπείας, οἵαπερ διδάσκαλον καθεστῶτα. Πίφυκε γάρ πως ἡ ἐξουσία ἀνουθέτητόν τι χρῆμα, καὶ παιδείας ἧκιστ' ἀνεχομένη. Πρὸ τῶν σῶν ὀφθαλμῶν ἡ δίκη συνεδρεύουσα παρέστω, πρυτανεύουσα τὴν τῶν βεβιωμένων ἀντίδοσιν. Νόμιζε δὲ καὶ τὴν πορφύραν εὐτελές τι ῥάκος σοι ἐπικείμενον τῷ φιλοσοφεῖν· τὸν δέ γε στέφανον ὃν περίκεισαι, μηδὲν διοίσειν τῶν ἀμφὶ τοῖς αἰγιαλοῖς τοῖς θαλαττίοις περικλυζομένων ψηφίδων. Τὸ δὲ τῆς ἁλουργίδος ἄνθος στυγνὸν ὄν, ἔοικεῖ μοι τοῖς βασιλεῦσι παρεγγυᾶν τὸ μετριοπαθὲς ἐπὶ ταῖς εὐπραγίαις ἀσκεῖν· καὶ μὴ περιγάννυσθαι καὶ φρυάττεσθαι τῇ πενθίμῳ ταύτῃ τῆς μοναρχίας στολῇ· οὐ γὰρ ἐξουσίαν ἀκόλαστον, ἀλλ' ἔνδοξον μᾶλλον δουλείαν τὸ τῆς βασιλείας σκῆπτρον φιλοσοφεῖν ἐπαγγέλλεται. Ἡγείσθω τῆς ὀργῆς τὸ φιλάνθρωπον, τῆς δὲ μεγαλοφροσύνης ὁ φόβος. Καὶ γὰρ καὶ ταῖς μελίτταις ἡ φύσις ἡγεμόνας διέταξε· καὶ τὸν σφῶν βασιλέα καὶ κέντρῳ καθώπλισεν, ὥσπερ τι κράτος αὐτόματον ἐγκεντρίζουσά πως αὐτῷ, ἵνα καὶ πλήττειν ἔχοι τὸν μὴ προστηκόντως παιθόμενον. Ἀλλ' ἧκιστα ἐκείνῃ τὸ κέντρον τυραννικόν, δημωφελὲς δὲ μᾶλλον καὶ δίκαιον. Οὐκοῦν ἐκείνης ἐσόμεθα μιμηταί, εἰ μή γε λόγος δεδύνηται χαρίζεσθαι καὶ τὰ μείζονα. Ταῦτα μὲν ὁ προβολεὺς ἐγώ· ἕξεις δὲ τῆς γνώμης ὥσπερ δικαστὴν τὴν ἐξουσίαν ἀδέκαστον, ἢ τιμῶσαν τὰς ἀρετάς, ἢ τὴν κακίαν φαυλίζουσαν. »

A tiam ratione fac frenes, et philosophiæ artibus sapienter potentiæ scapham gubernes. Imperium namque res quædam est sublimis et excelsa, in altum **817** qui ei insident sustollens, et recte cogitata exutiens. Minime vero opinionem eam, quod prudentia omnibus anteceas, concipe, quamvis fortuna, quæ tibi sublimis contigit, omnes superes. Porro civium et subditorum benevolentiam potius quam metum fac consecteris, et objurgationem magis, perinde atque magistrum quemdam, quam assentationem, complectare. Potestas namque res quædam est, quæ admoneri docerique nolit, et castigationem ægre ferat. Ante oculos tuos assidens Justitia excubet, quæ vitæ nostræ actionum remunerationem pro summa sua potestate constituit. Purpuram perinde atque vilem pannum tibi injectum esse, per philosophiæ studium existima. Coronam autem qua caput tuum cinctum est, nihil a lapillis qui circa marinum littus fluctibus alluuntur, differre puta. Ipse purpuræ flos, quod subtristior est, exhortari mihi principes videtur, ut moderationem animi rebus secundis servare assuescant, neque nimium lætentur, aut luctuosa ista monarchiæ stola superbiant (1). Imperii siquidem sceptrum non immoderatam potestatem, sed gloriosam potius servitutem exercere admonet. Iræ imperet humanitas et misericordia, arrogantiæ autem timor. Nam et apibus natura duces dedit; earumque regem aculeo quasi quadam spontanea et naturali potestate armavit (2), ut pungere etiam eum possit, qui legitime non pareat. Sed apis minime tyrannicum, verum communi utilitati commodum et justum aculeum habet. Itaque illius saltem crimus imitatores, siquidem ratio ipsa consilia meliora subjicere non valeat. Equidem ad te hæc, veluti productor tuus et parens. Consilii autem nostri judicem habebis potestatem, ab affectione omni et muneribus incorruptam, simul et virtutes ipsas remunerantem, et vitia coercentem. »

B

C

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῆς ὁράσεως καὶ τελευτῆς Τιβερίου τοῦ αὐτοκράτορος.

Ὅτε τοίνυν τὰ τῆς διαλέξεως ἐπερατοῦτο τῷ αὐτοκράτορι, πολὺ τὸ δάκρυον ἔῤῥει ἀνιωμένου τοῦ ὑπηκόου τῷ πάθει. Εἶτα τὴν στεφάνην ὁ βασιλεὺς ἀράμενος, τήν τε πορφυρᾶν χλαμύδα ἀμπείσχε τὸν Καίσαρα. Πολλὴ δὲ τῶν ὑπηκόων ἡ τῆς εὐφημίας ἐξηχεῖτο βοή. Οἱ μὲν γὰρ τὸν προστησάμενον τῆς εὐβουλίας ἀγάμενοι, οἱ δὲ τὸν ἀναῤῥηθέντα· οἷς ἑαυτὸν τῆς τοσαύτης ἡγεμονίας παρέθετο ἄξιον. Ἄμφω δὲ τὸν τούτων ἁπάντων αἴτιον εὑῤήμουν, ὡς πάντα ξυμφερόντως οἰκονομήσαντα. Ὡς δὲ τὰ τῆς ἀναγορεύσεως κατὰ τοὺς βασιλικοὺς ἀπετελεῖτο θεσμούς, ἐπὶ τὴν ἑαυτοῦ κλίνην ἀναζεύξας ὁ βασιλεύς, ἔναρ τεθέατο. Ἐδόκει γὰρ πάγκαλόν τι χρῆμα ἀνδρὸς ὄψιν ὁρᾶν, λόγῳ μὲν ἄῤῥητον, γραφῇ δὲ ἀμίμητον· ἐσθὴς ἐκείνῳ λευκὴ τὸν τόπον περιαυγάζουσα.

818 CAPUT VII.

De visione et morte Tiberii imperatoris.

Cum igitur imperator finem orationis fecisset, cives et subditi propter dolorem quo afficiebantur, multam vim lacrymarum profuderunt. Deinde sublatam imperator coronam et purpuream chlamydem Cæsari circumdedit. Ibi tum subditorum acclamationes et gratulationes exauditæ, partim tam commodi consilii auctorem, partim ipsum renuntiatum principem propter eas quibus se imperio dignum præstiterat virtutes, admirati. Inprimis vero laudibus earum rerum omnium conciliatorem, qui universa commodissime dispensat, extulerunt. Ubi vero ad hunc modum Mauricius imperatoriis cæremoniis princeps est declaratus, imperator ipse in lecto suo repositus, in somnis viri speciem ea forma, quæ neque verbo, neque

(1) Antigonus rex filium intuitus subditis violentius utentem ac superbius : Οὐκ οἶσθα, inquit, ὦ παῖ, τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δουλείαν; hoc est, *Nescis, fili, dominatum nostrum splendidam esse servitutem?* Pindarus quoque, omnem regiam et aulicam phantasiam, sicut eam Lucas Act. xxvi vocat, ὄψιν; esse ceciuit ἄλγος : hoc est, *illustrem miseriam.*

(2) Non constat inter auctores, rex nullumne solus habeat aculeum, majestate tantum armatus, an dederit eum quidem natura, sed usum illi tantum negaverit. Istud constat, imperatorem aculeo non uti, etc. (Plin. lib. II, cap. 17.)

scripto exprimi queat, et veste tam candida, ut cubiculum ipsum illustraret, vidit. Vir is, manu protensa, talia verba ad eum est profatus : « Hæc tibi, Tiberi, ter sanctum Numen renuntiat : tyranni impii, imperii tui temporibus non exstabunt. » Postquam autem evigilavit, et somnium istud amicis exposuit, legibus deinde naturæ, quamvis imperator esset, obsecutus, terrenam tunicam deposuit, anima eam veluti tabernaculum quoddam reliquente, et ad sedes supernas evolante. Imperio Tiberius cum Justino tribus, solus autem quatuor annis præfuit (1) : qui posteaquam in imperatorum sepulcro repositus est, homines omnes ad Mauricium, perinde atque satellites conversi : et lacrymæ, quibus Tiberii funus prosecuti fuerant, eo ipso die restinctæ sunt. Non enim homines tantum præteritorum meminisse, quantum præsentia curare et colere solent.

A Ὁ δὲ τοιάδε τῷ Καίσαρι ἔλεγε συνδημηγορούσης αὐτῷ τῆς χειρὸς ἐν τῷ σχήματι· « Τάδε σοι, Τιβέριε, τὸ Τρισάγιον λέγει· Οἱ τύραννοι τῆς ἀσεβείας ἐπὶ τῆς σῆς βασιλείας οὐ φοιτήσουσι χρόνοις. » Ὁ δὲ διανήψας, καὶ τὸ ἐνύπνιον ἐπειπὼν, ἔπειτα τοῖς τῆς φύσεως ἐπειθάρχησε νόμοις, εἰ καὶ βασιλεὺς ἐτύγχανεν ὤν· καὶ τὸν γήϊνον χιτωνίσκον ἀπέθετο, οἷόν τινα σκηνὴν τῆς ψυχῆς καταλιπούσης αὐτὸν, καὶ πρὸς τὰ ἄνωθεν διαβάσης, ἔτη τέσσαρα τῆς ἡγεμονίας κατάρξας. Ὡς δ' ἐκεῖνον ὁ τῶν βασιλέων ὑπεδέχετο τάφος, ἐπὶ τὴν ἐς Μαυρίκιον δορυφορίαν ἅπας ἐτράποντο· καὶ τὸ κατὰ Τιβέριον ὄλακρυον αὐθήμερον πέρας ἐλάμβανεν. Οὐχ οὕτω γὰρ τοῖς ἀνθρώποις τῶν παρῳχημένων ἐστὶν ἀνάμνησις, ὡς ἡ περὶ τὰ παρόντα κατὰ σπουδῆς ἐπιμέλεια.

CAPUT VIII.

De Mauricii conjugio, et conjuge ejus Augusta. Qualis, quibus moribus, quo genere, et quibus animi affectionibus Mauricius fuerit.

Ubi Mauricius imperium suscepit, et Tiberium satis eluxit, nuptias primum parat, Augustamque, quæ et Constantina dicebatur, matrimonio solemni imperatorum ritu sibi jungit. **819** Nuptiæ magnifice prorsus imperiali pompa celebratæ, et epulationes splendidæ publicitus per urbem omnem populo datæ. Apparatui tanto affuere vera in Deum pietas et imperatoria Majestas, satellitio Mauricium ejusdemque conjugem decentissime stipantes, et dona eis quam honorificentissime offerentes. Illa namque canitie veneranda, decentibusque rugis, quod antea memoriæ proditum non est, patris C atque matris, nuptias sanctificantium, fratrumque venustorum, conjugalem apparatum exornantium, vicem præstitit. Hæc autem, ex auro contextam vestem, purpura et Indicis margaritis distinctam, nec non coronas auro multo et lapillis pellucidis resplendentes præbuit, atque omnes qui dignitates magistratusque gerebant excitavit, ut splendide, quo dignosci possent, coronati, faces nuptiales accenderent, conventumque sponsalitium hymnis atque carminibus celebrarent. Ita ut conjicere liceret, nunquam apud homines apparatu eo splendidius quidquam exstitisse. Demophilus sane, res Romanas describens, Plutarchum Chæronensem diserte dixisse refert, propter solam urbem Romam, D virtutem et fortunam inter se fœdus pepigisse : ego autem dixerim, veram etiam in Deum pietatem et felicitatem, in solo Mauricio conjunctione inita, convenisse, quod pietas scilicet felicitatem in potestatem suam redegerit, eamdemque errare et labi prorsus non permiserit. Postea etiam Mauricius illud studio habuit, ut non modo corpore, sed animo quoque purpuram atque coronam circumferret. Solus namque ex prioribus imperatoribus sibi ipsi imperavit, et verus cum summa potestate

(1) Paul. Diaconus annos septem Tiberium imperasse scribit : Evagrius solum annos quatuor, lib. v, cap. 25, ita ut reliquos tres cum Justino imperarit.

B

ΚΕΦΑΛ. Η'.

Περὶ τοῦ γάμου Μαυρικίου καὶ Αὐγούστης· καὶ οἷος ἦν τὸ ἦθος καὶ τὸ γένος καὶ τὸν τῆς ψυχῆς τρόπον.

Ἐπεὶ δὲ Μαυρίκιος περιεβάλλετο τὴν ἀρχὴν, ἱκανῶς τὸν βασιλέα θρηνήσας, τὰ περὶ τὸν γάμον πρώτιστα ἐξηρτύετο· καὶ ὡς νόμος βασιλεῦσιν, Αὐγούσταν τὴν καὶ Κωνσταντῖναν εἰσοικίζεται· μεγαλοπρεπῶς τε ἅμα καὶ βασιλικῶς τῆς πομπῆς τῶν γάμων γεγενημένης, ἀγερώχου δημοθοινίας ἐκασταχοῦ τὴν πόλιν περιεπούσης. Παρῆν δὲ ἄρα τῷ γάμῳ θεοσέβειά τε καὶ βασιλεία δορυφορούσαι τὰ ἐκπρεπέστατα καὶ δωροφορούσαι τὰ τιμιώτατα. Πατέρα γὰρ καὶ μητέρα παρεῖχετο θεοσέβεια, τῷ αἰδεσίμῳ τῆς πολιᾶς, καὶ τῷ τῆς ῥυτίδος σεμνῷ τὸν γάμον ἁγιάσοντας· ὃ μήποθ' ἱστορηθὲν ἔγνωμεν· ἀδελφούς τε ὡραίους τὴν γαμήλιον πομπὴν ἐκσεμνύνοντας. Ἡ δὲ χρυσόπαστον ἀμπεχόνην ἀλουργίδι καὶ λίθοις κεκοσμημένην Ἰνδῶν, καὶ στεφάνους πολλῷ χρυσῷ καὶ ταῖς ἐκ λίθων δαυγείαις τιμαλφεστάτους· ἅπαντάς τε τοὺς ἐν ἀξιώματι γαμηλίους κήρυκας ἀνάπτοντας καὶ μεγαλοπρεπῶς ἐστεμμένους ἐξ ὧν γνωρίζοιντο, καὶ τὴν νυμφαγωγὸν πανήγυριν ἀνυμνοῦντας· ὡς εἰκάσαι, μηδὲν τῶν ἐν ἀνθρώποις τῆς πομπῆς ἐκείνης σεμνοπρεπέστερον καθεστάναι. Ὁ μὲν οὖν Δημόφιλος, τὰ κατὰ Ῥώμην ἀναγράφων, Πλούταρχόν φησι τὸν Χαιρωνέα σαφῶς εἰπεῖν, ὡς διὰ ταύτην μόνην ἐσπείσαντο πρὸς ἀλλήλας ὁρετή τε καὶ τύχη. Ἐγὼ δ' ἂν φαίην, ὡς καὶ θεοσέβεια καὶ εὐδαιμονία ἐπὶ μόνῳ Μαυρικίῳ συνῆλθον, τῆς θεοσεβείας βιασαμένης τὸ εὐδαιμον, καὶ περιτρέπεσθαι παντάπασιν οὐκ ἐνδούσης. Ἐσπούδακε δὲ λοιπὸν, οὐκ ἐν τῷ σώματι μόνον, ἀλλὰ γὰρ καὶ ἐν τῇ ψυχῇ περιβαλέσθαι τὴν ἀλουργίδα τε καὶ τὸν στέφανον· μόνος καὶ γὰρ τῶν πρώην βασιλέων ἑαυτοῦ βεβασίλευκε· καὶ αὐτοκράτωρ ὄντως γενόμενος, τὴν τῶν παθῶν ὀχλοκρατείαν ἐκ τῆς οἰκείας ἐξεντελάτησε ψυχῆς· ἀριστοκρατίαν δὲ τοῖς ἑαυτοῦ κατεστήσατο λογισμοῖς, ζῶν ἀρετῆς ἄγαλμα ἑαυτὸν παρέσχετο, πρὸς μίμησιν ἐκπαιδεύων τὸ ὑπήκοον. Οὗτος

(1) Imperator rursus a prætura Philippico amoto Commentiolum Orientis prætorem dixit. Heraclius autem prosperatus in bello prætorem Persarum peremit, Asarthato vero peremptо fugiunt Persæ, et insequuntur Romani. (Diacon. lib. XVII.)

(2) Persæ a Romanis fugati, consilia adversus Hormisdam regem capiunt. Turcicum nomen tunc primum Asiæ auditum. (Egnat.)

(3) Paulus Diaconus, Turcis devictis Hormisdam adeo gloria et opibus crevisse scribit, ut deinceps annuum quadragiuta millium auri tributum a Turcis acceperit, quam summam ipse eis antea quotannis persolverat.

ἄπωθεν πόλιν ἑτέραν ἐγείρουσι περὶ τὰ ἐρυμνὰ καὶ δρεια μέρη· ὡς ἂν ἐπιτειχήσεις καὶ ἀντεπιχειρήσεις ἐκείνοις ἐργάζοιντο. Καὶ θερίζόντων μὲν τοῦτο ἐγίνετο· χειμῶνος δὲ ἐπελθόντος ἐλύοντο.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ Βαράμου τοῦ Πέρσου, καὶ τῆς κατὰ Ὁρμίσδα τοῦ Περσῶν βασιλέως ἐπιβουλῆς.

Καὶ τὸν μὲν Φιλιππικὸν ἀνήρ τις, Θρᾷξ γένος, Κομεντίολος ὄνομα, διεδέχετο, καὶ λαμπρῶς συμπλακεὶς Πέρσαις, μικροῦ ἂν καὶ διέφθαρτο σὺν τῷ ἵππῳ καταβραγείς, εἰ μή τις τῶν δορυφόρων ἐνὶ τῶν ἐπισυρομένων ἵππων ἐπιβιβάσας, τῆς μάχης ἐξῆγε· πρότροπάδην δὲ καὶ οἱ λοιποὶ ἀνακράτος ἔφευγον, πάντας τοὺς σφῶν ἡγεμόνας ἀποβαλόντες, καὶ κατὰ τὴν Νίσιβιν διασώζονται, τῷ σφῶν βασιλεῖ δεδιότες ἐπανελθεῖν· καὶ γὰρ προφθάσας θάνατον ἠπείλει, εἰ μὴ τοὺς ἡγεμόνας σφῶν λαμπρῶς διασώσωσιν. Ἐκεῖσε δὲ ἀθροισθέντες, καὶ τὴν κατὰ Ὁρμίσδου τυραννίδα ἐμμελετῶσι, καὶ Βαράμου τοῦ Περσῶν στρατηγοῦ τοῦτο βουλευομένου, σὺν τοῖς ἀμφ' αὐτὸν ἐκ τῆς τῶν Τούρκων συμπλοκῆς ἐπανήκοντος, ὡς ἐφεξῆς μοι τὰ περὶ τούτων εἰρήσεται. Ἐν δὲ τούτῳ Κομεντίολος τὴν Μαρτυρόπολιν περικαθήμενος, τοὺς μὲν πλείστους ἐκεῖσε ἀφίησιν· αὐτὸς δὲ σύναμά τισιν ἀριστίνδην ἐπιλεγεῖσι κατὰ Ὄχβας διαφερόντως ὀχυρώτατον φρούριον ἐκτρέχει, ἀντικρὺ Μαρτυροπόλεως κείμενον κατὰ τὴν ἀντιπέραν ὄχθην, ἐπί τινος ἀποτόμου σκοπέλου ὑπερκαθήμενον· ὅθεν ὃ καὶ ἄποπτος ἡ πᾶσα καθεστήκει πόλις. Καὶ πολιορκήσας καὶ μηδέν τι πεῖρας παραλιπὼν, ὡς καί τινα μέρη τοῦ ἐρύματος διὰ τῶν λιθοβόλων παρασκευάσαι πεσεῖν, ὑπερκαταβὰς, ἀνακράτος αἱρεῖ τὸ φρούριον· ὅθεν καὶ ἐν ἀπογνώσει Πέρσαις τὰ Μαρτυροπόλεως καθεστήκει. Τούτων δὲ ὧδε δρωμένων, Πέρσαι τὸν σφῶν βασιλέα Ὁρμίσδην τὸν Χοσρόου παῖδα, ὃν Χοσρόην Καβάδης ἐγέννα, κακῶς διεχρήσαντο, ἀδικώτατον πάντων βασιλέων γενόμενον· οὐ μόνον οἷς ἀδίκως ἐς τὰ χρήματα τὸ ὑπήκοον ἐζημίου, ἀλλ' ὅτι καὶ μηδὲν δέον, καὶ διαφόρων θανάτων ἰδέαι, ἀφειδῶς ἐκείνους καὶ τοῦ ζῆν ὑπεξῆγε. Παῖδα δὲ τὸν ἐκείνου Χοσρόην ἐπιβιβάζουσι τῇ ἀρχῇ. Ὅπως δὲ ταῦτα ἐγένετο, καλὸν ἡγοῦμαι ἄνωθεν διηγήσασθαι.

ΚΕΦΑΛ. Ιϑ'.

Περὶ τῆς τυραννίδος Βαράμου· καὶ ὡς ἀνῃρέθη Ὁρμίσδας ὁ Περσῶν βασιλεὺς ὑπὸ τοῦ σφετέρου υἱοῦ Χοσρόου.

Ὁρμίσδας μὲν γὰρ Βάραμον ἀξιολόγῳ καθοπλίσας δυνάμει, κατὰ Ῥωμαίων ἐξέπεμπε· Ῥωμαίοις δ' ἐκείνῳ ὑπαντιάζειν ἀντέπεμπεν αὖθις Μαυρι-

κος. Ἐπεγγελῶντα δὲ τὰ Ῥωμαίων τὸν Βάραμον, δέκα χιλιάδας μόνας τῶν πριστίνδην ἐξειλεγμένων λαῶν Ῥωμανὸς, ἔπεισιν ἀθρόον τῷ Πέρσῃ. Καὶ πολλῶν φόνων ἑκατέρωθεν γενομένων κατὰ τὴν τῆς Ἀλβανίας χῶραν, ἡνίκα μυσαχθεῖσα τὴν βάρβαρον, προστοιτᾷ τοῖς Ῥωμαίοις. Μαθὼν δὴ τὸν τοσαύτην ἥττταν Περσῶν Ὁρμίσδας ὁ σφῶν βασιλεὺς, ἀποχειροτονεῖ μὲν ἐκεῖνον τῆς ἡγεμονίας, γυναικείαν ἐπιπέμψας τούτῳ στολήν. Ὁ δὲ νεωτερίζειν ἐπιβάλλει, καὶ τυραννεῖν ἐπεχείρει· καὶ ἀνθυβρίζειν τὸν ὑβρίσαντα ἐπειρᾶτο, τοιάδε τῇ ἐπιστολῇ ἐπιγράφων· *Ὁρμίσδα τῇ θυγατρὶ Χοσρόου ὁ Βαράμ*· καὶ τὸν ὑπ' ἐκείνου ἀθρόως στρατὸν, εἰς ἀποστασίαν ἠρέθιζεν, ἐπίπλαστα σχεδὸν κατὰ πάντων Ὁρμίσδα ἐπιδεικνύμενος γράμματα, ὑπομιμνήσκων τε τὸ ἀπηνὲς αὐτοῦ καὶ τὸ εἰς χρήματα ἄπληστον· καὶ ὡς τοὺς ὑπερέχοντας πάντας, τοὺς μὲν ξίφει διήλασε, τοῖς δὲ τάφον τὸν Τίγρητα ἐσχεδίασε, τούτῳ κηδεύσας αὐτούς. Καὶ τούτοις τοῖς λόγοις ὑπαγαγὼν τὸν στρατὸν, εἰς τυραννίδα μεγίστην ἐμβέβικεν· καὶ ὅρκοις τὸν Βαράμ ὀχυρώσαντες, καθαιρεῖν Ὁρμίσδαν βουλὴν ἔθεντο. Ἐκεῖνος δὲ Φεροχάνην ἐπαφίησι τῷ Βαράμῳ σὺν πλήθει πολλῷ. Ὁ δὲ καὶ τοῦτον ὑπελθὼν, ὡς οὐ δεῖ Πέρσας ὄντας κατ' ἀλλήλων στρατεύειν, ἀλλ' εἰδέναι τὸ τραχύ τε καὶ βίαιον, πρὸς δὲ τὸ αἱμοχαρὲς καὶ ἄπληστον τοῦ Ὁρμίσδου· καὶ φίλα πρὸς ἀλλήλους φρονεῖν. Ἃ δῆτ' αἰσθόμενος ἀληθῆ ὁ στρατὸς εἶναι, τὸν μὲν Φεροχάνην ἀναιροῦσι, τῷ δὲ Βαράμῳ προστίθενται. Ἐντεῦθεν ὅσον ἀγυρτικὸν καὶ δημῶδες ἀθροισθέντες, ἐπιτίθενται τῷ Ὁρμίσδᾳ· καὶ τῆς κεφαλῆς ἀφελόμενοι τὸ διάδημα, κατασπῶσι τοῦ θρόνου· ἔπειτα ἐπ' ὄψεσιν ἐκείνου τήν τε γυναῖκα καὶ τὸν υἱὸν ἀναιροῦσιν. Ἐκείνου δὲ τοὺς ὀφθαλμοὺς ἀνορύξαντες, ἐξασφαλίζονται τῇ φρουρᾷ· καὶ τὸν υἱὸν ἐκείνου Περσῶν βασιλέα ἀναγορεύουσιν· ὃς μέχρι μέν τινος τῷ πατρὶ φιλοφρόνως διέκειτο, παραιτούμενος ὡς ἄκων τὴν ἀρχὴν ὑπέδυ· καὶ τὰ πρὸς χρείαν ἄρθονά γε τῷ Ὁρμίσδᾳ ἐπεχορήγει. Ὁ δὲ ὑβρίζων οὐκ ἀνίει τὸν παῖδα, διαρρίπτων καὶ ὅσα δὴ πέμψειεν. Ἀχθεσθεὶς δ' ἐπὶ τούτοις ὁ παῖς, ῥοπάλοις ἀγρίοις ἐκέλευεν ἀναιρεῖν· ὃ δὴ Πέρσαις μὲν διὰ λύπης γινόμενον, μῖσος κατ' ἐκείνου ἀνῆψεν οὐκ ἔλαττον.

A miserat. Varamus copiis Romanorum illusit. Romanus autem decem tantum fortissimorum lectissimorumque millibus acceptis, cum illo est congressus. Et multis utrinque cædibus patratis, in Albaniæ regione, victoria barbarum detestata, penes Romanos fuit. Quam suorum cladem, postquam Persarum rex Hormisdas intellexit, **833** præfecturæ dignitatem Varamo ademit, eidemque muliebrem stolam misit. Ille ad res novas animo adjecto, tyrannidem affectare, et convicia ei qui prior injuriam illi intulisset, pro conviciis reddere et epistolæ verba hæc inscribere : *Hormisdæ Chosroæ filiæ Varamus;* nec non exercitum sub signis suis merentem ad defectionem concitare, conflictas fere adversus omnes Hormisdæ nomine litteras B exhibens, crudelitatemque illius et pecuniæ insatiabilem cupiditatem in memoriam eis revocans; ut scilicet ille primarios viros omnes vel ferro occiderit, vel in Tigride amne submerserit, tali eos et sepultura et exsequiis ejusmodi dignatus. Sermonibus ejus generis exercitu seducto, ad maximam cum tyrannidem et rebellionem excitavit. Itaque juramento Varamo, quo tutior esset, præstito, adimendi Hormisdæ regni consilium inierunt. Hormisdas adversus hunc cum multitudine magna Pherochanem mittit. Quem et ipsum Varamus subit, minime Persas inter se belligerari oportere, sed eos durum et violentum imperium, et præterea sanguinarium ingenium, et inexplebilem avaritiam Hormisdæ scire, et benevolentiam C sibi invicem præstare debere, dicens. Quæ ubi vera esse exercitus Pherochanis sensit, ducem suum necat, et ad Varami partes accedit. Exinde confertim et populariter congregati, Hormisdam aggrediuntur : et diademate de capite ejus detracto, e regio throno deturbant. Mox in ipsius conspectu conjugem et filium unam jugulant, eumque oculis effossis in custodiam conjiciunt, et alterum filium ejus Persarum regem promulgant. Hic ad tempus aliquod, benignum se patri præbuit, et invitum se regnum suscepisse deprecando allegavit, affatimque victum ei subministravit. Pater vero contumeliis filium afficere, et projicere a se quæcunque ille mittebat, non intermisit. Qua re commotus Chosroes filius, rusticis fustibus patrem interimi jussit. Ea vero indignitas Persis dolorem incussit, et odium adversus illum non parvum excitavit.

ΚΕΦΑΛ. Κ'.

Ὡς ὁ νέος Χοσρόης φυγὰς ἐς Ῥωμαίους ἦλθε, καὶ τῇ Ῥωμαϊκῇ συνάρσει τὴν οἰκείαν ἀρχὴν ἀπελήλυθε.

Γνοὺς δὲ Χοσρόης Βάραμον ἐπιστρατεύοντα κατ' αὐτοῦ, μετ' ἀξιολόγου κατ' ἐκείνου ἔπεισι τῆς δυνάμεως ἔν τινι πεδίῳ τοῦ Ζαβᾶ ποταμοῦ. Ὁρῶν δὲ τοὺς οἰκείους ἑθελεκακοῦντας, καὶ Βαράμῳ μὲν προσκειμένους, ἐκείνῳ δὲ φρονοῦντας ἐπίβουλα, πολλοὺς διέχρήσατο· καὶ τοῦ πλήθους ταραχθέντος ἀνακράτος ἐπὶ τὸ Κιρκήσιον ἔφευγε σύνταμα γυναικὶ καὶ τέκνοις δυσὶ νεογνοῖς, καί τισι Περσῶν εὐγενείᾳ τῶν πολλῶν διαφέρουσιν, οἳ ἐθέλονται τούτῳ ἕπεσθαι.

D

834 CAPUT XX.

Ut Chosroes junior ad Romanos profugerit, eorumque auxiliis regnum suum recuperarit.

Porro Chosroes, quandoquidem Varamum adversus se exercitum ducere cognovit, cum copiis non contemnendis adversus eum in planitiem quamdam, ad Zabam flumen, est progressus. Sed enim cum suos sponte sua cedentes Varamo favere, et sibi insidias struere vidit, multos occidit : et tumultu in exercitu moto, celeriter ad Circesium profugit, una cum conjugibus, et liberis duobus infantibus, et Persis præterea quibusdam

nobilitate generis præcellentibus, qui voluntate sua eum secuti fuerant. Ad eum autem locum, quemadmodum ipse retulit, pervenit, cum Christianorum Deum servatorem et viæ ducem invocasset : eo se equum recta ire, quo ab illo duceretur, permissurum testatus. Inde ad Mauricium oratores misit, Probo insuper, ut res acta esset, litteris eidem indicante. Misit sane et Varamus ad imperatorem legationem, quæ ab eo, ne opem Chosroæ ferret, petebat. At Mauricius, qui humanarum rerum statum instabilem, et cothurnum prorsus esse sciret, et vicissitudines volubilesque mutationes humanæ et miserabilis hujus vitæ nosset, atque hæc recte in animo suo deliberando perpenderet, regem sibi supplicem perhumaniter et libenter suscipit (1) : et pro exsule atque fugitivo, amicum sibi et filium per arrogationem germanum facit (2), donis regiis et liberalitate benignitateque reliqua prolixe invitatum. Nec ipse modo ad eum imperiali munificentia quæ decebat misit, sed et Augusta ipsa conjugibus ejus, et liberi liberis eamdem præstiterunt pietatem. Neque officiis iis contentus, Hierapolim quoque ad exercitum universum et ducem ejus Commentiolum scripsit qui Chosroen regio prorsus satellitio et comitatu produceret, et quocunque vellet sequeretur. Atque ut majorem ei honorem haberet, Melitinensem quoque antistitem Domitianum, cognatum suum, ad eum legavit, virum prudentia mentisque solertia multis anteeuntem, verbisque simul et factis præstantem, et ad negotia maxima conficienda commodum. Adjunxit huic Antiochenæ sedis præsidem Gregorium. Qui ambo Chosroen verbis, muneribus, tempestivisque colloquiis et suasionibus ad stuporem et consternationem compulerunt. Chosroes ubi Hierapolim, quæ principem locum in Euphratesia obtinet, pervenit, in regnum inde rediit, **835** cum id e re ejus Mauricius esse censeret, qui majorem gloriæ et laudis suæ partem, ex commodo et utilitate supplicis regis est mensus. Magna certe pecuniæ vi, quod nunquam a quopiam in litteras relatum est, donatum Chosroen, quibusdam etiam Persis impensis suis in militiam ejus conductis, sane quam magnifice in Persidem remisit, cum utroque exercitu, Persico simul et Romano. Narses Romanis copiis præfuit (3) : qui cum Persis prælio congressus, sexaginta millia Persarum manu cepit, eosque ad Chosroen adductos hastilibus confixit. Ex iis si qui Turci erant, eos Chosroes imperatori Byzantium misit. Porro Romanæ copiæ, Varamo qui turpiter ex pugna solus profugit, debellato, regnum suum Chosroæ in manus tradiderunt, eumque in regiam suam deduxerunt. Is in throno suo considens, Romanis audientibus verba hæc prolocutus est : Rex Chosroe, diei hujus perpetuo te

(1) Contigit autem ut eum Probus patricius, qui illic erat, susciperet. (Diac.)

(2) Filium suum sibi Chosroen regem Persarum Mauricius faciens. (Diac.)

(3) Narses Rom. dux Chosroæ opem ferens, Varamum vincit.

Ἐκεῖσε δὲ παρεγένετο, ὡς γε αὐτὸς διηγήσατο, τὸν τῶν Χριστιανῶν Θεὸν σωτῆρα καὶ ὁδηγὸν ἐπικαλεσάμενος· κἀκεῖσέ τε τὸν ἵππον ἀνεῖναι ὁμόσε χωρεῖν, ἔνθα ἂν πρὸς αὐτοῦ ὁδηγοῖτο· ἐκεῖθέν τε πρὸς Μαυρίκιον πρεσβείαν ἐστελλε, Πρόβου ὡς ἔσχε τὰ συμβάντα μηνύοντος. Στέλλει δὲ καὶ Βαράμ πρέσβεις πρὸς βασιλέα. Ἡ δὲ πρεσβεία μὴ Χοσρόῃ συμμαχεῖν αἱρεῖσθαι ἐδεῖτο. Μαυρίκιος δὲ τὸν ἀσταθῆ καὶ κόθορνον βίον εἰδώς, τάς τε παλιρροίας καὶ τὰς ἀγχιστρόφους μεταβολὰς τῆς ἀνθρωπίνης καὶ ταλαιπώρου ζωῆς, καὶ ταῦτ' ἐν νῷ καλῶς θέμενος καὶ σταθμήσας, δέχεται τὸν ἱκέτην, καὶ γνησίως μάλα προσίεται· καὶ ἀντὶ φυγάδος καὶ αὐτομόλου φίλον τε γνήσιον καὶ παῖδα ποιεῖται, ἀναλόγοις τοῖς δώροις δεξιωσάμενος, καὶ τῇ λοιπῇ φιλοφροσύνῃ. οὐ μόνος αὐτὸς βασιλικῶς ἀποστείλας τὰ δέοντα, ἀλλὰ καὶ τῆς βασιλίδος ἐπίσης ταῖς ἐκείνου γυναιξὶ καὶ τῶν παίδων πρὸς τοὺς παῖδας διατεθέντων. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ κατὰ τὴν Ἱεράπολιν τόν τε στρατὸν σύμπαντα καὶ τὸν στρατηγὸν Κομεντίολον ἔπεμπε, σὺν βασιλικῇ δορυφορίᾳ προπέμψοντα, καὶ αὐτῷ οἱ ἑψόμενον οἷ ἂν ἕλοιτο. Μείζονα δὲ τὴν τιμὴν παρασκευάζων αὐτῷ, καὶ τὸν τῆς Μελιτινῆς πρόεδρον πρὸς γένος ὄντα τῷ Μαυρικίῳ ἔπεμπεν, ἄνδρα φρενήρη τε καὶ ἀγχινοίᾳ τῶν πολλῶν διαφέροντα, λόγῳ τε καὶ ἔργῳ μάλιστα ἱκανώτατον, καὶ τοῖς τῶν πραγμάτων μεγίστοις ἀνυσιμώτατον. Παραζεύγνυσι δὲ αὐτῷ καὶ τὸν τῆς Ἀντιόχου ἐπέχοντα θρόνον Γρηγόριον. Οἳ δὴ καὶ ἄμφω Χοσρόην κατέπληξαν λόγοις, δώροις, ταῖς προσφόροις τῶν ὁμιλιῶν τε καὶ εἰσηγήσεσιν. Ἄχρι δὲ τῶν Ἱεραπολιτῶν γενόμενος ὁ Χοσρόης, ἥ τῆς Εὐφρατησίας προκάθηται, αὖθις ἐπανῆκε· τοῦτο καὶ Μαυρικίου συμφέρον εἶναι διεγνωκότος, καὶ τό γε πλέον τῆς σφετέρας δόξης ἐς ὃ γε συνοῖσον ἐδόκει τῷ ἱκέτῃ ἐνδόντος. Ἀφθόνοις δὲ χρήμασι δεξιωσάμενος τὸν Χοσρόην, ὃ μήπω τις ἱστόρησε, καί τινας Πέρσας στρατολογήσας, ταῖς οἰκείαις ἐπιδόσεσι περιφανῶς τὸν Πέρσην ἐξέπεμπε μεθ' ἑκατέρου στρατοῦ Περσικοῦ τε ἅμα καὶ Ῥωμαϊκοῦ· Ναρσῆ τῶν Ῥωμαίων ἡγουμένου, ὃς ἑξήκοντα μόνον χιλιάδας συμβαλὼν Πέρσαις, ζωγρίας εἷλεν· οὓς Χοσρόῃ προσαγαγὼν δόρατι κατηκόντισεν· ὅσοι δ' ἐκείνων ἐκ Τούρκων ἦσαν, βασιλεῖ Χοσρόῃ κατὰ τὸ Βυζάντιον ἔπεμπεν. Ὁ δὲ τῶν Ῥωμαίων στρατὸς τὸν Βαράμ καταγωνισάμενος, ἀκλεῶς τῇ συμπλοκῇ μόνον φυγῇ χρησάμενον, Χοσρόῃ τὴν ἰδίαν ἀρχὴν ἐγχειρίζουσιν· ἄχρις αὐτῶν τῶν βασιλείων προπέμψαντες, ὕστατον πάντων ἐπειπόντος ἐκείνου τῷ ἰδίῳ θρόνῳ ἐνδρυθέντος, « Βασιλεῦ Χοσρόη, χρεών σε τῆς ἡμέρας ταύτης ἀεί ποτε μνείαν κεκτῆσθαι, καὶ ἐν νῷ ἔχειν, ὅτιπερ Ῥωμαῖοι σοὶ τὴν Περσῶν βασιλείαν προῖκα χαρίζονται. » Τὰς δ' ἐκ Περσῶν ἐπιβουλὰς δεδοικὼς Χοσρόης χιλίους Ῥωμαίους ᾔτει Μαυρίκιον. Ὁ δὲ φίλα φρονῶν, τὸ αἴτημα ἐξεπέρανεν. Ἀνεσκολοπίζετο δὲ καὶ Σίττας πρὸς τῶν Περσῶν· καὶ τῶν Μαρτύρων ἡ πόλις Ῥωμαίοις

αὖθις ἐνεχειρίζετο· ἀλλὰ μὴν καὶ τὸ Δάρας φρούριον ὑπεξελθόντων Περσῶν. Τοὺς δὲ Πέρσας οὓς Χοσρόης ἀνὰ τὸ Βυζάντιον ἔπεμπε, τηκτῷ μέλανι κατεστίκτους σταυροὺς τοῖς μετώποις ἐντετηκότας ὁρῶν ἔχοντας, πυθόμενος βασιλεὺς, ὅτου χάριν τούτους ἐμφέρονται μὴ σεβόμενοι, ἔφασκον πρὸ πολλοῦ λιμὸν ἐν Περσίδι ἐπισκῆψαι βαρύν· ὑφ' οὗ πολλῶν φθειρομένων, τῶν τινας ἐκεῖσε Χριστιανῶν ὑποθέσθαι τοῦτο ποιοῦντας, σωτηρίαν περίζεσθαι, καὶ ἀθιγῆ κακῶν τὴν χώραν γενέσθαι. Ὃ καὶ ἐγένετο· καὶ τὰ μὲν κατὰ τὸν Ὁρμίσδαν καὶ Χοσρόην τοὺς Πέρσας ἐς τοῦτο ἔληξε τέλους.

A meminisse, atque hoc in animo tecum considerare oportebit, quod Romani regnum tibi Persarum dono dant (1). Chosroes ab insidiis sibi Persarum metuens, mille a Mauricio Romanos milites petiit : quos ei ille benigne attribuit. Sittas exinde a Persis in crucem est actus. Et Martyropolis, atque item Daras castellum, decedentibus ex eo Persis, Romanis redditum. Turcos, quos Chosroes Constantinopolim miserat, stigmaticos liquato atramento cruces in frontibus impressas imperator habere videns, interrogavit, quanam gratia quæ non colerent circumferrent signa? Illi, gravem ante plures annos in Perside et patria sua pestem coortam esse dixerunt, a qua cum multi mortales infecti interirent, Christianos quosdam, qui ibi fuere, hominibus, si hoc fecissent, saluti suæ consulturos esse, regionemque eam a lue tali intactam liberamque fore persuasisse. Idque ita esse ab eis factum Res Hormisdæ et Chosroæ Persarum ejusmodi habuere exitum.

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῶν πεμφθέντων σταυρῶν παρὰ Χοσρόου Γρηγορίῳ τῷ Θεουπόλεως· καὶ ἃ περὶ τούτων ἔγραψε.

B 836 CAPUT XXI.

De crucibus a Chosroe Gregorio Theopolitano missis, et quæ de eis illi scripserit.

Ἤδη δ' ἐγκρατὴς Χοσρόης καὶ ἐν κατασχέσει τῆς ἴδιας ἀρχῆς γεγονὼς, Γρηγορίῳ τῷ Θεουπόλεως ἔπεμπε τὸν σταυρὸν ἐκεῖνον ὃν Θεοδώρα ἡ Ἰουστινιανοῦ γαμετὴ χρυσῷ πολλῷ καὶ λίθοις διαφανέσι κοσμήσασα, τιμῶσα τὸν ἐν μάρτυσιν ἀθλοφόρον Σέργιον ἀνετίθει. Χοσρόης δ' ὁ Ὁρμίσδου πατὴρ ἐλήϊσατο παρακαθίσας τὴν πόλιν σὺν τοῖς λοιποῖς κειμηλίοις· ὡς ἤδη μοι ἀφηγουμένῳ τῇ πρὸ ταύτης ἱστορίᾳ καλῶς διεδήγηται. Σὺν αὐτῷ δὲ καὶ ἕτερον σταυρὸν ἔπεμπεν, ὃν αὐτὸς Χοσρόης διεσκευάσατο, χρυσὸν οὐκ ἐλάχιστον ἐμβαλών· ἐν ᾧ καὶ γράμμασιν Ἑλληνικοῖς τοιάδε ἐπέγραψεν· « Τοῦτον τὸν σταυρὸν C ἐγὼ Χοσρόης βασιλεὺς βασιλέων, υἱὸς Ὁρμίσδου, ὅτι ἐκ διαβολικῆς ἐνεργείας καὶ κακουργίας τοῦ δυστυχεστάτου Βαράμου καὶ τῶν σὺν αὐτῷ Καβαλλαρίων εἰς Ῥωμανίαν ἀπήλθομεν, καὶ διὰ τὸ ἔρχεσθαι τὸν δυστυχῆ Ζαδεπρὰμ μετὰ στρατοῦ εἰς τὴν Νίσιβιν ἐπὶ τῷ ὑποσύραι τοὺς Καβαλλαρίους τοῦ μέρους τοῦ Νίσιβι, εἰς τὸ ἀντᾶραι καὶ καταῤῥάξαι, ἐπέμψαμεν καὶ ἡμεῖς Καβαλλαρίους μετὰ ἄρχοντος εἰς τὸ Χαρχάς· καὶ διὰ τῆς τύχης τοῦ ἁγίου Σεργίου τοῦ πανσέπτου καὶ ὀνομαστοῦ, ἐπειδὴ ἠκούσαμεν δοτῆρα εἶναι αὐτὸν τῶν αἰτήσεων, ἐν τῷ πρώτῳ ἔτει τῆς βασιλείας ἡμῶν μηνὶ Ἰανουαρίῳ ἑβδόμῃ, ᾐτησάμεθα ὡς ἐὰν οἱ Καβαλλάριοι σφάξωσι τὸν Ζαδεπρὰμ ἢ χειρώσωνται, σταυρὸν χρυσοῦν διάλιθον εἰς τὸν οἶκον αὐτοῦ πέμπομεν, διὰ τὸ πάνσεπτον αὐτοῦ ὄνομα. Καὶ τῇ ἐνάτῃ τοῦ Φεβρουαρίου μηνὸς, τὴν κεφαλὴν τοῦ Ζαδεπρὰμ ἤνεγκαν ἐπὶ ἡμῶν. Ἐπιτυχόντες οὖν τῆς δεήσεως ἡμῶν, διὰ τὸ ἕκαστον ἀναμφίβολον εἶναι, εἰς τὸ πάνσεπτον αὐτοῦ ὄνομα τοῦτον τὸν σταυρὸν τὸν παρ' ἡμῶν γενόμενον, μετὰ τοῦ πεμφθέντος σταυροῦ παρὰ Ἰουστινιανοῦ βασιλέως Ῥωμαίων εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῶν καιρῶν τῆς ἀμιξίας τῶν δύο πολιτειῶν ἐνεχθέντος ἐνταῦθα παρὰ Χοσρόου βασιλέως

Chosroes, in possessionem regni sui restitutus, Gregorio Theopolitano crucem illam misit, quam Theodora Justiniani uxor auro multo et lapillis resplendentibus ornatam, in honorem victoris martyris Sergii Deo dedicaverat, et Chosroes Hormisdæ pater una cum aliis donariis vasisque pretiosis e Sergiopoli, secum abstulerat : sicuti antea a me recte est dictum. Cum ista aliam quoque crucem misit, quam Chosroes ipse ex ingenti auri pondere fieri curaverat, cum ejusmodi Græcarum litterarum inscriptione : « Crucem hanc Chosroes rex regum, filius Hormisdæ, quo tempore propter diabolicum instinctum et dolum malum perditissimi Varami, et qui cum eo fuere Caballariorum, in Romaniam concessimus : et quod perditus Zadepram cum exercitu Nisibim veniret, abducendorum Nisibenæ partis Caballariorum gratia, ut nobis resisterent, et oppugnando rebellarent, nos quoque Caballarios cum duce suo in Charchas misimus, et propter sancti Sergii, venerandi illius et celebris viri fortunam, quandoquidem datorem eum esse votorum atque petitionum audieramus, primo regni nostri anno, mensis Januarii die septimo, votum nuncupavimus, si Caballarii nostri Zadepram occidissent, aut cepissent, crucem aureum nos lapillis distinctam in ædem Sergii, venerandi nominis ejus ergo, missuros esse. Porro cum nono Februarii mensis die caput Zadepram ad nos allatum fuerit, voti rei, et optati nostri compotes facti, ut manifestum id certumque cuivis sit, in venerandum ejus nomen, crucem hanc a nobis factam, una cum cruce a Justiniano Romanorum imperatore in templum ejus missa, et belli tempore, quod inter duo hæc regna gestum est, a Chosroe rege regum, filio Cabadæ proavi nostri huc delata, et inter thesauros nostros re-

(1) Verum Narses rediturus ad propria, Chosroæ dixit, *Memor sis, Chosroe, præsentis diei : Romani tibi regnum donant.* (Diac.)

perta, in ædem venerandi Sergii misimus. » Cum hac inscriptione Chosroes cruces misit : quas Gregorius ad se allatas, et de Mauricii sententia acceptas, cum pompa et comitatu multo, observanter simul et religiose in templo martyris sacravit et reposuit, nihil prorsus ab ethnicis donariis Ecclesiam detrimenti capere arbitratus.

837 CAPUT XXII.

De donis quæ idem Chosroes maximo martyri Sergio misit.

Non longe autem post, Chosroes etiam alia munera fabrefacta, et in sacrum sancti martyris delubrum missa, atque discum etiam non paucarum minarum ponderis aureum, cui sermone Græco ejuscemodi inscripsit litteras, donavit : « Ego Chosroes rex regum, filius Hormisdæ, hæc disco isti inscripsi : non ut ab hominibus spectentur, neque ut verbis meis magnitudo venerandi nominis tui innotescat, sed propter scripti ipsius veritatem, et plures gratias, pluraque benefacta a te in me profecta (1). Felicitatis enim loco mihi est, ut nomen meum in sacris tuis vasis circumferatur (2). Cum essem in Beramis, petii a te, vir sancte, ut in auxilium mihi venires, et Sira in utero conciperet. Et quandoquidem Sira Christiana, ego autem Græcæ superstitionis sectator essem, et leges nostræ nobis libertatem uxorem eam habendi non permitterent, propter meam erga te benevolentiam, ejus gratia leges ipsas despexi, eamque de die in diem inter conjuges vero sinceroque amore habui et habeo. Atque ita mihi visum est, bonitatem tuam, vir sancte, implorare, ut hæc in utero conciperet. Petii hoc a te, et voto constitui : si uterum gestaret Sira, ut crucem quam illa circumfert, venerando templo tuo inferrem. Verum ejus rei gratia ego et Sira consilium cepimus, ut monumentum nominis tui, vir sancte, apud nos esset, crucem eam retinere : statuimusque pro ea, et pretio æstimationeque ejus, quater mille et quadringentos stateres miliaresios non excedente, quinquies mille stateres mittere. Et ex quo apud me ipsum votum tale concepi, atque hæc in animo volutavi, quoadusque Rosochosrum pervenimus, non plures quam decem intercessere dies. Et tu, vir sancte, non quod ego dignus fuerim, sed quod ea tua sit benignitas, in somnis mihi noctu apparuisti, tertiumque ad me, quod Sira ventrem gestatura esset, dixisti. Et ego in eadem ipsa visione tertium tibi respondi, Recte : proinde quod præstare vota petitionesque soleas, ex eo die Sira, id quod feminis accidere consuevit, non vidit. Ego vero mecum ipse de hoc ambigens, si verbis tuis fidem non haberem, et propterea quod sanctus sis, datorque votorum, non

(1) Evagr. lib. VI, cap. 21.
(2) Quæ hic divo Sergio Chosroes gentilis tribuit, ea Christiani Uni Deo, in quo spes et opes suas omnes collocant, tribuunt.

βασιλέων υἱοῦ Καβάδου τοῦ ἡμετέρου πατρὸς, καὶ εὑρεθέντος ἐν τοῖς ἡμετέροις θησαυροῖς, ἐπέμψαμεν ἐν τῷ οἴκῳ τοῦ πανσέπτου Σεργίου.» Ταῦτα γράψας Χοσρόης, ἀπέστειλε τοὺς σταυρούς· οὓς Γρηγόριος Μαυρικίου γνώμῃ λαβὼν, σὺν πομπῇ καὶ δορυφορίᾳ πολλῇ, ἐς τὸ ἱερὸν τοῦ μάρτυρος σεμνῶς ἅμα καὶ εὐλαβῶς ἀνετίθει οὕτως ἔχοντας, μηδὲν οἰόμενος ἐντεῦθεν τῇ τῆς Ἐκκλησίας δόξῃ λυμαίνεσθαι τοῖς ἐθνικοῖς ἀναθήμασιν.

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τῶν δώρων Χοσρόου ἃ τῷ μεγίστῳ μάρτυρι Σεργίῳ ἀπέστειλε.

Οὐκ εἰς μακρὰν δὲ Χοσρόης καὶ ἕτερα δῶρα ἐξεργασάμενος, πέμπων τῷ θείῳ σηκῷ τοῦ ἱεροῦ μάρτυρος ἐχαρίζετο, καί τινα δίσκον χρυσοῦν ὀλκὴν μνῶν οὐκ ἐλαχίστην ἔλκοντα· ἐν ᾧ Ἑλλήνων φωνῇ τὰ τοιάδε τῶν γραμμάτων ἐπέγραψεν· « Ἐγὼ Χοσρόης βασιλεὺς βασιλέων υἱὸς Ὁρμίσδου τὰ ἐν τῷδε τῷ δίσκῳ γεγραμμένα οὐκ εἰς θέαν ἀνθρώπων, οὐδὲ ἵνα ἐκ τῶν λόγων μου τὸ μέγεθος τοῦ πανσέπτου ὀνόματός σου γνωσθῇ, ἀλλὰ διὰ τὴν ἀλήθειαν τῶν γεγραμμένων, καὶ διὰ τὰς πολλὰς χάριτας καὶ εὐεργεσίας ἃς ἔσχον παρὰ σοῦ. Εὐτυχία γάρ μοί ἐστιν, ἵνα τὸ ἐμὸν ὄνομα ἐμφέρηται τοῖς ἱεροῖς σου σκεύεσιν. Ἐν τῷ εἶναί με ἐν τῷ Βεραμὶς, ᾐτησάμην παρὰ σοῦ, ἅγιε, ἐλθεῖν εἰς τὴν βοήθειάν μου, καὶ ἐν γαστρὶ συλλαβεῖν Σιρήν. Καὶ ἐπειδὴ ἡ Σιρὴ Χριστιανή ἐστι, κἀγὼ Ἕλλην, ὁ ἡμέτερος δὲ νόμος ἄδειαν ἡμῖν οὐ παρέχει Χριστιανὴν ἔχειν γαμετήν· διὰ γοῦν τὴν ἐμὴν πρὸς σὲ εὐγνωμοσύνην εἰς ταύτην τὸν νόμον παρεῖδον· καὶ ταύτην ἐν γυναιξὶν ἡμέραν ἐξ ἡμέρας ἐν γνησιότητι ἔσχον καὶ ἔχω. Καὶ οὕτως συνεῖδον νῦν δεηθῆναι τῆς σῆς ἀγαθότητος, ἅγιε, ἐν γαστρὶ συλλαβεῖν ταύτην. Καὶ ᾐτησάμην καὶ συνεταξάμην, ἵνα, ἐὰν ἐν γαστρὶ συλλάβῃ Σιρὴ, τὸν σταυρὸν τὸν φορούμενον παρ' αὐτῆς πέμψω τῷ πανσέπτῳ σου οἴκῳ. Καὶ τούτου ἕνεκα κἀγὼ καὶ Σιρὴ τὸν σκοπὸν τοῦτον ἔχομεν, ἵνα εἰς μνημόσυνον τοῦ ὀνόματός σου, ἅγιε, τοῦτον τὸν σταυρὸν κρατῶμεν. Καὶ συνεῖδομεν ἀντ' αὐτοῦ τὴν τιμὴν αὐτοῦ, μὴ συντείνουσαν περαιτέρω τῶν τετρακισχιλίων τετρακοσίων σταθμῶν μιλιαρησίων, πενταχισχιλίους στατῆρας ἐκπέμψαι. Καὶ ἐξ οὗ τὴν τοιαύτην ἐν ἑαυτῷ ἔσχον αἴτησιν, καὶ ταῦτα διελογισάμην, ἕως οὗ ἐφθάσαμεν τὸ Ῥοσοχοσρὸν, δέκα ἡμέραι πλέον οὐ διῆλθον· καὶ σύ, ἅγιε, οὐ διὰ τὸ εἶναί με ἄξιον, ἀλλὰ διὰ τὴν σὴν ἀγαθότητα, ἐφάνης μοι ἐν ὁράματι τῆς νυκτός· καὶ τρίτον εἶπάς μοι, ὅτι Σιρὴ ἐν γαστρὶ ἕξει. Κἀγὼ ἐν αὐτῷ τῷ ὁράματι τρίτον ἀνταπεκρίθην σοι λέγων· Καλῶς· καὶ διὰ τὸ εἶναί σε δοτῆρα τῶν αἰτήσεων, ἐκ τῆς ἡμέρας ἐκείνης ἡ Σιρὴ τὸ εἰθισμένον τοῖς γυναιξὶν οὐκ εἶδεν. Ἐγὼ δὲ διστάσας εἰς τοῦτο, εἰ μὴ τοῖς λόγοις σου ἐπίστευσα, καὶ ὅτι ἅγιος εἶ καὶ δοτὴρ τῶν αἰτήσεων, μετὰ ταῦτα τὰ γυναικεῖα μὴ ὑπομεῖναι, ἐκ τούτου ἔγνων τὴν δύναμιν τοῦ ὁράματος, καὶ τὴν τῶν παρὰ σοῦ ῥηθέντων ἀλήθειαν.

Παραυτὰ οὖν ἔπεμψα τὸν αὐτὸν σταυρὸν καὶ τὴν τούτου τιμὴν ἐν τῷ πανσέπτῳ σου οἴκῳ, κελεύσας ἐκ τῆς τούτου τιμῆς δίσκον ἕνα καὶ ποτήριον γενέσθαι εἰς λόγον τῶν θείων μυστηρίων. Ἀλλὰ μὴν καὶ σταυρὸν γενέσθαι, καὶ πηχθῆναι ὀφείλοντα ἐπὶ τῆς ἁγίας τραπέζης, καὶ θυμιατήριον, τὰ πάντα χρυσᾶ· καὶ ἀμφίθυρον Οὐννικὸν κεκοσμημένον χρυσίῳ· καὶ τὰ ἀπομένοντα τῆς τιμῆς μιλιαρήσια εἶναι τοῦ ἁγίου σου οἴκου· ἵνα διὰ τῆς τύχης σου, ἅγιε, εἰς πάντα, ἐξαιρέτως δὲ εἰς τὴν αἴτησιν ταύτην, ἔλθῃς εἰς τὴν βοήθειάν μου καὶ Σιρῆς· καὶ ὁ διὰ τῆς σῆς πρεσβείας γέγονεν ἡμῖν τῷ ἐλέει τῆς σῆς ἀγαθότητος, καὶ τῷ θελήματί μου καὶ Σιρῆς, εἰς τέλειον προέλθῃ· ἵνα κἀγὼ καὶ Σιρὴ καὶ πάντες οἱ ἐν τῷ κόσμῳ εἰς τὴν σὴν δύναμιν ἐλπίζωμεν καὶ εἰς σὲ ἔτι πιστεύωμεν.» Ταῦτα μὲν τὰ παρὰ Χοσρόου ἀναθήματα ἤγγελλε, τῆς Βαλαὰμ προφητείας οὐκ ἐνδεᾶ, τοῦ παναγάθου Θεοῦ λόγοις ἀῤῥήτοις ταῦτα οἰκονομήσαντος, γλώσσας Ἑλλήνων, τοιαῦτα σωτηριώδη καὶ πιστεῦσαι καὶ φθέγξασθαι ῥήματα.

A credererem, **838** quod posthac Siræ muliebria fluere essent desitura, ex eo visionis efficaciam, et verborum tuorum veritatem cognovi. Itaque eam ob causam, et crucem talem, et pretium ejus in sacrosanctam ædem tuam misi. Et ex eo pretio discum unum et poculum in rationem divinorum mysteriorum, atque item crucem quæ in sacra mensa figeretur, et turibulum, aurea omnia : et amphithyrum Hunnicum (1) auro ornatum, fieri præcepi. Quæ vero ex ejusmodi æstimatione reliqua essent miliaresia, sancto templo tuo dicavi : ut per prosperantem fortunam tuam, vir sancte, in rebus omnibus, præcipue vero in petitione ista, mihi et Siræ auxilium feras : et quod intercessione tua nobis obtigit, ut pro bonitatis tuæ misericordia, et pro mea atque Siræ voluntate, ad finem debitum perveniat : ut scilicet et ego et Sira, atque adeo universi in mundo homines in virtutem tuam speremus, atque in te credamus. » Hæc Chosroæ donaria ita renuntiabant, a proinetfabili quadam ratione, hæc sic dispensante, ut per Græcorum sive ethnicorum linguas tam salutaria et crederentur, et proferrentur verba.

B

phetia Balaam non dissidentia : Deo Opt. Max.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ Νααμάνου τοῦ Σαρακηνῶν ἄρχοντος, ὅπως ἠσπάσατο τὰ Χριστιανῶν.

Ὅτε τοιγαροῦν Χοσρόης τὰ τοιαῦτα ἔγραφέ τε καὶ ἔπεμπε, καί τις Νασμάνης τῶν Σκηνητῶν βαρβάρων τὴν ἐπιτροπὴν τῆς ἡγεμονίας κεκληρωμένος, ἀσελγὴς καὶ ἐξάγιστος, μιαρός τε αὖ καὶ παμμίαρος καὶ μιαρώτατος, Ἕλλην τὸ σέβας, ὡς καὶ ἀνθρώπους αὐτοχειρὶ σφάττειν, καὶ τοῖς αὐτῷ θρησκευομένοις κατὰ τῶν βωμῶν ἐπιθύειν, παρὰ δόξαν θείῳ τρωθεὶς ἔρωτι, τὰ Χριστιανῶν ἐκ παραδόξου θέας ἑλόμενος, τῷ θείῳ λουτρῷ πρόσεισι, καὶ τὴν ἡμερινὴν ἀνάπλασιν ἀναπλάττεται· καὶ σὺν αὐτῷ καὶ τοὺς ἀμφ' αὐτὸν ἅπαντας εἰς πολύ τι πλῆθος καὶ ἀστάθμητον ὄντας, τῷ θείῳ προσάγει βαπτίσματι, πάντα ὅσα τῇ θρησκείᾳ προσήκοντα ἐκμανθάνοντας. Μετὰ δὲ τὸ δοῦναι Χοσρόῃ τοὺς εἰρημένους σταυρούς, Γρηγόριος νεύματι τοῦ κρατοῦντος τὴν πανέρημον διελθών, ἣ τῶν Λιμητῶν ὄνομα ἔσχε, καὶ τὰ ἐκεῖσε πάντα περινοστήσας, τὰ Σευήρου ἐξήλαυνε δόγματα τοῖς ἐκείνου μέρεσιν ἐπιχωριάσαντα· τὰ δὲ ὑγιῆ τῆς Ἐκκλησίας παρετίθετο εἰσηγούμενος· πολλά τε ἐντεῦθεν φρούρια τε καὶ κώμας, φυλάς τε παμπληθεῖς, κλήρους τε ἅμα καὶ μοναστήρια. τῇ ἀληθεῖ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ ταῖς διδασκαλίαις προσήγαγεν.

C

D

CAPUT XXIII.

De Naamano Saracenorum principe, quomodo Christianismum sit complexus.

Cum Chosroes talia scriberet, et mitteret, Naamanes etiam Scenitarum barbarorum scelestus dux, luxuriosus, impurus, seu potius omnium impurissimus, ethnicæ superstitioni deditus vir, ita ut sua ipse manu homines mactaret, atque diis suis ad aras immolaret, præter opinionem divino captus amore, per inopinatam visionem ad Christianorum sacra transiit : et sacro suscepto lavacro, regenerationem temporalis nativitatis atque renovationem cœlestem subiit : et secum populares suos omnes multitudine innumerabili, quæcunque ad religionem nostram pertinent edoctos, ad divinum adduxit baptismum. Postquam autem Chosroes eas quas diximus cruces dedicavit, **839** Gregorius nutu divino solitudinem quæ Limetarum nomen habuit, peragrans, et loca ibi omnia circumiens, Severi dogmata, quæ in eis partibus invaluerant, exterminavit, et sana doctrina ecclesiis proposita, multa castella et vicos populosque frequentes, clerum simul et monasteria, ad veram orthodoxorum et recte sentientium Ecclesiæ disciplinam adduxit.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τοῦ ἁγίου Συμεὼν τοῦ Θαυμαστορείτου.

Ἐν τούτῳ δὲ ἀγγέλλεται οἱ Συμεώνην τὸν ἐν τῷ θαυμαστῷ ὄρει τὴν ἐπὶ θάνατον νόσον νοσεῖν, καὶ πρὸς ταῖς ἐσχάταις εἶναι ἀναπνοαῖς· καὶ ὃς ὅλος

CAPUT XXIV.

De sancto Symeone Thaumastorita, hoc est, mirandum montem incolente.

Interea ei Symeonem illum in admirando monte lethaliter decumbere, et extremum spiritum ducere, nuntiatum est. Itaque pleno cursu supremis

(1) Amphithyrum Hunnicum, judicio meo, carceres sive cancelli sunt, sacratiorem aræ mensam vel circumdantes, vel populum ab ea arcentes, in quorum parte utraque janua sit, et aditus ad eam ferens, operis Hunnici.

verbis virum sanctum salutaturus, ad eum contendit. Minime vero desiderio suo est potitus. Symeones (1) autem iste admodum ætatis suæ homines virtute superavit, quippe qui ab ineunte ætate vitæ genus in columnæ statione transigendæ consectatus sit. Perhibetur sane primos dentes in columnæ statione mutasse, in quam ejuscemodi ob causam ascendit. In tenera adhuc valde ætate erat, et ludens atque saliens in sublimem ascendit collem, duci quem sequeretur commendatus. Et cum belluæ sævæ, pardum nominant, occurrisset, zona soluta eam in feræ collum injecit, atque illam ferocitatis oblitam, perinde atque loro tractam duxit, et in domicilii locum pertraxit. Quod ubi præceptor, qui et ipse vitam in columna agebat, vidit, quidnam id esset, quod adduceret, interrogavit. Et ille, ælurum esse dixit, quem catum de consuetudine nominant. Ex qua conjectura præceptor, quanta illius virtus futura esset colligens, in columnam eum recepit. Atque in eo ipso, et alio item monte, accuratissime vivens, in tali vitæ instituto ad sexaginta et octo annos perstitit. Infinita ei divinitus contigere dona. Nam dæmones fugavit, et morbum ægritudinemque omnem oratione manusque contrectatione e vestigio curavit, et futura perinde atque præsentia et vidit et prædixit : sicuti et Gregorio significavit, ipsum mortem suam non visurum esse, et res postea ejus ignoraturum. Et cum Evagrius Epiphaniensis liberorum amissionem moleste ferret, secumque ipse ambigeret, quanam de causa Græcis et gentilibus qui multos procrearent liberos, 840 idem non contingeret, neque tamen cuiquam absurdas ejusmodi cogitationes patefaceret : Symeones ad eum scripsit, ut rebus ejuscemodi supersederet, minime enim cogitata talia grata Deo esse. Notarii (2) ejusdem Evagrii unius conjux lacte, quod constiterat, destituebatur. Quapropter qui ei erat infantulus, in ultimum venerat vitæ discrimen. Symeones ergo manu dextræ viri ejus imposita, papillis feminæ illam admovere jussit : quod ubi factum est, illico quasi ex quodam fonte ubertim lac prorupit, adeo ut vestis mulieris abunde immaduerit. Sed et puerum quemdam a comitibus suis in silvis in multa nocte per oblivionem relictum, cum ibi erraret, leo in tergum suum sublatum ad Symeonis monasterium illæsum prorsus pertulit. Deinde Symeonis jussu, qui puero inserviebant, noctu egressi, intra oppidum eum, ita ut sine discrimine omni a leone servatus et custoditus ferebatur, deduxerunt. Cæterum multa quoque alia numerum superantia Symeones egit, quæ sane tempore longiore, et lingua politiore, tum autem opere peculiari indigent. Ea hucusque sermone omnium celebrantur, a Symeone magistro (quamvis non ita docte, ut magnitudo rerum ejus flagi-

A τοῦ δρόμου γίνεται τὰ τελευταῖα τὸν ὅσιον ἀσπασόμενος· ἧ κιστα δὲ καὶ τῆς ἐφέσεως κατετύγχανεν. Συμεώνης δ' οὗτος ἦν πολὺ τῶν κατ' αὐτὸν ἐξέχων ἐπ' ἀρεταῖς, ἐκ πάνυ νέας τῆς ἡλικίας τὴν ἐπὶ κίονος δίαιταν ἀσπασάμενος. Λόγος γε μὴν ἔχει τοῦτον, καὶ τοὺς πρώτους ὀδόντας ἐν τῇ στάσει διαλλάξαι τοῦ κίονος· ἐπίβη δὲ τῷ στύλῳ, τοιάδε ἠγησαμένης αἰτίας. Ἀπαλὴν γὰρ ἔτι κομιδῇ τὴν ἡλικίαν ἄγων, κουρίζων τε καὶ ἁλλόμενος, ἀνὰ τὸ μετέωρον ἀνῇει τοῦ δρους, καθηγεμόνι δοθείς. Ἐντυχὼν δὲ θηρίῳ δεινῷ, πάρδος ὠνόμασται, λύσας τὴν ζώνην, περιαυχένιον τῷ θηρὶ βάλλει· καὶ ὡς ἐκ ῥυτῆρος ἦγεν ὥσπερ ἐπιλελησμένον τῆς ἀγριότητος, καὶ ἐπὶ τὸ καταγώγιον ἔφερεν. Ὁ δῆτα ὁ παιδευτὴς κατιδών, τὴν ἐπὶ κίονος δὲ καὶ αὐτὸς ἐπετήδευε στάσιν, τί
B ἂν εἴη τὸ ἐπαγόμενον ἤρετο. Ὁ δὲ αἴλουρον εἶναί φησι· κάτταν δ' ἂν ἡ συνήθεια εἴποι. Κἀντεῦθεν τεκμηράμενος πηλίκος ἐσεῖται τὴν ἀρετὴν, ἐπὶ τοῦ κίονος αὐτὸν ἀνελάμβανε· κἂν τούτῳ τε καὶ ἑτέρῳ ἀνὰ τὰς ὑπερβολὰς διαιτώμενος τῶν ὀρέων, πρὸς τοῖς ὀκτὼ καὶ ἑξήκοντα οὕτως ἔχων διετέλεσεν ἔτη, ἀπείρου χάριτος θεόθεν ἀξιωθείς· δαίμονας φυγάδας ποιεῖν, νόσον τε πᾶσαν καὶ μαλακίαν εὐχῇ καὶ ἁφῇ χειρὸς ἐκ τοῦ εὐθέος δραπετεύειν ποιεῖν, καὶ τά γε ἐσόμενα ὡσανεὶ παρόντα καὶ θεᾶσθαι καὶ λέγειν· ὡς καὶ Γρηγορίῳ σημᾶναι, αὐτὸν μὲν μὴ ὁρᾷν τὸν αὐτοῦ θάνατον, τὰ δὲ μετ' αὐτὸν ἀγνοεῖν. Καὶ Εὐαγρίου δὲ δυσχεραίνοντος ἐπὶ τέκνων ἀποβολῇ, καὶ διαποροῦντος καθ' ἑαυτὸν τί δή ποτε πολυτέκνοις
C Ἕλλησι τοῦτο οὐ συνέβαινε, μηδενί τε τοὺς ἀτόπους τούτους καταπιστεύσαντος τῶν λογισμῶν, γέγραφεν ἐκείνῳ τῶν τοιούτων ἀφίστασθαι· μὴ γὰρ εἶναι φίλα ταῦτα διερευνᾶσθαι Θεῷ. Καὶ τῶν ἀπογραφίων ἐκείνου ἑνὸς τοῦ γάλακτος ἀναστηλέντος τῇ γυναικὶ, καὶ τοῦ προσόντος ἐκείνῃ βρέφους τὰ ἔσχατα κινδυνεύοντος, ἐπιθεὶς τὴν χεῖρα τῇ δεξιᾷ τοῦ ἀνδρὸς, ταῖς θηλαῖς τῆς γυναικὸς ἐπέτρεπεν ἐπιβάλλειν. Ὅπερ ἐπειδὴ διεπέπρακτο, εὐθὺς ὡς ἐκ τινος πηγῆς πλημμύρον τὸ γάλα ἐξήλατο· ὥστε καὶ τὴν ἐσθῆτα τῇ γυναικὶ διάβροχον τῷ γάλακτι ἐγγενέσθαι. Ἀλλὰ καὶ παιδαρίου τινὸς ἐπὶ πόρρω νυκτοῦ τοῖς συνοῦσαις ἐπιλησθέντος, ὡς ἀνὰ τὴν ὕλην πλανωμένου, λέων ἐπωμάδιον ἄρας παρὰ τὴν μάνδραν ἄγει τῷ
D Συμεῶνι, μηδὲν διαλυμηνάμενος· καὶ κελεύσασι Συμεώνου οἱ ἐκείνῳ ὑπηρετούμενοι νυκτὸς ἐξελθόντες, εἶσω τὸ παιδίον ἠγάγοντο, ἀσφαλῶς τῷ λέοντι φρουρούμενον. Πολλὰ δὲ καὶ ἕτερα ἀριθμοῦ κρείττονα διεπράξατο, ἃ δεῖ καὶ χρόνου πολλοῦ, καὶ γλώσσης κεκομψευμένης, καὶ πραγματείας ἰδιατάτης· ἅπερ καὶ ἐς δεῦρο ταῖς ἁπάντων περιφέρονται γλώσσαις, ὑπὸ Συμεῶνι Μαγίστρῳ τῷ Οὐνῷ (3) συγγραφέντα, εἰ καὶ μὴ τοῦ μεγέθους καὶ τῶν ἔργων ἀξίως· οἷς καὶ ἡμῖν ἐντυχεῖν ἐγένετο, τὸ περιὸν τοῦ τε πλήθους καὶ τῆς δυνάμεως τῶν εἰργασμένων τῷ ὁσίῳ ἐκπεπληγμένοις. Ἐκ γὰρ ἁπάσης οὐ μόνον τῆς Ῥωμαίων γῆς, ἀλλά γε δὴ καὶ πάντων ὡς εἰπεῖν

(1) Alius hic est Simeones ab eo, de quo supra est. lib. XIV, cap. 51.

(2) *Lib. VI, cap. 24.*

(3) Lege ὁμωνύμῳ ut lib. XIV, cap. 51. de Simeone Stylita seniore, ὁ ὁμώνυμος αὐτῷ Συμεὼν ὁ Μεταφραστής. Ilut.

βαρβάρων ἄνδρες παρ' αὐτὸν ἐφοίτων· καὶ τῶν, ὃν A tavit) conscripta. In quem librum et nos, abundantem copiam et vim operum sancti viri cum stupore admirati, incidimus. Ex omni namque non Romanorum tantum, verum etiam omnium (ut ita dicam) Barbarorum ditione homines ad eum ventitabant, et ab eo quarum indigebant rerum fructum continuo capiebant. Et rami ei arbustorum in monte exortorum escas semper præbuere, cibo omni et potu præstabiliores.

δέοιντο, θᾶττον τὴν χρείαν ἐλάμβανον. Κλάδοι γὰρ ἐκείνῳ θάμνων τῷ ὄρει παραφυομένων, εἰς τροφὴν ἀεὶ ἦσαν, ὑπέρτεροι καὶ βρώσεως ἁπάσης καὶ πόσεως.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς ἁγίας μάρτυρος Γολινδοὺχ τῆς ἐν Περσίδι τὸν ἀγῶνα τοῦ μαρτυρίου διενεγκούσης.

Τηνικαῦτα δὲ καὶ Γολινδοὺχ ἡ μάρτυς ζῶσα διέπρεπεν, ἐκ μάγων γεγενημένη Περσῶν, Ἀσμοδὸχ B μὲν πατρὸς, μητρὸς δὲ Μυζούχ· ἥτις κατὰ τὴν ἐκείνων θρησκείαν τὸ πῦρ σεβομένη, καὶ τἆλλα τῶν Περσῶν βδελύγματα. Ἐπετέλει δὲ καὶ αὐτὴ τὴν μυσαρὰν καὶ θεοστυγῆ τῶν εἰδώλων μανίαν τε καὶ μαγείαν. Ἀνδρὶ δὲ τῷ πρώτῳ τῆς συγκλήτου βουλῆς ἐκδοθεῖσα, δύο παῖδας γεννᾷ. Μετὰ δὲ τριετῆ χρόνον ἐν ἐκστάσει γεγενημένη, ὑπ' ἀγγέλου τὸ θεῖον τῆς οἰκονομίας μυεῖται μυστήριον. Καὶ δὴ τοῖς μάγοις ἐκδοτος γενομένη, καὶ διὰ πολλῶν αἰκιῶν καὶ δεσμῶν ὑπέρτερος πάντων ὀφθεῖσα, θαυμάτων ἀπείρων καὶ παραδόξων τεράστιον γέγονεν αὐτουργός· διαφόρως τοῦ ἐπιστατοῦντος ἀγγέλου ἀφικνουμένου, καὶ εὐμαρῶς καὶ ῥᾳδίως πάντα φέρειν παρασκευάζοντος. Πολλὰ δὲ καὶ τῶν ἀπορρήτων διεσάφησε, τὸ προορᾶν εἰληφυῖα χάριν ἀπὸ Θεοῦ. Ἐπεὶ δὲ διὰ πολλῶν ἐτῶν C βασάνοις ἐξεταζομένη καὶ τὸν διὰ μαρτυρίου στέφανον ἐπόθει κομίσασθαι, ὁ πολλάκις αὐτῇ φανεὶς ἄγγελος ἐπιστὰς, καί τινα νεανίαν ξιφήρη ἐπαγαγὼν, τῇ ἐφέσει ταύτης πέρας ἐδίδου. Καὶ κελεύσαντος γὰρ ἐκείνου, ξίφει ὁ νεανίας τὴν ἐκείνης κάρα ἀπέτεμε· καὶ τὸ αἷμα ῥεῦσαν τοῦ τραχήλου ἐπὶ τὸ ἔνδον ταύτης ὀθόνιον, ἤμαγμένον, ἄχρι μηρῶν ἔδρα· δ καὶ διεφαίνετο μυρία τεράστια ἐργαζόμενον· ζῶσα γὰρ ἐκείνη καὶ μετὰ τὴν ἐκτομὴν τοῦ λοιποῦ ἐτεγένετο· καὶ εἰς τὰ Ῥωμαίων ὅρια γενομένη ἐν τῷ Κιρκησίῳ τε καὶ τῷ Δάρας, καὶ τοῖς μέρεσι τῶν Ἱεροσολύμων ἐφίστατο· θέαμα ξένον ἅπασι τοῖς πιστοῖς ὁρωμένη, ἅτε δὴ ζῶντι σώματι τὰ τοῦ Χριστοῦ περιάγουσα στίγματα· ἣ καὶ δεινῶς ὑπὸ τῶν τοῦ μαρτυρίου δεινῶν ἔχουσα περιῄει τὰς πόλεις D ὑφ' ὁδηγῷ τῷ ἀγγέλῳ τὴν πορείαν πεποιημένη· μή τινος ἰατρείας ἀνασχομένη τοῖς πάθεσι· μόνοις δὲ τοῖς αὐτομάτοις ἐφάπαξ χρησαμένη λουτροῖς. Πάντας δὲ τοὺς οἰκείους καὶ ἄλλους προσαγαγοῦσα Χριστῷ, τέλος ἐν Ἱεραπόλει γεγενημένη, τὸν τῇδε βίον καταλιποῦσα, πρὸς τὴν ἀγήρω μετέβαινε βιοτήν· ἣν ζῶσαν βασιλεὺς ἀνὰ τὴν αὐτοῦ πόλιν μεταστελλόμενος, ἧκιστα πειθομένην ἔσχε. Ταύτης τὸν βίον Στέφανος ὁ τῆς Ἱεραπόλεως πρόεδρος συνεγράψατο· ἐκείνῃ τε συγγενόμενος, καὶ ἕκαστα ὡς εἶχεν ἐξ ἐκείνης ἀναμαθών, ἐντίμως τε καὶ μεγαλοπρεπῶς καὶ τὸν ταύτης νεκρὸν τῇ γῇ παραδιδωκώς.

CAPUT XXV.

De sancta Golinduch martyre, quæ in Perside certamen martyrii superstes sibi pervicit.

Tum temporis vero etiam Golinduch martyr vivens enituit : Magis Persicis prognata, Asmodoch scilicet patre, et Myzuch matre : quæ pro illorum religione, ignem et alias Persarum abominationes colens, et ipsa exsecratæ Deoque detestatæ idolomaniæ et magiæ dedita erat. Primario autem ex senatu viro in matrimonium collocata duos progenuit filios. Et post triennium per exstasim extra seipsam rapta, 341 ab angelo divino dispensationis salutis nostræ mysterio est initiata. Proindeque Magis tradita, multisque verberibus et tormentis, quæ omnia superavit, expetita, miracula infinita et prodigia mirifica edidit : idem angelo, qui dux ejus fuit, ad eam veniente, et ut leviter et facile omnia perferret curante. Multas etiam res arcanas indicavit, utpote providentiæ gratiam a Deo consecuta. Postquam vero per multos annos tormentis excruciata, coronam martyrii ferre concupivit, qui ei sæpius apparere solitus erat angelus assistens, et juvenem quemdam ensiferum producens, desiderio ejus satisfecit. Præcipiente namque illo, juvenis ferro caput ejus resecuit : et sanguis e jugulo profluens, in interiorem ejus lineam vestem femoribus tenus cruentatam, manavit. Quæ vestis innumera visa est edere miracula : atque illa etiam post resectionem capitis deinceps superstes vixit. Et cum in Romanorum finibus ad Circesium et Daras morata fuisset, etiam ad Hierosolymorum partes pervenit, inusitatum spectaculum omnibus fidelibus, quippe vivente adhuc corpore stigmata Christi circumferens, visa. Hæc sane cum graviter a martyrii ærumnis afficeretur, urbes circuibat, angelo duce progrediens : neque quidquam medicinæ doloribus adhibuit, nativis tantum thermarum lavaeris usa. Et cum domesticos suos, et familiares omnes, atque alios præterea ad Christum adduxisset, tandem Hierapoli, sæculo hoc relicto, ad immortalem illam vitam concessit. Quæ vivens adhuc, ab imperatore in urbem suam accita, imperio ejus non paruit. Ejus vitam Stephanus Hierapolitanus episcopus composuit, qui cum illa fuit, et res quasque ex ea didicit : honorifice etiam et splendide, corpore sepeliendo funus ejus prosecutus.

842 CAPUT XXVI.

Quomodo post Gregorium Anastasius Sinaites sedem suam receperit, et de aliis patriarchis.

Tum Gregorius quoque podagrico morbo, quo affligebatur, confectus, cum pharmacum in potione, quæ hermodactylus vocatur, a medico quodam data, sumpsisset, vitam finivit. Mortuus autem est, Gregorio veteris Romæ throno præsidente, qui Pelagio successit, in nova vero Roma Joanne Jejunatore ecclesiam gubernante, de quo paulo post dicemus : Alexandriæ tum Eulogius episcopatum gessit : Theopoli autem, post Gregorium Anastasius, anno vicesimo tertio, in sedem est restitutus. Hierosolymis Joannes hierarchicam dignitatem obtinuit : cui non ita multo post defuncto, Neamus in episcopatu est subrogatus, quo tempore duodecimus Tiberii Mauricii imperii annus erat. Sed hæc hactenus.

CAPUT XXVII.

Quæ Chosroes de Romanorum imperio prædixerit. Præterea quæ idem Probo Chalcedonensi episcopo de Dei Genitrice dixerit.

Quod vero de Chosroæ rebus prope omisi, id ita ut potero, historiæ mandabo. Magnum illud bellum quod Romanis cum Persis fuit, conquievit, pacta conventa ex æquo Romanis atque Persis servantibus. Non autem committam, quin ea exponam, quæ Chosroes in operosa vanitate Chaldæorum astronomiæ diu multumque exercitatus, divinando prædixit. Ea vero tum ad Joannem Armeniarum copiarum ducem, cum bellum maxime vigeret, dixisse fertur. Cum namque Joannes Chosroen acrius objurgando reprehenderet, quod moribus esset sinistris, et animo ad res gerendas alieno et inepto, quodque regem minime talem esse oporteret : hujusmodi quiddam duci barbarus respondisse dicitur : « Nisi quodammodo tempora ipsa nos per tyrannidem suam affligerent, haudquaquam tu scommate perstringere magnum inter homines regem ausus fuisses : quandoquidem autem te rebus præsentibus magnopere effers, audies quid a diis de temporibus futuris sit constitutum. Redundabunt, ut sis sciens, in vos Romanos calamitates, et gens Babylonia Romanæ reipublicæ tribus in circulum circumactis annorum hebdomadibus dominabitur. **843** Postea vero quinta annorum hebdomade Romani Persas in servitutem redigetis. His ita peractis, dies illa vespera carens hominibus adveniet, et exspectatus imperii finis aderit. Quo tempore corruptio abolebitur, et vivendi ratio ex instituto Dei obtinebit. » Quæ vero præter opinionem omnem Probo etiam ipsi ad episcopatum Chalcedonensem recens evecto, cum Ctesiphontem a Mauricio missus est, responderit, dicam. Acciverat hunc meridie flagrante in regiam suam Chosroes. Et cum sudore plurimo difflueret, ab episcopo, ut sibi Dei Genitricis imaginem spectandam exhiberet, petiit. Atque ille sacram Virginis ma-

A

B

C

D

ΚΕΦΑΛ. ΚΖ'.

Ὡς μετὰ Γρηγόριον Ἀναστάσιος ὁ Σιναΐτης αὖθις τὸν οἰκεῖον ἐλάμβανε θρόνον· καὶ περὶ τῶν ἄλλων πατριαρχῶν.

Τότε δὲ καὶ Γρηγόριος ποδαγρικῷ πάθει ἁλοὺς, ᾧ παρηνωχλεῖτο, ἐτελεύτα τὸν βίον· ἐκ τῆς καλουμένης ἑρμοδακτύλου πρός τινος τῶν Ἀσκληπιαδῶν προτενηνοχότος, φάρμακον ἐκπιών. Τελευτᾷ δὲ, Γρηγορίου μὲν τὸν τῆς πρεσβυτέρας πρυτανεύοντος θρόνον, ὃς Πελάγιον διεδέξατο· τῆς δὲ νεωτέρας, Ἰωάννου τοῦ Νηστευτοῦ, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν· καὶ τῆς Ἀλεξάνδρου, Εὐλογίου· καὶ μετὰ Γρηγόριον αὖθις Ἀναστασίου τῇ Θεουπολιτῶν ἐπιδοθέντος μετὰ χρόνους εἴκοσι πρὸς τρισίν· ἐν δὲ τῇ Ἱεροσολύμων Ἰωάννου τὴν ἱεραρχικὴν ὀξίαν ἐπιτροπεύοντος, οὗ μετὰ βραχὺ τελευτήσαντος, Νεαμὼς τὴν ἐπισκοπὴν διεδέξατο· ὀπηνίκα καὶ Τιβερίῳ Μαυρικίῳ δωδέκατον ἔτος τῇ ἀρχῇ ἐξηνύετο. Ἀλλὰ ταῦτα μὲν ἐλήξει τῇδε.

ΚΕΦΑΛ. ΚΖ'.

Ὅσα Χοσρόης περὶ τῆς Ῥωμαίων ἀρχῆς προηγόρευεν· ἔτι δὲ καὶ ὅσα Πρόβῳ τῷ Χαλκηδόνος περὶ τῆς Θεοτόκου ἀνεῖπε.

Ὅ δέ μοι τῶν Χοσρόου παρῶπται, ὡς ἂν οἷός τ' ὦ, ὥσπω τῇ ἱστορίᾳ. Ὁ μὲν δὴ μέγας καὶ Περσικὸς ἐκεῖνος Ῥωμαίοις καταπέπαυτο πόλεμος, τῶν σπονδῶν ἐν ἴσῃ μοίρᾳ Ῥωμαίοις καὶ Πέρσαις ἡγμένων· οὐκ ἂν δὲ περιόψομαι καὶ ὅσα λέγεται Χοσρόην προαναχορεῦσαι περὶ τὴν πολυάσχολον ματαιότητα τῆς Χαλδαίων ἀστρονομίας ἐξησκημένον· ἃ δὴ φάναι αὐτὸν λέγεται κατὰ τὴν τοῦ πολέμου ἀκμὴν πρὸς Ἰωάννην τὸν στρατηγὸν τῆς τῶν Ἀρμενίων δυνάμεως· σκώψαντος γὰρ ἐκείνου Χοσρόην, ὡς σκαιὸς εἴη τοὺς τρόπους καὶ ἀλλόκοτος πρὸς τὰς ὁρμὰς τῆς ψυχῆς, καὶ ὡς μὴ χρεὼν βασιλέα τοιοῦτον εἶναι, ἐκεῖνον τοιαῦτά τινα πρὸς τὸν στρατηγὸν εἰπεῖν τὸν βάρβαρον λέγεται· « Εἰ μή πως ὑπὸ τοῦ καιροῦ ἐτυραννούμεθα, οὐκ ἂν ἐθάῤῥησας, στρατηγὲ, τὸν μέγαν ἐν ἀνθρώποις βασιλέα βάλλειν τοῖς σκώμμασιν. Ἐπεὶ δὲ τοῖς παροῦσι μέγα φρονεῖς, ἀκούσῃ τί δὴ θεοῖς ἐς ὕστερον μεμελέτηται. Ἀντικατῤῥεύσει, εὖ ἴσθι, ἐς τοὺς Ῥωμαίους ὑμᾶς δεινά· ἕξετε δὲ τὸ Βαβυλώνιον φῦλον, τῆς Ῥωμαϊκῆς πολιτείας κρατοῦν τρίτην κυκλοφορικὴν ἑβδομάδα ἐτῶν. Μετὰ δὲ τοῦτο πεμπτέαν ἑβδομάδα ἐνιαυτῶν Ῥωμαῖοι Πέρσας δουλαγωγήσετε. Τούτων δὲ διηνυσμένων, τὴν ἀνέσπερον ἡμέραν ἐνδημεῖν τοῖς ἀνθρώποις, καὶ τὴν προσδοκωμένην λῆξιν ἐπιβαίνειν τοῦ κράτους· ὅτε τὰ τῆς φθορᾶς παραδίδοται λύσει, καὶ τὰ τῆς κρείττονος διαγωγῆς πολιτεύεται. » Οἷα δὲ τὰ παράδοξα καὶ Πρόβῳ αὐτῷ ἄρτι τὴν ἱεραρχίαν Χαλκηδόνος περιβαλλομένῳ ἀνεῖπεν, ἡνίκα ἐς Κτησιφῶντα πρὸς Μαυρικίου ἐστάλη, ἐρῶ. Ἐπεὶ γὰρ μετάκλητον ἐν σταθερῷ τῆς μεσημβρίας πρὸς τὰ οἰκεῖα ἀνάκτορα Χοσρόης ἐκεῖνον πεποίητο, ἰδρῶτι δὲ πλείστῳ περιερῥεῖτο, θεῖον ἔκτυπον τῆς Θεομήτορος ἠξίου παρὰ τοῦ ἱερέως θεάσασθαι· καὶ ὃς τὸ ἱερὸν ἐκείνης ἔνδαλμα ἐν πυκτίῳ φερόμενος, ἐς θέαν ἐλθεῖν ἀνίῃ τῷ Περσῶν βασιλεῖ. Ὁ δὲ Πέρ-

σης προσκυνήσας τὸν πίνακα, τὸ τούτου ἀρχέτυπον ἔφασκε νυκτὸς παριστάναι αὐτῷ καὶ λέγειν, τὰς Ἀλεξάνδρου νίκας ἐκείνῳ τοῦ Μακεδόνος χαρίσασθαι. Ὁ δὲ ἱερεὺς διεξῆει, ὡς Ἤδη σοι τοῦτο πάλαι γεγένηται, καθόδου τετυχηκότι καὶ τῶν ἀλιτηρίων τυράννων κεκρατηκότι βώμῃ καὶ ἰσχύϊ τοῦ αὐτοκράτορος· καὶ ἔτι στέργοντι τὰ ὁμωμοσμένα γενήσεται· εἰ καί τι τέως ὕπεστι λείψανον τῆς παλαιᾶς ἐκείνης πλινθεύσεως ἐξοπτηθείσης πυρὶ, καθὰ περὶ τούτων τῷ ἱεροφάντῃ γέγραπται Μωϋσῇ. Ἀλλ' ἐπεὶ τοῖς Ἑῴοις ἱκανῶς διετρίψαμεν, καὶ τὰ τοῦ Περσικοῦ πολέμου πέρας αἴσιον ἔσχε Θεοῦ συναρήγοντος, πρὸς τὰ τῇ Εὐρώπῃ πραχθέντα τῷ αὐτοκράτορι μεταχωρείτω ἡμῖν ἐντεῦθεν ὁ κάλαμος τῷ μέλανι διαπλωΐζόμενος· ὡς ἂν καὶ ἡμεῖς ἐπὶ τὸν λιμένα τοῦ σκοποῦ καθορμίσωμεν, τὸν φόρτον τῶν ἱερῶν ἐπικομιζόμενοι πράξεων.

tris effigiem, quam in tabella depictam ferebat, protulit, et ad conspectum ejus Persarum regem admisit. Persa adoratione tabulam veneratus, archetypum sive primarium exemplar noctu sibi astitisse, et dixisse retulit, Alexandri Macedonis victorias se illi concessisse. Ibi Probus episcopus in hæc verba regi respondit : Dudum id ei contigisse, cum in regnum restitutus esset, et exitiosos tyrannos virtute et robore imperatoris vicisset. Hemque eum jurejurando stantem consecuturum esse, si quid adhuc reliquiarum veterum illorum igni excoctorum laterum, sicuti de eis a sacrosancto Mose scriptum est, superesset. Verum enimvero cum rebus Orientis satis diu immorati simus, et bellum Persicum legitimum, Deo adjuvante, finem ceperit, ad res ab imperatore in Europa gestas se stylus conferat : ut et nos ad portum consilii institutique nostri appellamus (1), et onus sacrorum actorum exponamus.

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῶν ἐν Εὐρώπῃ γενομένων μεταξὺ Ῥωμαίων καὶ Ἀβάρων τῶν ὑπὸ Χαγάνου στρατηγουμένων.

CAPUT XXVIII.

De rebus in Europa inter Romanos et Abares, quorum Chaganus dux fuit, gestis.

Καὶ τοίνυν ἦρος ἀρχομένου, τὰς δυνάμεις ἐκ τῆς ἑῴας μετακομίσας Μαυρίκιος, τοῦ Βυζαντίου ἀπάρας, πολλῶν ἐμποδών οἱ καθισταμένων ἐς Ἀγχίαλον ὥρμα· ἐκεῖσε γάρ πη βούλεσθαι πύθοιτο τοὺς Ἄβαρας καταθέειν μετὰ τὴν χρυσῆν ἐκείνην κλίνην, καὶ τὴν ἐλέφαντος θέαν καὶ τὸν πολυτάλαντον δασμὸν τοῦ χρυσοῦ· ἃ ἐκείνοις αἰτησαμένοις, ἐκ τοῦ εὐθέος παρέσχετο βασιλεὺς, εἰρήνην ἀσπάζεσθαι ἠρημένος. Καὶ πρῶτα μὲν εἰς Πείρινθον, ἣν νῦν Ἡράκλειαν λέγουσι, γίνεται, πολλοῖς ἐν τῷ μέσῳ δείμασι, πρὸς δὲ καὶ σφοδροτάτῳ κλύδωνι ἐντετυχηκώς. Παρελθὼν οὖν ἐς τὸ ἄστυ, καὶ Γλυκερίᾳ τῇ μάρτυρι τὰ εἰκὸς ἀφοσιωσάμενος, ἐκεῖσέ πη εὐκτηρίῳ ἐς πολυτέλειαν εἰργασμένῳ σεμνυνομένῃ, κακῶς τε παθών τι ταῖς τῶν βαρβάρων ἐπιδρομαῖς, κἀκεῖθεν στρατηγὸν χειροτονήσας τὸν Πρίσκον τῆς Εὐρώπης, ἐς βασίλειον ἀνέστρεφεν ἄστυ. Τὸ δ' Ἀβάρων καὶ Σκλαβηνῶν ἔθνος τὸν Ἴστρον διαπεραιωσάμενοι, ὑπὸ Χαγάνῳ τῷ Οὔνῳ στρατηγούμενοι, κατεδρομόντες τὴν Θρᾴκην, καὶ σύμπαν τὸ ἐν ποσὶ λεῖον πεποιημένοι, ἄχρι δὴ καὶ εἰς Ἡράκλειαν ἦκον. Ἀλλὰ τῷ στρατηγῷ Πρίσκῳ ἐς Τουρούλλον γενομένῳ, καὶ Διδυμότειχον καταστρατηγοῦνται μάλα γενναίως, καὶ μηχανῇ τινι θαυμασίᾳ τοῦ αὐτοκράτορος ἀναστέλλονται. Σχηματισαμένῳ ναυλόχῳ στόλῳ ταῖς οἰκίαις αὐτῶν ἐκπορεύεσθαι· ὃ καὶ εἰς δεῖμα τούτους οὐ μέτριον ἐμβαλὼν, ἠνάγκασε καὶ ἄκοντας ἐς τὰ οἰκεῖα ἦθη ἀναχωρεῖν. Οὕτω δ' ἐκείνοις παλινοστήσασι, βασιλεὺς τὴν τοῦ Ἴστρου διάβασιν, ὥστε μὴ πάλιν εὐέφοδον εἶναι τοῖς βαρβάροις τὴν Θρᾴκην, κατωχύρου γενναίοις στρατεύμασι. Καὶ Πρίσκος δ' ἐς Βυζάντιον γεγονὼς ὑπὲρ λείας, ἐγκλήμασιν ἄγεται· καὶ Πέτρος μὲν ὁ ἀδελφὸς Μαυρικίου, τὴν στρατηγικὴν ἀξίαν ἀντὶ Πρίσκου

Itaque incunte vere, translatis ex Oriente copiis, Mauricius Byzantio solvit, et multis impedimentis intervenientibus, Anchialum contendit. Eo namque excurrere velle Abares audierat, post aureum illum lectum et elephantis spectaculum, multorumque talentorum auri largitionem : quæ illis imperator, pacem sibi complectendam ratus, petentibus tribuit. Ac primum Perinthum, quam nunc Heracleam nominant, cum quidem in terrores plures, et in maximam tempestatis procellam incidisset, venit. In qua urbe Glyceriæ martyri, quæ ibi æde sacra magnifice constructa honoratur, debitam religionem persolvit. Et grave quiddam a Barbarorum excursionibus passus, exercitus duce in Europa Prisco creato, inde in urbem imperantem est reversus. Abarum vero et Slavinorum gentes, Istro trajecto sub Chagano Hunno militantes, Thraciamque percurrentes, et omnia passim diripientes, usque ad Heracleam pervenerunt. Quin Prisco duce Turuli se continente, Didymotæchum quoque stratagemate coeperunt. Eorum impetum arte et consilio quodam admirando imperator inhibuit, qui se classe instructa in eorum sedes expeditionem facturum assimulavit. Quæ res metum illis ingentem incussit, et vel invitos ad sua redire coegit. Post quorum discessum imperator ad transitum Istri, ne rursum Barbari facile in Thraciam excurrerent, firma militum præsidia collocavit. Priscus autem Byzantium reversus, de manubiis accusatus est : et militarium copiarum præfecturæ dignitas ei abrogata, Petroque Mauricii fratri data. Verum cum et is nihil præclarum ex sententia imperatoris gereret, adempto illi magistratu, eodemque Prisco reddito, domi

(1) Hinc patet ultimum esse hunc *Historiæ Ecclesiasticæ* Nicephori librum.

ipse consedit. Priscus in Europa pacta cum Chagano inita solvit. Ille siquidem prior bello repetito, derepente cum innumerabili exercitu in Romanorum ditionem excurrerat, plurimaque castella ceperat. Templum quoque Alexandri martyris incenderat, ejusque venerandas reliquias homo detestandus ex loculis suis ejectas, multa nefanda in eis patrans, maxima contumelia affecerat. Quapropter septem uno die liberos amisit, dignas ejuscemodi contumeliæ pœnas persolvens. Exinde idem Istrum, ea parte qua in mare prorumpit, transmisit, et gravia damna dedit, Mysorum prædam (quod dicitur) omnia faciens. Quamvis Mauricius ex desperatione quadam Commentiolum ducem cum plurimis hominum millibus, exercitum contra illius copias ducturum miserit. **845** Qui se in quodam occidentali castello, nihil agens, periculumque effugiens, continuit. Longe vero post missa legatione Mauricius Chagano, ut pacatiora consilia sequeretur, persuasit.

A

B

CAPUT XXIX.

Quomodo Priscı legatus Chagano vetus exemplum adducens persuaserit, ut pacem rursum complecteretur.

Porro cum Chaganus Priscum, quo minus amnem trajicere posset, quo tempore prædam pluriman Priscus agebat, impediret : Theodorum is Medicum, virum cordatum, sagacitateque et prudentia multos excellentem, ad eum misit. Qui cum barbarum frementem maxime, et superbientem, et verborum fastu exsultantem (nationum enim omnium dominum se esse, minabundus jactabat) vidit, veteri quadam narratione barbaricum legatus lenit tumorem. Inquit enim : Audi, Chagane, veterem et utilem orationem. Sesostris Ægyptiorum rex, illustris admodum et felix, plurimas et maximas sibi subjecit nationes. Atque ex eo successu in protervam arrogantiam sublatus, currum sibi aureum pellucidis pretiosisque lapillis exornatum fieri fecit. In quo cousidens, quatuor ex devictis regibus currui, qui eum traherent, jugo illis imposito, junxit. Hoc vero cum sæpius fieret, et celebri quodam festoque die, ex quatuor istis regibus unus oculis conversis continue retrospiceret, et rotæ volubilitatem intueretur, Sesostrisque eum, cujus rei gratia tam frequenter oculos in rotam conjiceret, percontaretur, respondisse is fertur : Cum stupore admiror rotam, cum eam instabili modo ferri, atque alias aliter volvi, et nunc quidem sublimia demittentem, rursus autem demissa sublimantem conspicio. Sesostris porro ubi dictum id intellexit, statuit, ne illi posthac currum traherent. Barbarus vero subridens, satis se pacem complecti indicavit : et Priscus ei pro transitu bonam spoliorum partem, maxima quæque concedendo, dedit : et se Romanorum ditione cedere (Romanum namque id solum esse) significavit. At Barba-

C

D

λαμβάνει. Μηδὲν δὲ καὶ οὗτος ἀνύσας τῶν πρὸς βουλῆς βασιλεῖ, ὑποχειροτονηθεὶς οἴκοι καθῆστο, Πρίσκου τὴν ἀρχὴν αὖθις ἀναλαβόντος. Καὶ ἐς τὴν Εὐρώπην γενόμενος, τὰς μετὰ Χαγάνου λύει σπονδάς. Ἐκεῖνος γὰρ πρῶτος μάχης ἄρξας σὺν ἀπείρῳ στρατεύματι, ἐξάπινα τῇ Ῥωμαίων γῇ προσπεσὼν, φρούριά τε πλεῖστα αἱρεῖ, καὶ τὸν νεὼν καταπίμπρησιν Ἀλεξάνδρου τοῦ μάρτυρος. Οὗ καὶ τὸ τίμιον λείψανον ἔξωθεν σορροῦ θέμενος ὁ ἐξάγιστος, ὕβριζεν ἐπὶ μᾶλλον τῶν πολλὰ ἀτόπων ἐπ ἐκείνῳ διαπραττόμενος. Δι' ὧν καὶ ἀποβολὴν παίδων ἑπτὰ ἐν μιᾷ κατεῖδεν ἡμέρᾳ, ποινὰς ἀξίας τῶν ὕβρεων εἰσπραττόμενος. Ἔνθεν τὸν Ἴστρον εἰς θάλασσαν πλημμυρήσαντα Χαγᾶνος διαπερᾷ, καὶ τὰ πάνδεινα διαπράττεται, λείαν Μυσῶν, ὃ λέγεται, τὸ σύμπαν ποιούμενος· κἂν Μαυρίκιος ἀπειπὼν, Κομεντίολον στρατηγὸν σὺν χιλιάσι πλείσταις πέμπει στρατοῦ ἀντιστρατηγήσοντα. Ὃν μηδὲν ἀνύσαντα, φρούριόν τι τῶν δυτικῶν διετήρει τὸν κίνδυνον διαφεύγοντα. Πολλῷ δὲ ὕστερον πρεσβείαν πέμπων Μαυρίκιος, εἰρηνικὰ φρονεῖν τὸν Χαγᾶνον ἀνέπεισεν.

ΚΕΦΑΛ. ΚΘ'.

Ὅπως ὁ Πρίσκου πρέσβις, Χαγᾶνον ὑποδείγματι ἀρχαίῳ μεταβαλὼν, τὴν εἰρήνην ἔκειθεν αὖθις ἀσπάζεσθαι.

Χαγάνου δ' ἐμποδὼν γινομένου Πρίσκῳ τὸν ποταμὸν διανήξασθαι, ὁπηνίκα διαπεράσας πλείστην λείαν περιεβάλλετο, Θεόδωρον Πρίσκος τὸν ἰατρὸν ἔπεμπεν, ἄνδρα φρενήρη, ἀγχινοίᾳ τε καὶ συνέσει τῶν πολλῶν διαφέροντα· ὃς βρέμοντα τὰ μέγιστα τὸν βάρβαρον κατιδὼν, μεγαλοφροσύνῃ τε καὶ κόμπῳ ῥημάτων ἀκμάζοντα (ἠπείλει γὰρ κύριον εἶναι πάντων ἐθνῶν), παλαιῷ τινι διηγήματι τὸν βαρβαρικὸν ὁ πρέσβυς κατεπράϋνε τῦφον· ἔφη γάρ· Ἄκουε, Χαγᾶνε, παλαιοῦ καὶ ἐπωφελοῦς διηγήματος. Σέσωστρις ὁ τῶν Αἰγυπτίων βασιλεὺς περιφανὴς καὶ λίαν εὐδαίμων γενόμενος, πλεῖστα καὶ μεγάλα ἔθνη ὑποχείρια ἐποιήσατο· κἀντεῦθεν εἰς ἀλαζονείαν ἐξαφθεὶς, ἐκ λίθων τιμαλφῶν χρυσοκόλλητον ὄχημα κατασκευάσας ὑπερεκάθητο, ὑποβαλὼν τῷ ζυγῷ τῶν ἡττηθέντων βασιλέων τέτταρας ἐξ ἐκείνων ἕλκειν τὸ ὄχημα. Τούτου δὲ πολλάκις γεγενημένου, καὶ ἐν ἐπισήμῳ μιᾷ ἑορτῇ ἡμέρᾳ εἷς τῶν τεττάρων βασιλέων συνεχῶς τὸ ὄμμα στρέφων εἰς τὸπίσω, τὸ τοῦ τροχοῦ εἶδος κυκλοτερές. Ἐρόμενον δὲ Σέσωστριν, Ὅτου χάριν πυκνῶς τὸ ὄμμα τῷ τροχῷ ἐπιβάλλεις; φασὶν εἰπεῖν· Ἐκπλήττομαι ὁρῶν ἀστάτως φερόμενον τὸν τροχὸν, καὶ ἄλλοτε ἄλλως κυλιόμενον, καὶ ποτὲ μὲν ταπεινοῦντα τὰ ὑψηλὰ, αὖθις δὲ τὰ ταπεινὰ ἀνυψοῦντα. Ἐκεῖνον δὲ, συνιέντα τὸ εἰρημένον, νομοθετῆσαι τοῦ λοιποῦ μὴ ἕλκειν ἐκείνους τὸ ὄχημα. Μεταδιάματι δὲ ἐδήλου τὰ τῆς εἰρήνης ἀσπάζεσθαι. Ἐκείνῳ δὲ Πρίσκος ὑπὲρ τῆς διαβάσεως πολύ τι τῶν σκύλων ἀπέδοτο τὰ μέγιστα χαριζόμενος. Ἐδήλου γε μὴν τῆς Ῥωμαίων ἀναχωρεῖν γῆς· Ῥωμαϊκὸν γὰρ ὑπεῖναι τὸ ἔδαφος. Ὁ δὲ βάρβαρος, ἀλλ' ὅπλοις καὶ πολέμου νόμοις Ῥωμαίους τοῦτ' ἀποκτήσασθαι. Ζυγομαχοῦν-

τος δὲ τοῦ Χαγάνου, Πρίσκον ὀνειδίσαι τὴν ἐκ τῆς Ἑῴας ἀπόδρασιν.

rus Romanos armis et jure belli id amisisse respondit. Et cum Chaganus ad hunc modum familiarius cum Prisco rixaretur, Priscus ei, quod ex Oriente profugisset, convicii loco objecit.

ΚΕΦΑΛ. Λ'.

Διεξοδικωτέρα διήγησις περὶ τῆς Ἀβάρων γενεαλογίας· καὶ ὅπως ἐκ τῆς ἕω εἰς ἑσπέρας διέβησαν· καὶ περὶ τοῦ ὄρους τοῦ Ἰκὶρ· καὶ περὶ τῆς Περσικῆς παλαιᾶς πολιτείας· ἔτι δὲ καὶ περὶ τῶν πόλεων τῆς Ταγαὶστ καὶ τῆς Κουζβάν, ἃς λόγος τὸν Μακεδόνα κτίσαι Ἀλέξανδρον.

846 CAPUT XXX.

Expositio longior per digressionem, de Abarum origine, ut ex Oriente in Occidentem transierint. Et de Monte Icar, et de veteribus Persarum moribus et institutis; item de urbibus Tagaust et Chubdam, quæ ab Alexandro Macedone conditæ esse feruntur.

Ἐπεὶ δὲ τῶν πρὸς τῷ Καυκάσῳ Σκυθῶν καὶ τῶν πρὸς Βορρᾶν τετραμμένων μνείαν ἐποιησάμην, φέρε τὰ παρηκολουθηκότα τούτοις ὥσπερ ἐμβόλιμά τινα διηγήματα, εἰ καὶ τῇ ἱστορίᾳ μὴ πρόσφορα, προεκθώμεθα. Πρὸ τούτων δὲ τῶν ἐνιαυτῶν Χαγᾶνος ὁ πρὸς τῇ ἕῳ ὑπὸ τῶν Τούρκων ὑμνούμενος, τὸν τῶν Ἀβδελῶν ἐθνάρχην, ἄλλος δ' ἄν τις τῶν Ἐφθαλιτῶν λεγομένων ἐρεῖ, καταχράτος νικήσας, τὴν τοῦ ἔθνους ἀρχὴν περιβάλλεται. Ἐπὶ μέγα τ[ί]νων τῇ νίκῃ ἀρθείς, καὶ τὸν Στεμειζαγὰν σύμμαχον ποιησάμενος, καὶ τὸ τῶν Ἀβάρων ἔθνος ὑποχείριον καθιστᾷ· Ἀβάρων, οὐχ οἳ ἀνὰ τὴν Εὐρώπην καὶ Παννονίαν προσοικεῖν ἔλαχον· ψευδωνύμως γὰρ οὗτοι τοὔνομα περιέθεντο, πρεσβυτέραν τὴν ἄφιξιν τῶν Μαυρικίου χρόνων πεποιημένοι. Ὅθεν δὲ καὶ τὸ γένος ἔλκουσιν οὗτοι, μικρὸν ὕστερον λέξω. Τῶν γοῦν Ἀβάρων ἡττηθέντων Χαγάνῳ, πρὸς τοὺς κατέχοντας τὴν Ταυγὰστ ἐποιήσαντο τὰς ἀποφυγάς. Ἡ δὲ Ταυγὰστ πόλις Τούρκων ἐπιφανής· καθέστηκε δ' αὕτη Ἰνδοῖς ὅμορος· ὧν τὸ ἔθνος ἀλκιμώτατον μέλιστα, καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἔθνεσιν ἀπαράμιλλον. Ἐκεῖθεν δὲ πρὸς τὸ ἐγχιστεῦον ἔθνος τῶν Μουκριτῶν ἵενται. Πολλὴ δ' ἐκείνῳ ἀλκὴ καὶ μελετήματα πρὸς κινδύνους διηνεκῆ, γενναίως μάλα ἐγκαρτερούσης τούτοις αὐτῶν τῆς ψυχῆς. Ὁ δὲ Χαγᾶνος ἐγχειρῶν καὶ τὸ τῶν Σογδ[ι]ρ ἔθνος χειροῦται ἰσχυρότατον ἁπάντων καὶ πολυανθρωπότατον· ὃ περὶ τὸν Τὶλ ποταμὸν νέμεται, ὃν Μέλανα Τοῦρκοι καλοῦσιν· ὃν οἱ παλαίτατοι ἄρχοντες Οὐδὴρ καὶ Κουνοὶ ὀνομάζονται· ἀφ' ὧν καί τινα τῶν ἐθνῶν οὕτω κλήσεως ἔτυχον κληρωσάμενα τὴν ἐπωνυμίαν. Τοίνυν Ἰουστινιανοῦ τὰ πάντα διέποντος ἐκ τῶν πάλαι φυλάρχων μοῖρά τις ἀποδράσασα, προσφοιτᾷ τῇ Εὐρώπῃ, οἳ καὶ Ἄβαρας ἑαυτοὺς κατωνόμασαν· καὶ τὸν ἡγεμόνα σφῶν τῇ τοῦ Χαγάνου προσηγορίᾳ ἐσέμνυναν. Ὅσα δὲ τῶν ἐθνῶν Οὐννικὰ, Βαρσὴλ καὶ Οὐνιγοῦροι καὶ Σάβιροι, τῶν ἐκ τοῦ Οὐὰρ καὶ Γουνὶ ἀπόμοιραν αὐτοῖς πλησιάζουσαν ἐθεάσαντο, εἰς δέος ἐνέπιπτον μέγιστον, οἰόμενοι Ἀβάρους ἐκείνους τοὺς φοβεροὺς ἐνδημῆσαι τῷ χώρῳ· καὶ διὰ τοῦτο δώροις τούτους δεξιωσάμενοι, δι' αὐτῶν τὴν Ἀλβανίαν κατέσχον. Οἱ δὲ φυγάδες ἐκεῖνοι συνιδόντες συμφέρουσαν σφίσι τὴν προσωνυμίαν, Ἄβαρας τοῦ λοιποῦ ἑαυτοὺς κα-

Quandoquidem autem Caucasiorum, atque item Borealium Scytharum mentionem intulimus, age quæ consecuta sint, perinde atque adjectitias narrationes, quamvis ad historiam non pertineant, exponamus. Ante eos annos Chaganus, qui in Oriente a Turcis laudibus celebratur, Abdelarum, (alius autem, Ephthalitarum dixerit) gentis principe fortiter debellato, populi ejus imperium sibi sumpsit. Ea victoria magnopere elatus, et Stemeischagano socio sibi belli ascito, Abarum quoque nationem ditioni suæ subegit: non eorum Abarum qui in Europa et Pannonia sedes ceperunt, falso namque sibi isti nomen id usurparunt, cum ante Mauricii tempora eo advenissent. Unde vero et ii genus ducant, paulo post dicam. Itaque Abaribus a Chagano devictis, ad eos illi, qui Taugast tenuere, confugerunt. Est autem Taugast civitas Turcorum perquam celebris, Indis finitima, cujus populus omnium est fortissimus, gentem in universo orbe, quæ ei comparetur, non habens. Inde vero ad vicinam nationem Mucritorum venerunt, cui et ipsi nationi magnum est robur, et continua ad pericula, quæ magnis animis fortiter sustinent, studia. Chaganus porro gentem quoque Sogor aggressus subegit, robustissimam et populosissimam. Hæc ad amnem Til accolit, quem Turci Nigrum, et antiquissimi principes Uder et Cunni nominarunt: a quibus nominibus quædam etiam gentes appellationem sunt sortitæ. Porro Justiniano imperante, ex antiquis ejus gentis optimatibus pars quædam profugiens, in Europam venit. Ili Abares seipsos nominarunt, ducemque suum Chagani cognomento exornarunt. Sed enim populi Hunnici Barselt et Uniguri et Sabiri, ubi partem gentis Var et Guni appropinquare sibi viderunt, in timorem maximum inciderunt, Abares illos formidatos (1), in regionem eam venisse rati: eamque ob causam muneribus eos invitarunt, et per ipsos Albania potiti sunt. **847** Et fugitivi ipsi animadvertentes, commodam sibi eam appellationem esse, Abares deinceps seipsos nominarunt. Inter Scythicas namque nationes ea gens longe bellicosissima, et ad excursiones faciendas aptissima esse perhibetur. Ad hodiernum sane usque diem Pseudabares isti ge-

(1) Populi qui hic commemorantur prope omnes in Pannoniis consederunt. De Abaribus sive Saberis, dubium non est, qui Sabariæ nomen reliquerunt. Ver Slavorum lingua, etiam nunc Panno sive Hungarus dicitur. Uri et Urzi Hungari sunt. Unigri ipsissimi Hungari sunt. Cunorum nomen et gens ipsa nunc quoque Hungariæ partem retinet, etc.

neris ortu divisi, partim ab Var, partim a Chuam appellationem habent. Postcaquam autem de rebus Pseudabarum diximus, ad historiam contexendam redeamus. Ogorlia igitur devicto, et Tucoch gentis principe ore gladii a Chagano sublato, una cum hoc, nationis ejusdem cæsæ sunt triginta myriades, ita ut continuata interemptorum cadavera dierum aliquot inhibuerint iter. Cum vero hæc tam præclara Chagano obtigisset victoria, civile inter Turcos coortum est bellum. Siquidem Turun quidam Chagani cognatus, res novas molitus, copias magnas contraxit, quibus Chagano congressus superior fuit (1). At ille aliis tribus Chaganis in societatem belli vocatis, contra tyrannum progressus est : et pugna ad castellum Icar commissa, inter cædes multas tyrannum interemit, et ditionem suam recuperavit. Victoriæ ejus gratulatio cum aliis principibus, tum Mauricio ipsi est significata. Præmium gratulationis ejus tale fuit : « Romanorum imperatori magnus despotes septem gentium, et septem orbis terræ climatum dominus. » Enimvero montem Icar, aureum Persæ vocant, orientem versus situm, propterea quod frugum est feracissimus, pecoribusque et jumentis frequentissimus. Persis autem lex est, ut potentissimo Chagano aureum hunc montem concedant. Iidem duabus hisce rebus prorsus se gloriantes efferunt, quod nunquam epidemiam pestilentiæ viderint, et quod rari in regione eorum sint terræmotus. Terram autem Cath et Sogdoanem concussiones et pestilentias experiri dicunt. Turci sane summopere ignem colunt, aerem et aquam honorant, terram hymnis celebrant, et eam solam adorant, Deumque, qui cœlum et terram condidit, nominant : cui etiam equis, bobus, et ovibus sacrificant. Sacerdotes quoque habent, qui de rebus futuris divinare existimantur : apud Medos vero septem populi ordines, res præcipuas expediunt. Et lex antiqua partiri aliter negotia non permittit. **848** Qui enim Arsacidarum ordo dicitur, regnum apud se retinet, et regi diadema imponit. Ordo alius rei militari præest : alii politia curæ est. Alius controversias de quopiam, quod arbitro judice indigeat, inter ambigentes exortas decidit. Quintus populi ordo equites regit. Qui hunc consequitur, tributum a civibus et subditis exigit, et regio ærario præest. Septimus regis equos curat, et vestem militarem servat. Hasce leges in aula regia Darium qui Hystaspis dictus est, sacrasse ferunt. Cæterum ea ætate Turci illi ex Var et Chuni profugientes, in Europam venerunt, et se Abaribus, qui sub Chagano erant ad decem ipsi millium numerum pertingentes, conjunxere. Turcorum autem orientalium Chaganus bello civili confecto, prospere res administravit, et missis ad incolas Taugast legatis, fœdus cum illis legitimum iniit, regnumque suum pacavit. Princeps vero in Taugast,

τονόμαζον. Λέγεται γὰρ τοῖς τῶν Σκυθῶν ἔθνεσι τοῦτο μᾶλλον τὸ φῦλον ἐντρεχέστατον καὶ πολεμικώτατον εἶναι. Ἀμέλει τοι καὶ μέχρι τοῦ δεῦρο οἱ ψευδάβαρες οὗτοι τῇ τῶν γενῶν ἀρχῇ διῄρηνται· οἱ μὲν γὰρ ἐκ τοῦ Οὐὰρ, οἱ δ' ἐκ τοῦ Χουνι ὀνομάζονται. Ἐπεὶ δὲ τὰ τῶν ψευδαβάρων ἡμῖν εἴρηται, ἐπὶ τὸ τῆς ἱστορίας συνεχὲς ἐπανέλθωμεν. Ὀγορλίᾳ τοίνυν νενικημένου, καὶ τοῦ Τουκὸχ ἐθνάρχου στόματι ῥομφαίας πρὸς Χαγάνου ἐκδεδυμένου, σὺν τούτοις, ἀναιροῦνται τῆς αὐτῶν φυλῆς μυριάδες τριάκοντα, ὡς ὁδὸν ἡμερῶν ἐπέχειν τὴν τῶν πεπτωκότων σωμάτων συνέχειαν. Τῆς δὲ νίκης ἐπιφανῶς τοιαύτης τῷ Χαγάνῳ γεγενημένης, ἐμφύλιος τοῖς Τούρκοις ἐπιγίνεται πόλεμος. Τουρὸν γάρ τις Χαγάνῳ τῷ γένει προσήκων, νεωτερίζειν ἐπέβαλε· καὶ δυνάμεις μεγάλας ἀθροίσας, Χαγάνου ἐπικρατέστερος ἦν. Ἐκεῖνος δ' ἑτέρους τρεῖς Χαγάνους ἑταιρισάμενος, ἔπεισι τῷ τυράννῳ· καὶ πρὸς τῷ Ἰκὰρ χωρίῳ συμβαλών, κτείνει τὸν τύραννον φόνου πολλοῦ προελθόντος, καὶ τῆς ἰδίας αὖθις χώρας καθίσταται κύριος. Τὰ δ' ἐπινίκια τοῖς τε ἄλλοις καὶ Μαυρικίῳ διεμηνύετο, ταῦτα ἐν προοιμίοις γράψας, « Τῷ βασιλεῖ τῶν Ῥωμαίων ὁ μέγας δεσπότης, ἑπτὰ γενῶν καὶ κύριος κλιμάτων τῆς οἰκουμένης ἑπτά. » Τὸ δὲ ὄρος τὸ Ἰκὰρ χρυσοῦν οἱ *Πέρσαι* καλοῦσιν ἐπὶ τὰς ἀνατολὰς ἔχον τὴν ἴδρυσιν. Οὕτω δὲ καλεῖται διὰ τὸ δαψιλὲς τῶν ἐν αὐτῷ φυομένων καρπῶν, καὶ διὰ τὸ κατάκομον εἶναι θρεμμάτων καὶ νωτοφόρων ζώων ἐς μάλιστα. Νόμος δὲ *Πέρσαις* τῷ ἐπικρατεστέρῳ Χαγάνῳ τοῦ χρυσοῦ ὄρους παραχωρεῖν. Δυσὶ δὲ καὶ τούτοις ὡς ἐπίπαν *Πέρσαι* μεγαλαυχοῦσι, τῷ μηδέποτε λοιμῶν ἐπιδημίαν θεάσθαι, καὶ τῷ σπάνιν σεισμῶν κατὰ τὴν ἐκείνων εἶναι χώραν. Τὴν γε μὴν Καὶθ καὶ Σογδοανὴν καὶ σεισμῶν καὶ λοιμῶν ἐν πείρᾳ γενέσθαι φασίν. *Οἱ δὲ* Τοῦρκοι μάλα ἐκτόπως τιμῶσι τὸ πῦρ. *Ἀέρα δὲ* καὶ ὕδωρ γεραίρουσι· γῆν δὲ ὑμνοῦσι, προσκυνοῦσι δὲ μόνῃ ταύτῃ· καὶ Θεὸν ὀνομάζουσι τὸν τὴν γῆν καὶ τὸν οὐρανὸν πεποιηκότα· ᾧ καὶ θύουσιν ἵππους, βόας καὶ πρόβατα· καὶ ἱερεῖς κεκτημένοι, οἳ καὶ τὴν τῶν μελλόντων δοκοῦσιν ἐκτίθεσθαι προαγόρευσιν· δήμους δ' ἑπτὰ παρὰ Μήδοις αἱ τῶν *πράξεων* τίμιαι διαλύονται· νόμῳ πρεσβύτῃ μὴ ἄλλως εἰωθότι κληρονομεῖσθαι τὰ πράγματα· τὸν μὲν οὖν Ἀρσακίδην ἐπιλεγόμενον δῆμον τὴν βασιλείαν κατέχειν, καὶ τοῦτον περιβάλλειν βασιλεῖ τὸ διάδημα· *ἄλλον* δὲ δῆμον τῆς πολεμικῆς προεστάναι συντάξεως. Καὶ ἑτέρῳ αἱ πολιτικαὶ φροντίδες ἀνάκεινται. Ἕτερος δὲ τὰς διαφορὰς διαλύει τῶν *περί* τι καταστασιαζόντων καὶ διαιτητοῦ δεομένων. Ὁ δὲ *πέμπτος* ἡγεῖται τῆς ἵππου· τὸν δὲ μετὰ τοῦτον φορολογεῖν τὸ ὑπήκοον, καὶ τῶν βασιλικῶν ταμείων ἔφορον πεφυκέναι· τὸν δὲ ἕβδομον, κηδεμόνα τῶν ἵππων, καὶ πολεμικῆς ἐσθῆτος ἐπίστασθαι, Δαρείου, ὡς φασι, τοῦ Ὑστάσπου τοῦτον τὸν νόμον ἐν τοῖς βασιλείοις ἐντεμνίσαντος. Κατὰ δὲ τοῦτον τὸν χρόνον, ἐκ τῶν Οὐὰρ καὶ Χουνι ἑτέρων τῶν Τούρκων *ἀποδράντες*

(1) Confundi videntur hic Persarum et Turcorum nomina.

καὶ πρὸς τὴν Εὐρώπην γενόμενοι, τοῖς περὶ τὸν Χαγᾶνον Ἀβάροις συνάπτονται ἐς δέκα χιλιάδας ἠριθμημένοι. Ὁ δὲ τῶν εἰς ἔω Τούρκων Χαγᾶνος, τὸν ἐμφύλιον διαλυσάμενος πόλεμον, εὐδαιμόνως ἐχειραγώγει τὰ πράγματα· καὶ πρὸς τοὺς ἑποίκους τῆς Ταυγὰστ διαπρεσβευόμενος, εὐθείας ἐποιεῖτο συνθήκας, ἀστασίαστον τὴν ἑαυτοῦ ἀρχὴν καθιστῶν· ὁ δὲ τῆς Ταυγὰστ ἀρχηγὸς Ταΐσὰν ὄνομα ἐκληρώσατο, ὅπερ υἱὸς Θεοῦ Ἑλλήνων λέγοι φωνή. Ἀστασίαστος δὲ τῷ κλιματάρχῃ αὐτῆς ἡ ἀρχή· οἷς τὸ γένος ἅπαν τὴν ἡγεμονίαν παρέχεται· θρησκεύουσι δὲ ἀγάλματα. Νόμοι δὲ παρ' αὐτοῖς δίκαιοι, καὶ σώφρων βίος διαπαντός. Ἄλυτος δὲ νόμος αὐτοῖς μὴ χρυσῷ καλλωπίζεσθαι ἄρρενας, καίπερ χρυσῷ πολλῷ καὶ ἀργύρῳ περιαντλουμένοις τῷ ἐπωφελῶς ἐμπορεύεσθαι. Διορίζει δὲ ταύτην ποταμὸς, δυσὶ μεγίστοις ἔθνεσι μεσιτεύων ἀντιθέτοις ἀλλήλοις· ὧν τῷ μὲν ἐσθὴς μέλαινα, τῷ δὲ ἑτέρῳ κοκκόβαφος. Πολέμου δὲ νόμῳ τὸ μέλαν διαπεραιωσάμενοι τῷ τὴν ἐρυθρὰν ἠμφιεσμένῳ ἐσθῆτα συνίστησι πόλεμον· καὶ νεανικῶς τῆς ὅλης ἡγεμονίας τὴν ἀρχὴν ἐκληρώσατο Μαυρικίου ἡγεμονεύοντος. Τὰ δὲ γύναια τῶν ἐκεῖσε βασιλευόντων ἐκ χρυσοῦ πεποιημένας ἔχουσι τὰς ἁρμαμάξας, ὑφ' ἑνὸς ἑλκομένας βοὸς, ἑκάστου κεκοσμημένου πολυτελῶς ἐκ χρυσοῦ καὶ λίθου μέγα τιμίου. Εἰσὶ δὲ καὶ χαλινοὶ τοῖς βουσὶ χρυσοκόλλητοι. Ὁ μὲν οὖν τὴν ἡγεμονίαν τῆς Ταυγὰστ ἀνειληφὼς ἑπτακοσίαις γυναιξὶ κατεπαννυχίζετο. Τὰ δὲ γύναια τῶν περιφανεστέρων ἐκεῖσε ἀνδρῶν ἀργυραῖς κέχρηνται ταῖς ἁρμαμάξαις. Τὴν δὲ Ταυγὰστ ταύτην κτίσαι φασὶν οἱ βάρβαροι τὸν Μακεδόνα Ἀλέξανδρον, ὁπηνίκα τοὺς τε Βακτριανοὺς καὶ τὴν Σογδοανὴν ἐδουλώσατο, δέκα καὶ δύο καταφλέξας ἐν αὐτῇ μυριάδας βαρβάρων. Δείμασθαι δὲ καὶ ἄλλην πόλιν ἀπὸ σημείων ταύτης ὀλίγων φασὶ τὸν Μακεδόνα Ἀλέξανδρον, ἣν Χουδὰν ὀνομάζουσιν· ἧς τὸν ἡγεμόνα τεθνηκότα νόμος ἐκράτησεν ὑπὸ τῶν γυναίων πενθεῖσθαι διηνεκῶς· καὶ μηδέποτε τὸν τάφον ἀπολιπεῖν, μέλανα ἠμφιεσμένας, καὶ ξυρῷ τὰς τρίχας ἀπορριπτούσας. Δύο δὲ μέγιστοι ποταμοὶ τὴν Χουδὰν διειλήφασιν· ὧν αἱ ὄχθαι κυπαρίσσοις ὡς εἰπεῖν κατανέουσι. Περιπολοῦσι δὲ τὸν χῶρον ἐλέφαντες. Τὰς δὲ ἐμπορίας Ἰνδοῖς συναναμίγνυνται λευκοῖς τὸ σῶμα τὰ μάλιστα· ἐνοῖς καὶ σκώληκες οἱ τὰ Σηρῶν νήματα πλέκουσι πάνυ πολλοί. Ἑναλλὰξ καὶ ποικίλην κεκτημένοι τὴν χρόαν. Φιλοτίμως δ' ἀσκοῦσιν οἱ βάρβαροι τὴν περὶ τὰ τοιαῦτα ζῶα φιλοτιμίαν. Περὶ μὲν οὖν τούτων τοσαῦτα εἰρήσθω. Καὶ ταῦτα δὲ οὐχ ἁπλῶς διῆλθον· ἀλλ' ἐπεὶ ἔμελλον τῇ ἱστορίᾳ μίγιστά τινα περί τε τοῦ τῶν Ἀβάρων ἔθνους καὶ τοῦ σῶν ἀρχηγοῦ Χαγάνου διεξελθεῖν, ὑπερφυῶς εἰργασμένα τῇ τοῦ Λόγου μητρὶ, τούτου χάριν κἀγὼ πάλιν τὴν ἱστορίαν ἀγάγωμεν.

A Taisan nomen sortitus est, quod lingua Græca Dei filium sonat. Pacatum et seditionibus vacuum regnum regionis ejus princeps obtinet, propterea quod gens tota administrationem ei deferre solet. Statuas colunt, leges apud eos justæ sunt, vitam sobrie semper degunt. Constitutionem sacrosanctam habent, ne quis virorum se auro exornet, quamvis auro et argento propter commoditatem mercimoniorum abundent. Disterminat eam ditionem amnis, inter duos maximos inter se dissidentes populos fluens, quorum alteri nigra, alteri coccinea vestis est. Qui atro amictu gaudent, flumine trajecto rubram gestantibus vestem bellum intulerunt, et fortiter imperium omne obtinuerunt, quo tempore Mauricius Romanum imperium B administravit. Conjuges ibi regum aureos currus habent, qui a singulis bobus trahuntur. Boves isti auro et magni pretii lapillis splendide sunt ornati. Eisdem freni quoque aurei sunt. Et qui regnum in Taugast suscepisset, cum septingentis feminis noctem totam consumebat. Uxores autem illustrium ibi virorum argenteis pilentis utuntur. Porro Taugast urbem condidisse Alexandrum Macedonem, Barbari dicunt, cum Bactrianos scilicet et Sogdoanem **849** subegit, duodecim Barbarorum myriadibus in ea combustis. Aliam quoque urbem non ita multis milliaribus inde dissitam, idem Alexander statuisse fertur, quam Chubdam vocant. Cujus præfectum mortuum, lege hoc ita jubente, C conjuges ejus perpetuo lugent, neque unquam a sepulcro discedunt, pulla veste indutæ, et capite novacula raso. Chubdam duo maximi amnes dividunt, quorum ripis cupressi frequentes imminent. Multi in ea regione sunt elephantes. Mercimonia autem cives cum Indis exercent, corpore quam maxime candidis. Sunt ibi quoque vermes quam plurimi, fila Serum nentes, multiplici et vario colore. Eos Barbari magno studio curant. De his hactenus : quæ quidem non frustra exposui. Cum enim de Abarum gente, et eorum duce Chagano dixerim, ut ille propter Alexandri martyris male tractatas reliquias, pœnas dederit, et rem maximam mirifice a Verbi matre gestam hic commemoraturus essem, eam ob causam paululum a pro- D posito digressus, hæc retuli. Sed jam historiam nostram ad carceres ipsos revocemus.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ ὧν Μαυρίκιος ἐπὶ τῇ σορῷ τῆς ἁγίας καὶ πανευφήμου μάρτυρος διεπράξατο Εὐφημίας.

Δώσω τοίνυν τῷ λόγῳ, ὃ Μαυρικίῳ ἐπὶ τῇ πανευφήμῳ μάρτυρι Εὐφημίᾳ γεγένηται. Ῥᾳθυμίᾳ γάρ τις εἰσῄει τῷ βασιλεῖ ψυχῆς, σμικρολογεῖσθαι περὶ τὰ ταύτης ἐξαίσια θαύματα, καὶ ῥᾳδιουργίαν ἐν-

CAPUT XXXI.

Quæ Mauricius ad tumulum sanctæ et inclytæ martyris Euphemiæ fecerit.

Hoc loco autem, quid Mauricio in celeberrima martyre Euphemia acciderit, dicam. Iners namque cogitatio imperatori incesserat, ut anxie nimis de ingentibus ejus miraculis inquireret, et fallaciam

hominum prodigia ab ea edita esse putaret. Ex adverso enim Constantinopoli inclyta Chalcedonensium civitas sita est, ubi sane templum quoque est magnifice constructum. Diximus autem non ita dudum, sacrosanctas ejus reliquias olim in hoc ipso templo, in urna marmorea repositas esse. Atque in ejusdem memoria, miraculum insigne, **850** atque eis qui id non viderunt, prope incredibile fieri solere. Ex quo enim illa in martyrii stadio decurrit, et corpus ejus in monumento conditum est, ipso passionis ejus die, in conspectu omnium, loci ejus episcopus, spongiis quibusdam ex defunctæ corpore sanguinis liquorem haurit. Sanguinem sane veluti ab recens cæso corpore vulnerum tabo mistum, et unguentis quibusdam ex seipsis natis temperatum cernas, quem exiguis vitreis vasculis episcopus exceptum atque divisum, turbæ advenienti donat. Hoc igitur auditum, sicuti dixi, animi quadam vecordia in dubium vocans Mauricius, cum tempus appeteret, argenteum ornatum ex sepulcro detrahit, et imperiali signo monumentum martyris obsignat : sic enim hoc incredulitatis volebat audacia. Postquam autem tempus ipsum quod debebat, advenit, curiose mysterium indagat, accuratiusque experimento sollicito miraculum explorat. Ecce tibi vero rursum, sicuti antea, sanguis unguento conditus, instar rivuli e monumento promanat, et spongiæ sanguine suaveolenti pinguescunt. Et martyr ipsa tum, ut prolixius sanguinis fons profluueret, fecit : atque illa ad hunc modum imperatoris incredulitatem erudiens, castigavit. Ipse autem digitis sanguini admotis, eoque humore delibutis, seipsum sanctificando conspersit : et reipsa, ut id crederet, persuasus, deinceps cum admiratione laudes suas clara voce martyri tribuit.

CAPUT XXXII.

De insigni miraculo, quod ad monumentum Glyceriæ martyris unguento scaturiens, ad Heracleam Perinthi accidit.

Minime vero abs re fuerit, si celeberrimæ martyris istius prodigio, admirandæ Glyceriæ, et ipsius martyris, miraculum conjunxero. Vir quidam, cui Paulino nomen erat, obscuro loco natus, in bonis tamen disciplinis admodum educatus, manifesto in impostorum et maleficorum barathrum demersus esse deprehensus est. Incantatori huic et mago argentea fuit pelvis, in qua detestandum cruorem excipiens, per eum exsecrandus ipse cum apostatis virtutibus colloquebatur. Vasculum id necessitate flagitante argentariis vendidit. **851** Qui pretio numerato lancem eam receperunt, venalemque et ipsi pro foribus cuivis prætereunti emendi liberam facultatem facientes proposuerunt. Accidit autem, ut Perinthius antistes Byzantii esset, et pelvim eam, ita ut venumdabatur, compararet. Itaque cum vasculo empto se in sedem suam recepit, et ob reverentiam unguenti martyris Glyceriæ, sublato priore vase æneo, argenteum illud reposuit, θρώπων εἶναι τὸ περὶ ἐκείνην τεράστιον ᾠητο. Ἀντιπέραν γὰρ τῆς Βυζαντίδος ἡ περιώνυμος Χαλκηδονέων ἵδρυται πόλις· οὗ δὴ καὶ νεὼς μεγαλοπρεπῶς ἠσκημένος ἐστίν. Εἴρηται δ' ἡμῖν οὐ πάνυ πόρρω, καὶ τὸ πανίερον ταύτης λείψανον ἐκπαλαι τῷδε τῷ σηκῷ καθεστάναι ἐπὶ λάρνακος μαρμάρου πεποιημένης. Ταύτης δὲ τῇ μνήμῃ καὶ σημεῖον παράδοξον, καὶ τοῖς μὴ τεθεαμένοις σχεδὸν ἄπιστον ἐπιγίγνεσθαι. Ἀφ' οὗ γὰρ τὸ τοῦ μαρτυρίου διήνυσε στάδιον, τῷ τάφῳ κειμένου τοῦ σώματος, κατὰ τὴν ἡμέραν τῆς τελειώσεως, ἐπ' ὄψεσι πάντων ὁ τὴν αὐτόθι ἱερατικὴν ἀξίαν κεκληρωμένος, σπόγγοις τισὶν ἀπὸ σώματος τεθνεῶτος πηγὰς αἱμάτων ἠρύετο· καὶ εἶδες ἂν ὡς ἀπό τινος νεοσφαγοῦς σώματος ἰχῶρσι τραυμάτων ἀναμεμιγμένα τὰ αἵματα, μύροις αὐτοφυέσι συγκεκραμένα τισί· καὶ τούτων τὰς διανομὰς ἐπὶ σκευῶν ἐξ ὑέλου πεποιημένων μικρῶν, τοῖς ὄχλοις τὸν ἱερέα ποιούμενον. Τοῦτο τοίνυν ὡς εἴρηται τὸ ἐξάκουστον ῥᾳθυμίᾳ ψυχῆς διαπιστῶν ὁ Μαυρίκιος, τοῦ καιροῦ προσιόντος, τὸν ἀργύρεον ἀφῃρεῖτο κόσμον τὸν τάφον, καὶ ταῖς βασιλικαῖς περιεφρούρει σφραγῖσι τὸ μνῆμα τῆς μάρτυρος. Οὕτω γὰρ τὸ τῆς ἀπιστίας θράσος ἐβούλετο. Ἐπεὶ δ' ὁ προσήκων ἐνειστήκει καιρὸς, περιειργάζετο τὸ μυστήριον· καὶ τὰ τοῦ θαύματος ἐξετάζων, βασάνῳ ἀκριβεῖ ἐδοκίμαζε. Καὶ πάλιν ὡς πρότερον μεμυρισμένων αἱμάτων ἀπὸ τοῦ μνήματος ἐπήγαζον ποταμοὶ, τῶν σπόγγων αὖθις πιαινομένων εὐωδίας ἐν αἵμασι. Καὶ τότε μᾶλλον ἡ μάρτυς πολλαπλασίω τὴν ἔκροιαν τῶν αἱμάτων ἐπήγαζεν. Ἡ μὲν οὖν οὕτω τοῦ βασιλέως ἐπαιδαγώγει τὸ ἄπιστον σωφρονίζουσα· ὁ δ' αὐτοκράτωρ τοῖς αἵμασι τοὺς δακτύλους προσῆγε· καὶ διαβρόχους ποιῶν, ἑαυτὸν ἁπανταχοῦ καθηγίαζε. Καὶ πεισθεὶς ἐκ τοῦ πράγματος, τοῦ λοιποῦ τῇ μάρτυρι τὸν αἶνον διαπρυσίως ἀνέπεμπεν ἐκπληττόμενος.

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τοῦ γενομένου παραδόξου θαύματος ἐπὶ τῇ μυροδόχῃ Γλυκερίας τῆς μάρτυρος ἀνὰ τὴν Ἡειρίνθου Ἡράκλειαν.

Οὐκ ἀπὸ δ' ἂν μοι καιροῦ γένοιτο, εἰ καὶ τὸ συμβὰν τῇ θαυμαστῇ Γλυκερίᾳ καὶ μάρτυρι, τῷ τῆς πανευφήμου τεραστίῳ συνάψω. Ἀνὴρ γάρ τις Παυλῖνος τὴν κλῆσιν καὶ τῶν ἀσήμως βιούντων, παιδεία δ' ὅτι πλείστης μετειληχὼς, ἐπὶ τὸ τῶν γοήτων βάραθρον ἐνεχθεὶς, ἔνθεν κατάφωρος γίνεται. Τούτῳ τῷ γόητι ἀργύρεος ἐνῆν λεκανὶς, ἐν ᾗ τὰ ἐναγῆ αἵματα συναθροίζων, ταῖς ἀποστατικαῖς δι' αὐτῶν ὁ ἐξάγιστος προσωμίλει δυνάμεσι· ταύτην οὖν τὴν ἐξ ἀργύρου δεξαμενὴν ἀνδράσιν ἀργυρον ἐμπορευομένοις χρείας ἀναγκαίας καλούσης ἐπέπρασκεν. Οἱ μὲν οὖν τὰς τιμὰς καταθέμενοι τὸ σκεῦος ἐλάμβανον· καὶ αὖ οὗτοι πρὸ τῶν θυρῶν τὸ σκεῦος ἐτίθεντο, ἄδειαν διδόντες παντὶ τῷ παραπορευομένῳ ὠνήσασθαι. Διατρίβοντι δ' οὖν ἐς Βυζάντιον τῷ τῆς Ἡειρίνθου ἀρχιερεῖ, ὠνίου ἐκείνῳ ἡ λεκανὶς γίνεται πρὸς ἐκποίησιν ἠρτημένη· καὶ ὁ μὲν μεθ' οὗ ἐπρίατο σκεύους τὸν οἰκεῖον κατελάμβανε θρόνον· αἰδεῖ δὲ τῶν μύρων Γλυκερίας τῆς μάρτυρος, ὁ ἱερεὺς τὸ

πρώην χάλκεον ὑπαλλάττων σκεῦος, τὸ ἀργύρεον ἀντιτίθησι, τῇ λατρείᾳ τῶν θειορρύτων μύρων τοῦτο μάλα δὴ πρόσῃκον οἰόμενος. Καὶ ὁ μὲν οὕτως ἐποίει· ὁ δὲ ποταμὸς τῶν μύρων ἀνείργετο. Ἡ γὰρ μάρτυς βδελυττομένη τὸ μῦσος τὴν χάριν συνίστελλε· μηδὲ γὰρ εἶναι θεμιτὸν ἄντικρυς ἔλεγε καὶ σιγῶσα τὸ καθαρὸν τοῦ μὴ καθαροῦ ἐφάπτεσθαι. Τοῦτ' ἐπὶ πολλὰς ἡμέρας γινόμενον ὁ ἱερεὺς διαγνοὺς, ἐν δεινῷ ἐποιεῖτο· καὶ φροντίσι ποικίλαις διεδονεῖτο, εἴγε δι' αὐτοῦ ἡ Ἐκκλησία τοῦ τοσούτου χηρεύει καλοῦ. Ἔνθεν τοι καὶ πρὸς δάκρυα καὶ δεήσεις χωρῶν, κατελιπάρει Θεὸν λῦσαι τοῦτο τὸ ἄχθος καὶ τὸ μυστήριον ἀναδεῖξαι τοῦ πράγματος· καί γε Θεοῦ καλῶς ἀποστραφέντος τὸ μῦσος, καὶ τὴν ἄγνοιαν ἐνδίκως οἰκτείραντος, κατάδηλα δι' ὀνείρων τούτῳ τὰ τῆς δεξαμενῆς ἐποιεῖτο βδελύγματα. Καὶ παραχρῆμα τὴν ἐξ ἀργύρου φιάλην ὑπεξῆγεν ἐκείνην· τὴν δ' ἐκ χαλκοῦ πρεσβύτιδα, λάτριν αὖθις ὡς ἀγνὴν προστίθησι τῷ σεβάσματι οἷα παρθένον καὶ ἄχραντον. Καὶ δῆτα βλύζει παραυτίκα πάλιν τὸ μύρον, καὶ τῶν θαυμάτων ἡ χύσις αὖθις πηγάζει. Στηλιτεύεται δὲ διαπρυσίως τὸ βδέλυγμα· καὶ ἡ πόλις τὴν σφετέραν αὖθις περιβάλλεται δόξαν. Τοῦτο εἰς ὦτα τῷ κρατοῦντι ἀνενεχθὲν διὰ τοῦ τῆς πρώτης ἐπειλημμένου ἀρχῆς· Ἰωάννης οὗτος ὁ Νηστευτὴς ἦν· καὶ ὑπ' αὐτοῦ εἰς τὸν τῶν καταδίκων ζόφον ἐξαφθεὶς ὁ κρατῶν, τοῦ βασιλέως μεταμέλῳ καὶ μετανοίᾳ ἰάσασθαι βουλομένου τὸ ἔγκλημα, δικαστήριον μέγιστον συναθροίζεται· καὶ γοήτων πλῆθος ἐμφανίζεται· οἳ καὶ δεινῷ περιπλακέντες ἀφύκτῳ, ἐκεῖνοι μὲν πρὸς κῶλασιν ἐξεδίδοντο, τὰς προσηκούσας ποινὰς εἰσπραξόμενοι· ὁ δέ γε Παυλῖνος, ξύλῳ πρὸς τὸ ἀναντες κεχηνότι ἀναστολοπισθεὶς, αἰσχρῶς τὸ ζῆν ἀπορρήγνυσιν· πρότερον τὴν τοῦ παιδὸς τεθεαμένος σφαγήν· ἦν γὰρ δὴ καὶ αὐτῷ μεταδοὺς ἀρκούντως τῆς ἀνοσίου μαγγανείας τὰ τερατεύματα. Τοῦτο μὲν δὴ τοιοῦτον· ὃ δὲ καὶ ἄλλο παράδοξον διεπράχθη κατ' ἐκεῖνο καιροῦ τῇ τοῦ Λόγου Μητρὶ διηγήσομαι.

ΚΕΦΑΛ. ΑΓ'.

Ὅτως ἀξία δίκη μετῆλθε ποινὰς εἰσπραττομένη οἳ κατὰ τῆς ἁγνῆς Θεομήτορος βλάσφημον πεπαικάσι γλῶτταν.

Ἕλληνές τινες ἔν τινι συμποσίῳ ἐπ' οἴκου τινὸς περὶ οἶνον ποιούμενοι τὴν διατριβὴν, μετὰ τὸ ἄριστον ἐπεὶ καὶ ἱκανῶς διάδροχοι τῷ πότῳ ἐγένοντο, ἔπειτα βλασφημεῖν ἐπεχείρουν καὶ λοιδορεῖσθαι τῇ τοῦ Λόγου Μητρὶ, τελευταῖον τῷ πότῳ σπούδασμα ἐποιοῦντο, ὅτ' ἂν τις ἐννοήσειε τῶν ἀτόπων διατωθάζοντες, καὶ τῷ τῆς οἰκονομίας μυστηρίῳ ἐπεγγελῶντες. Ἐπεὶ δὲ τὸ ἀνόσιον ἔγνωστο, ἐκεῖνοι μὲν τῆς ἀκολάστου γλώσσης ἀξίας εἰσεπράττοντο δίκας· ὁ δὲ τοῦ οἴκου δεσπότης, ἵνα καθήμενοι τῆς ἀτόπου βλασφημίας ἐνεφοροῦντο, καίπερ οὐκ ἀμύητος ὤν, τότε μὲν, ὡς ἐγχωροῦν ἐκείνῳ, διέφυγε τὸν κίνδυνον. Οὐ πολλῷ δὲ ὕστερον, νυκτὸς αὐτῷ κοιμωμένῳ, ἦλθε ἡ Θεομήτωρ ἐφεστᾶσα· ἣν ἐρομένην ἀκριβῶς ἥτις

A cultui divinitus manantis unguenti id maxime convenire arbitratus. Atque ille quidem hoc sic fecit. Rivus autem unguenti constitit. Martyr enim ipsa piaculum tantum detestata, gratiam et donum id cohibuit. Haudquaquam enim fas esse, tacens etiam dicebat, ut mundum immundo contingeretur. Hoc postquam diebus plurimis fieri cognovit episcopus, oppido quam graviter tulit, variasque curas in animo ipse suo, quod ipsius culpa Ecclesia commoditate tanta orbari deberet, volutavit. Proinde ad lacrymas et preces conversus, Deo supplicavit, ut hanc rem tam gravem auferret, et facti ejus causam latentem ostenderet. Deus vero rite abominationem eam amoliens, et inscitiam misericordia legitime prosequens, antistiti in somnis
B lancis piaculum manifestat. Ille statim argenteam phialam subducit, et priorem illam æream, perinde atque puram et quasi virginem atque immaculatam ministram cultui religioso restituit. Et ecce tibi derepente unguentum rursum scaturit, et miraculorum latex denuo exundat. Piaculum autem exsecrandum manifesto in apertum producitur, et non aliter quam in publicis columnis incisum proponitur, urbique gloria sua redditur. Ea res ubi ad imperatoris aures, per primariæ sedis episcopum (Joannes is Jejunator erat) relata est, princeps ab eodem episcopo ad reos capitali supplicio persequendos excitatus est (nam is resipiscentia atque pœnitentia crimen corrigere voluit); judicium igi-
C tur maximum cogitur, et maleficorum multitudo ingens producitur. Qui in gravem carcerem conjecti, ad supplicia, debitas persoluturi pœnas, traditi sunt. Inter quos Paulinus in palum summa parte hiantem (1) actus, turpiter vitam finiit: cum prius cædis filii sui spectator fuisset. **852** Siquidem et hunc abunde impiæ impostura et maleficii portentis imbuerat. Atque hoc ita est gestum. Quod vero præter opinionem omnem aliud a Verbi matre eodem tempore est actum, id quoque referam.

CAPUT XXXIII.

Ut dignas vindicta divina pœnas exegerit ab eis qui contra immaculatam Dei Matrem blasphemam ausi sunt movere linguam.

Græci quidam sive gentiles, in cujusdam domo
D convivantes, et vino sese invitantes, post prandium, simul atque satis adhiberant, blasphemare et conviciis proscindere Verbi Matrem cœpere: postremum hoc compotationi adhibentes studium, ut quæcunque aliquis eorum excogitare posset, absurda atque indigna, per ea ridens œconomiæ et dispensationis salutis nostræ mysterio illuderet. Impietas ea postquam innotuit, illi quidem condignas petulantis linguæ pœnas dedere. Ædium autem, in quibus confidentes gravi blasphemiæ indulserant, dominus, a sacris nostris non alienus, tum quidem, quod res ita tulerit, periculum effugit. Non multo vero post, noctu ei dormienti in

(1) In crucem scilicet.

somnis Dei Genitrix astitit, cui diligentius, Ecquid se, quamnam esset, nosset, percunctanti : postquam ipse, nosse se eam professus est : illa ei contumeliarum indignitatem in memoriam revocavit. Tum ille miser supplex illi esse, veniamque delicti petere : et ne tam cito morte mulctaretur, sed tempus ei pœnitentiæ relinqueretur, orare. Illa, daturam se hoc ei, neque in præsentia ipsum ita morte pœnas luiturum, promittere : vimine autem, quod manu gestare videbatur, genua ejus circumcirca veluti exarans, circumscribere. Id ubi factum, avolans, ei postea non apparuit. At ille, somno discusso, membra ea quæ vimine notata fuerant, statim ab reliquo corpore disrupta invenit, recenti sanguine profluente. Et in publicum productus, justum omnibus judicium promulgavit. Qui vero id audierunt, laudes Deo, propter tam inopinatum miraculum, cantarunt. Matrem itidem Dei celebrarunt, quæ ita semper Christianorum genus tueretur, quæque novo quodam modo affectionem erga nos suam quamvis præter naturam ejus sit, ut quemquam puniat, vi quadam adacta ostenderet, ut scilicet religio nobis stabilis et firma esset.

εἴη, ἐπεὶ γναρίζειν διωμολόγει, ἐκείνη τὸ τῶν ὕβρεων ἄτοπον ὑπεμίμνησκεν. Ὁ δ' ἱκέτης ἄθλιος ἦν καὶ συγχωρεῖν ἐδεῖτο, καὶ μὴ ἐκ τοῦ παραχρῆμα ἀναιρεῖν πειρᾶσθαι, ἀλλ' ὑπολιπέσθαι μετανοίας καιρόν. Ἡ δ' ἐπηγγέλλετο τοῦτ' αὐτῷ χορηγεῖν, καὶ μὴ νῦν διδόναι τὰς δίκας. Λύγῳ δὲ ὧν τῇ χειρὶ περιφέρειν ἔφκει, περικύκλῳ τὰ ἐκείνου γόνατα περιέγραφεν ὥσπερ διαχαράττουσα· καὶ οὕτω διαπραξαμένη, ἀπέπτη ἀφανὴς τοῦ λοιποῦ γενομένη. Ὁ δὲ τὸν ὕπνον ἐκτιναξάμενος, διαῤῥαγέντα εὐθὺς τῆς ὁλομελείας εὑρίσκει τὰ μέλη, ἃ τῷ λύγῳ διέγραψεν, αἵματος νεαροῦ ἀποῤῥέοντος· καὶ προτεθεὶς δημοσίᾳ, πᾶσι τὴν ἐνδικον κρίσιν ἐξήγγελλεν. Οἱ δ' ἀκούοντες, αἶνον ἀνῆγον τῷ παραδόξῳ Θεῷ, καὶ τῇ Μητρὶ τοῦ Θεοῦ οὕτω τοῦ τῶν Χριστιανῶν γένους ὑπερασπιζούσῃ ἀεί, καὶ τρόπον ἕτερον τὸ συμπαθὲς ἐπιδεικνυμένῃ, κἂν καὶ παρὰ φύσιν αὐτῇ τὸ κολάζειν, βιαζομένῃ, ὡς ἄν γε τὰ τῆς θρησκείας ἔμπεδα εἴη.

853 CAPUT XXXIV.

De sancto Joanne Jejunatore, archiepiscopali dignitate Constantinopoli ornato.

Tum vero etiam hierarcha urbis Constantinopolitanæ Joannes (1), post episcopatus sui annos tredecim, ex hac vita decessit. Qui quod voluptates expugnarit, animique perturbationes coercuerit, et imperium in ventrem exercuerit, Jejunator a Byzantiis cognominatus est : vir ex idiotarum quidem ille et opificii non inhonesti ordine progressus, sed qui propter præstantem virtutem ad episcopatus fastigium sublatus sit. De quo cum multa alia memorata digna prædicantur, tum illud maxime celebratur, quod propter suam erga pauperes affectionem et misericordiam (2), pluribus ab imperatore talentis mutuo sumptis, syngraphamillidederit, qua substantiam suam mutuæ pecuniæ tanquam hypothecam opposuit atque impignoravit. At postquam is e vita migravit, Mauricius, antistitis facultates inquirens, paupertatem eum magnopere consectatum fuisse comperit : eumque de virtute tanta admiratus, syngraphamstatim discerpsit : et lectulum tantum ligneum, qui in bonis ejus repertus est, et amiculum laneum tenue admodum, nec non penulam quamdam deformem (fuerat namque Joannes male vestitus, frugalitate vitæ conspicuus) in aulam imperialem inferri jussit, eaque rebus omnibus prætulit. Et jejuniorum solemni tempore deinceps, lectis ex auro et lapillis pretiosis concinnatis, sericisque vestibus, et aliis imperialibus deliciis valedicto,

ΚΕΦΑΛ. ΛΔ'.

Περὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Νηστευτοῦ τοῦ τὴν ἀρχιερατικὴν Κωνσταντινουπόλεως περιβαλλομένου ἀξίαν.

Τηνικαῦτα δὲ καὶ ὁ τὴν ἱεραρχίαν διεθύνων τῆς πόλεως Ἰωάννης μετὰ ἔτη δεκατρία τὸν τῇδε βίον ἀπέλιπεν· ὃς διὰ τὸ καταφιλοσοφῆσαι τῶν ἡδονῶν, τυραννῆσαί τε τῶν παθῶν, καὶ αὐτοκράτορα τῆς κοιλίας γενέσθαι, Νηστευτὴς ὑπὸ τῶν Βυζαντίων κατωνομάζετο· ἀνὴρ ἐξ ἰδιώτου καὶ τέχνης χαρίγμασι δεξιᾶς διὰ τὸ τῆς ἀρετῆς ὑπερφέρον εἰς τὸ τῆς ἀρχιερωσύνης ὕψος ἀρθείς. Περὶ οὗ καὶ ἄλλα μὲν πολλοῦ λόγου ἄξια φέρεται· λέγεται δ' οὖν, ὡς συμπαθείας οἵκτῳ τῷ πρὸς τοὺς πένητας ἱκανὰ πρὸς τοῦ αὐτοκράτορος δανείσασθαι τάλαντα, καὶ γραμματεῖον αὐτῷ ἐγχειρίσαι, τὴν οἰκείαν περιουσίαν ταῖς τοῦ δάνους ὁλκαῖς ὑποθέσθαι. Ἐπεὶ δὲ μετῆρεν ἐντεῦθεν, ὁ Μαυρίκιος τὴν τοῦ ἱερέως περιουσίαν διερευνησάμενος, εὑρίσκει τοῦτον τὸ ἀφιλοχρήματον ἐς ἄκρον φιλοσοφήσαντα· καὶ δῆτ' ἀγάμενος τὸν ἄνδρα τῆς ἀρετῆς, διαῤῥήσσει μὲν τὸ γραμματεῖον εὐθύς· μόνον δὲ τὸν παρεισρεύθεντα σκιμποδίσκον ξύλινον, καὶ τὴν ἐξ ἐρίου σισύραν ἐς τὰ μάλιστα εὐτελῆ, φαινόλην τέ τινα ἀκτλλῆ (δυσείμων γὰρ ἦν ὁ ἀνὴρ λιτότητι βίου λαμπόμενος). Ταῦτα δὴ ταῦτα ἀντὶ πάντων ὁ Μαυρίκιος τιμησάμενος, ἐς τὰ βασίλεια μετηγάγετο. Τῷ καιρῷ τοίνυν τῶν νηστειῶν ταῖς χρυσαῖς καὶ λιθοκολλήτοις τῶν κλινῶν, τοῖς τε νήμασι τῶν σηρῶν, καὶ τῇ ἄλλῃ βασιλικῇ τρυφῇ χαίρειν λέγων, τῇ ξυλίνῃ στιβάδι τοῦ ἱερέως παννυχίζων ἐχρῆτο θείας τινὸς ἐντεῦθεν χάριτος· οἱόμενος μεταλήψεσθαι. Τότε καὶ τὸ Μαύρων ἔθνος ἐς Λιβύην

(1) Inter Joannem istum et Gregorium episcopum Romanum contentio fuit; quod Joannes œcumenicus episcopus nominari voluerit cui *propterea* Gregorius restitit. Blond., *Gregor. Epist.* l. IV, c. 29.

(2) Alii Joannem Eleemosynarium nominant. Cujus sacri cineres in arce Badensi fuere.

πρῶτον ἐφάνη, ἀναχράτος ὑπὸ στρατηγῶν Γερμανῶν τῶν ἐκεῖσε τόπων ἐκνικηθέν.

A ligneo præsulis ejus toro noctibus tolis usus est, gratiam quamdam divinam ex eo se consecuturum existimans. Tum quoque Maurorum gens in Libya visa est, a Germanis ducibus bello locis suis expulsa.

ΚΕΦΑΛ. ΛΕ.

Τίνα τεκμήρια προηγήσαντο τῆς τοῦ αὐτοκράτορος Μαυρικίου ἀναιρέσεως· καὶ περὶ τῶν δειχθέντων τεράτων.

Ἐν δὲ τῷ τότε καὶ πλεῖστα σύμβολα διεφάνη τὴν τοῦ αὐτοκράτορος δηλοῦντα διαδοχήν. Πρῶτον μὲν γὰρ κομήτης μέγιστος ὤφθη ἐπὶ πλείστας περιφανῶς διαλάμπων ἡμέρας· καὶ ἄλλο δέ τι ἐπισυμβὰν, τοῦτο μᾶλλον ἐμφανέστερον παρεδήλωσεν. Ἀνὴρ γάρ τις λιτότητι βαθείᾳ τὰ μάλιστα διαζῶν, καὶ ἐν μονήρει βίῳ ἀσκήσεως τῆς τῶν ἀπορρήτων θεωρίας μετειληφὼς, καὶ τὰ πρὸς τὸν τῇδε βίον διαλυσάμενος, σπάθην γυμνώσας ἀπὸ τοῦ φόρου (ἐπίσημος δ' οὗτος ὁ χῶρος τῆς πόλεως), μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων ξιφήρης προῆλθε· καὶ μέγα βοῶν προηγόρευεν, ἐν οὐ πολλῷ τὸν αὐτοκράτορα σύναμα παισὶ καὶ τῇ γαμετῇ φόνῳ μαχαίρας τεθνήξεσθαι. Καιρῷ δὲ θέρους καὶ Ἡρωδιανόν τινα εἰς τοὐμφανὲς τὸ ἐσόμενον τούτῳ προαναγγεῖλαι. Καὶ οὗτος δὲ οὐκ ἄνευ θείας ὁμφῆς διισχυρίζετο ἐπιφανῆ γενέσθαι οἱ τὰ τῆς προῤῥήσεως. Καὶ ἄλλα δὲ τέρατα τηνικαῦτα γεγένηται, ἃ μήποτέ τις ἢ ὄψει ἢ ἀκοῇ παρειλήφει. Ἐν μὲν γὰρ Θράκῃ γυνὴ παιδίον ἐγέννα, πλημμέλημα φύσεως ἄντικρυς. Ὡς πορῥωτέρω γὰρ παντάπασιν ἦν ὀφθαλμῶν· βλεφαρίδων τε καὶ ὀφρύων ἄμοιρον ἐτύγχανεν ὄν, καὶ τὴν ἄλλην πλάσιν ἀμόρφωτον καὶ ἀδιατύπωτον. Χειρῶν γὰρ καὶ βραχιόνων ἀπηλλοτρίωτο, πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐραῖον ἦν αὐτῷ συμφυές. Ὃ δὴ καὶ ὁ βασιλεὺς θεασάμενος, τὸ μὲν τέρας ἀναιρεῖσθαι προστάττει, καὶ αὐτίκα τὸ ξίφος ἠσπάζετο· ἡ δὲ τερατοτόκος ἐκείνου μήτηρ, ἐπεὶ μηδὲν συμβαλεῖν τῷ παραδόξῳ διεγνώσκετο, ἀφίετο τοῦ ἐγκλήματος. Τότε δὴ καὶ ὁ τῶν βασιλείων ἵππων ἐπισημότερος τῷ χρυσέῳ κόσμῳ καταλαμπόμενος ἀθρόον πεσὼν διερράγη. Πρὸ δὲ τοῦ ἄστεως τῆς βασιλίδος καὶ ἕτερα παράδοξα τίκτονται· ἓν μὲν τέτταρας πόδας ἔχον παιδίον, καὶ δικόρυφον ἕτερον. Ἃ δὴ καὶ ἀνιάτῳ ξίφει ὑπήγοντο

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ τῶν ἐν Νειλῴοις ῥείθροις ἀναφανέντων ἀνθρωπομόρφων ζώων.

Ἐνάτῳ δὲ καὶ δεκάτῳ ἔτει τῆς Μαυρικίου ἀρχῆς, Μηνᾶ τὴν Αἰγυπτιακὴν ἀρχὴν διιθύνοντος, κἀπὶ τοῖς Νειλῴοις ῥείθροις, παραδόξων τινῶν ἐπιφάνεια γίνεται. Ἐπεὶ γὰρ ὁ στρατηγὸς ἐπὶ τὸ Δέλτα ἦκε (χῶρος δὲ οὗτος Αἰγυπτίοις ἐπίσημος, ἐκ του σχήματος τοῦ στοιχείου τὴν ὀνομασίαν λαβών)· καὶ περὶ πρώτην ἕω ἐπὶ τὰς ὄχθας τὴν ὁδὸν ἐποιεῖτο, ἀθρόον ἐκ τῶν τοῦ ποταμοῦ λαγόνων ἀνήρ τις ἐκπληξιν παρέχων ἀνῆει, γίγαντι τὸ πρόσωπον ἐοικὼς, δριμὺς τὸ βλέμμα, τὴν κόμην ἐπίξανθος, διεσπαρμένας ἔχων καὶ πολιὰς, τὰ στέρνα βαθὺς· ἡρωϊκῷ δὲ ἄρα ἐῴκει ἔκ τε τῶν νώτων καὶ βραχιόνων· μέχρι δὲ τῆς κώπεως ἀναῤῥιχώμενος, τὴν ἱστορίαν παρίχετο. Τὰ

854 CAPUT XXXV.

Qualia indicia eadem Mauricii imperatoris præcesserint : et de quibusdam portentis quæ apparuerunt.

Eodem tempore plurima etiam indicia apparuere, imperatoris mortem portendentia. Primum enim cometa maximus visus est, plurimis coruscans diebus. Et alia quæ accidit res, clarius etiam id ostendit. Nam vir quidam qui quam tenuissime B vixerat, et in vita solitaria sese contemplatione rerum arcanarum exercuerat, vitæque isti mundanæ renuntiaverat, strictum gladium in foro (celebris hic urbis locus est) usque ad vestibulum aulæ imperialis gerens, processit, et voce magna prædixit, brevi imperatorem una cum liberis et conjuge ferro cæsum iri. Æstatis vero tempore, Herodianus etiam quidam, id quod de imperatore futurum esset, propalam renuntiavit : atque is non sine divina sorte sibi prædictionem eam manifestatam esse confirmavit. Alia insuper prodigia tum temporis accidere, quæ nunquam antea aliquis vel vidit vel audivit. In Thracia siquidem mulier puerum genuit monstrosum prorsus, naturæque ipsius piaculum. Oculis namque, palpebris et supercriliis C caruit, neque reliqua corporis constitutione formam et effigiem justam habuit : quippe cui neque manus, neque brachia essent, et cui ad coxendices cauda piscis illis innata dependeret. Quod portentum ubi imperator vidit interfici jussit, gladiumque statim exosculatus est. Mater autem quæ monstrum ipsum protulerat, quandoquidem sua culpa ad inopinatum miraculum nihil contulisset, crimine absoluta est. Tum etiam ex imperialibus equis præstantissimus, et aureo ornatu spectatissimus, derepente concidens, ruptus est. In suburbanis autem imperantis civitatis vicis, alia quoque monstra nata sunt : puer videlicet quatuor pedes habens, et biceps alter, uterque vero ferro concisus est.

855 CAPUT XXXVI.

De animantibus humana forma, quæ in flumine Nilo apparuerunt.

Decimo nono imperii Mauricii anno, Mena præfecto Ægyptum gubernante, etiam in flumine Nilo portenta quædam exstiterunt. Postquam namque præfectus in Delta (locus hic apud Ægyptios præclarus est, ex litteræ ejus figura nomen adeptus) venit, et ipse diluculo ad amnis ripam iter fecit, subito ex fluminis alveo vir quidam horrorem secum afferens, prodiit, vultu giganti similis, aspectu gravi, capillo subflavo et canis resperso, pectore ingenti, dorso et brachiis heroicum quiddam præ se ferens, atque pubetenus cum subinde ex undis subsiliret, spectandum se præbens, reliquo vero corpore sub aqua latens : veluti enim erubesce-

ret, sic arcana naturæ occultavit. Eum ubi dux conspexit, solemniter eum identidem adjuravit, siquidem dæmonium esset, ut e conspectu abiret, et in solitudinem se reciperet : sin creatrix aliqua vis id protulisset, ut ne prius spectandum se subduceret, quam omnes inopinato aspectu satiati essent. Itaque animans id (hominem enim dicere non ausim) diutius constitit adjuratione constrictum, seque omnibus conspiciendum præbuit. Tertio deinde die, sub auroram, aliud etiam animans muliebri forma (nam id natura satis indicabat) ex undis emersit. Nam vultus ipsius lævitas, comæ prolixitas, nec non reliqua corporis constitutio, et capilli partim complicati, partim soluti, formæque splendor, feminam esse demuntiabant : sed coma ei subnigra, facies candida, nasus mediocris, et digiti in manibus decentes erant. In ore tenera florebant labia, ubera leniter intumescebant, et papillæ a pubertate recenti paululum prominere conspicienti videbantur. Reliquas mulieris partes flumen occultabat, arcana thalami conjugalis mysteria spectatoribus, perinde atque eis qui sacris secretioribus initiati non essent, subducens. Dux igitur ipse et cohors ejus usque ad occasum solis spectaculo eo oculos pavere, quo tempore et animalia ea intimos amnis recessus subiere, **836** cum silentio sese videnda exhibuissent. Muta namque taciturnitate conspectum sui amatoribus præbuerunt. Ex omnibus vero infaustis hisce indiciis, imperator gravem rerum exitum conjectando colligebat. Et jam tum futuri casus metu perturbabatur : propterea quod, qui diligenter historias conscripserunt, haudquaquam commoda rebuspublicis ejuscemodi prodigiorum ostenta esse, memoriæ prodiderant.

CAPUT XXXVII.

Quomodo Commentiolus et Priscus, duces regionum Europæ, cum Abaribus congressi, supra triginta millia hostium ceciderint. Et rursus quædam de Chosroe.

Non multum intercessit temporis, cum Priscus et Commentiolus, regionum Europæ præfecti, soluta ea, quam arte quadam cum Chagano Abare pepigerant, pace, clam id jubente principe, ratibus Istrum trajecerunt. Atque ubi primum in Viminaceum (insula ea est in Istro flumine sita) delati, et deinde subito cum Barbaris et quibusdam aliis congressi sunt, unius mensis spatio plurimis præliis, supra triginta millia Abarum, Gepidarum, et Slavinorum interemerunt : eorumdemque ultra quindecim millia ceperunt : et victoria tali potiti, qualem vix unquam aliquis ab hostibus reportasse cognitus est, retrocesserunt. Captivos porro Chagano per legationem petenti, Mauricius restituit. Hiberno autem tempore, quum Romanorum copiæ, vi cogente Commentiolo, stratam lapidibus Trajani viam, Gerontio vetustæ nobilitatis viro, qui centum et duodecim annos natus erat, duce transi-

δ' ἄλλα ἡ τοῦ ὕδατος φύσις ἐκάλυπτεν. Ὡσανεὶ γὰρ αἰσχυνομένῳ ἐῴκει, ὥστε δὴ καὶ τὰ τῆς φύσεως ἀπόῤῥητα ἐκκαλύπτειν. Ὁ δῆτα ὁ ἡγεμὼν θεασάμενος, ὅρκοις πυκνοῖς ἔβαλλεν, εἰ μὲν εἴη δαιμόνιον, καταλύειν τὸ θέατρον καὶ τὴν ἠρεμίαν ἀσπάζεσθαι· εἰ δὲ δημιουργική τις καὶ τοῦτο φροντὶς προηνέγκατο, μὴ λῦσαι τὴν θεωρίαν πρὶν πάντας τῆς παραδόξου θέας ἐμφορηθῆναι. Τὸ μὲν οὖν ζῶον ἐκεῖνο (εἰπεῖν γὰρ ἄνθρωπον οὐ θαῤῥῶ) ἐπὶ πολὺ διήρκει τοῖς ὅρκοις κατεμπεδούμενον, καταφανὲς τοῖς ἅπασι καθορώμενον. Τρίτῃ δ' ἔῳ ἐκ τῆς κοιλίας τοῦ ὕδατος καὶ θηλύμορφον ἕτερον ἀνεδίδοτο· τοῦτο γὰρ ἡ φύσις ἐσήμαινε. Τό τε γὰρ τοῦ προσώπου λεῖον, καὶ τὸ τῆς κόμης σχοινοτενές, καὶ ἡ λοιπὴ τοῦ σώματος σύνταξις, αἵ τε περιπλοκαί, καὶ τὰ ἕκλυτα, καὶ τὸ περιλάμπον τῆς ὥρας, τὸ γύναιον καθυπέγραφεν. Ἀλλ' ἡ μὲν κόμη τῷ θήλει διεμελαίνετο· λίαν δὲ τὸ πρόσωπον ἐλευκαίνετο· εὔρινον δ' ἦν καὶ τὰς χεῖρας εὐδάκτυλον, ἁπαλοῖς περιηνθισμένον τοῖς γεῖσιν. Ἐσφρίγα δὲ τῷ μαζῷ, καὶ τῇ φαντασίᾳ ἐδόκει τὸ τιτθίον ἄρτι ὑπὸ τῆς ἥβης προκύπτειν μικρόν. Τὰ δ' ἐφεξῆς τοῦ γυναίου ἡ τῶν ὑδάτων φύσις ἐφύλαττε, τῆς εὐνῆς τὰ μυστήρια, ὥσπερ ἀμυήτους τινὰς τῶν ἀποῤῥήτων τοὺς θεατὰς ἀποκρύπτουσα. Ἡ μὲν οὖν περὶ τὸν ἡγεμόνα τάξις ἄχρι τοῦ κλῖναι τὸν ἥλιον καὶ ὁ ἡγεμὼν ψυχαγωγοῦντες διετέλουν τὰ ὄμματα· κλίναντος δ' ἐκείνου, καὶ τὰ ὁρώμενα κατεδύοντο εἰς τοὺς ἐξαρχῆς τῶν ὑδάτων τυθμένας, ἀφωνίᾳ τὴν ἐπίδειξιν συστησάμενα· ἀφθόγγῳ γὰρ σιωπῇ τὴν ἱστορίαν τοῖς ἐρασταῖς ἐπεδείξαντο. Ὠλιγίζετο δ' ἐπὶ πᾶσι τούτοις τοῖς ἀπαισίοις συμβόλοις ὁ βασιλεὺς δεινῶς ἐσομένων πραγμάτων εἶναι τὴν ἔκβασιν. καὶ ἐπὶ τοῖς παροῦσι δέει τοῦ μέλλοντος ἐταράττετο· ὅτι καὶ οἱ τὰς ἱστορίας ἐπιμελῶς συγγραψάμενοι μὴ εἰς ἀγαθὸν ταῖς πόλεσιν εἶναι τὴν τῶν τοιούτων τεράτων ἐπιφάνειαν ἱστοροῦσιν.

ΚΕΦΑΛ. ΑΖ'.

Ὡς Κομεντίολος καὶ Πρίσκος οἱ στρατηγοὶ τῶν Εὐρωπαίων κλιμάτων τοῖς Ἄβαροις συμπλακέντες, ὑπὲρ λ' χιλιάδας ἀνεῖλον· καὶ περὶ τοῦ Χοσρόου αὖθις.

Οὐ πολλῷ δὲ ὕστερον Πρίσκος καὶ Κομεντίολος τῶν Εὐρωπαίων κλιμάτων οἱ στρατηγοὶ, τὴν τεχνητὴν μετὰ Χαγάνου τοῦ Ἄβαρος εἰρήνην διαλυσάμενοι, κρύφα ὑπαθεμένου τοῦ ἄνακτος σχεδίαις τισὶν ἐς τὸ πέραν Ἴστρου διαβιβάζονται, ἐπὶ τὸ Βιμινάκιον διασωθέντες τὸ πρότερον· νῆσος δὲ αὕτη περὶ τὰ ῥεῖθρα τοῦ Ἴστρου διακειμένη. Καὶ ἐξαπναίως τοῖς βαρβάροις καὶ λοιποῖς ἄλλοις συμβεβληκότες, καὶ μηνὸς ἑνὸς διαστήματι πλείστοις συῤῥηγέντες ἐκείνοις πολέμοις, κτείνουσι μὲν ὑπὲρ τριάκοντα χιλιάδας Ἀβάρων καὶ Γητείων καὶ Σκλαβηνῶν. Ζωγροῦσι δ' ἐκ τούτων ὑπὲρ πέντε καὶ δίκα χιλιάδας· οὕτω τε νίκην οἵαν οὔπω τις ἔγνω διαπραξάμενοι, ὀπίσω αὖθις ἐχώρουν. Τοὺς δὲ ζωγρίας, Χαγάνου πρεσβεύσαντος, Μαυρίκιος ἀπεδίδου. Χειμῶνος δ' ὥρᾳ τὴν Τραϊανοῦ λιθόστρωτον τοῦ στρατοῦ Ῥωμαίων, ᾗπερ Κομεντιόλου διερχομένων ὁδὸν, Γεροντίου παλαιγενοῦς ἡγουμένου, χρόνων ἑυκαί-

δεκα πρὸς τοῖς ἑκατὸν πεφυκότος, ψύχους δριμυτάτου ἐπισυμβάντος, πολλοὶ διεφθείροντο. Κομεντίολος μὲν οὖν ἐπὶ τὸ Βυζάντιον ἦκει· Πρίσκος δὲ τοῖς κατὰ Θράκην ἐπεχωρίασεν, εἴ πού τινες ἐκδρομαὶ γένοιντο ἀνακόψων. Ἔαρος δ' ὑπολάμποντος, ἐπεὶ ἐς Βυζάντιον ἐγεγόνει, πάλιν στρατηγὸς ἀναδείκνυται. Τῷ δὲ ιθ' ἔτει τοῦ αὐτοκράτορος οὐδέν τι μέγα Ῥωμαίοις καὶ Βαρβάροις ἐπράχθη. Τότε δὲ Μαυρίκιος Θεοδόσιον τὸν υἱὸν νυμφίον ἐπόμπευε, πρὸς ἔννομον γάμον αὐτῷ Γερμανοῦ τὸ θυγάτριον ἁρμοσάμενος, ἀνδρὸς λίαν ἐξόχου, καὶ τῶν ἐς συγκλήτου βουλὴν ἀνιόντων, μάλα ἐπιφανοῦς. Ἀλλὰ καὶ Χοσρόης τὰς διατριβὰς ἐν Βαβυλῶνι ποιούμενος, ὑπὸ τῶν ἡμετέρων συμμάχων, Σῦροι δὲ οὗτοι, καὶ τὰ πρόσοικα τούτοις χωρία, νυττόμενος, διαλύειν ἐπεχείρει τὰς μετὰ Ῥωμαίων σπονδάς. Πρεσβευσαμένου δὲ τοῦ κρατοῦντος, αἱ μὲν σπονδαὶ καὶ πάλιν κρατύνονται· ὁ δὲ πρέσβυς κακῶς ἔπαθεν, εἰπὼν πρὸς τὸν αὐτοκράτορα, ὡς Ὁ Περσῶν βασιλεὺς τάδ' εἶπε· καὶ ἐπήκοον τῶν σατραπῶν ἐς μέσον διείλεκται· Διὰ τὴν τοῦ πρέσβεως ἀρετὴν δίδωμι τῷ πολέμῳ τὴν λύσιν. Χαλεπαίνει ταῦτ' ἐνωτισάμενος βασιλεύς· καὶ γίνεται τῷ Γεωργίῳ σφαλερὰ ἡ τῆς πρεσβείας ἐπίτευξις· οὕτω γὰρ ὁ πρέσβυς ὠνόμαστο. Ταῖς γὰρ ἀληθείαις λόγος μὴ μέτροις ὡς χρεὼν διοικούμενος, μεγάλας συμφορὰς οἷδε τοῖς χρησαμένοις παρέχεσθαι. Καὶ περὶ μὲν τούτων οὕτως.

των τῶν ὁρωμένων ἄφθαρτα καὶ αἰώνια δημιουργεῖσθαι ὑπὸ Θεοῦ. » Πρὸς τούτῳ συντέλειαν μέν φησι τοῦ ὁρωμένου τούτου κόσμου, ἥγουν παρέλευσιν, καὶ αὖθις καινοῦ κόσμου ἑτέραν γένεσιν. Ὁρίζεται δὲ καὶ νεκρῶν ἀνάστασιν εἶναι, τὴν τῶν λογικῶν ψυχῶν πρὸς τὸ φθαρτὸν σῶμα ἕνωσιν ἀδιάλυτον. Οἷς οἱ περὶ Κόνωνα ἐναντιούμενοι, αὐτόν τε καὶ τὰ τούτου συγγράμματα ἀπεώσαντο, ὡς μοι ῥηθήσεται· κἂν καὶ πρότερον αὐτὸν ἀπεδέχοντο· « Τὰ σώματα, λέγοντες, κατὰ μὲν τὴν ὕλην οὐ φθείρονται, ἀλλὰ κατὰ μόνον τὸ εἶδος· καὶ πάλιν ἀναμορφοῦνται, κρείττων εἶδος προσιεμένης τῆς ἐν αὐτοῖς ὕλης. » Καὶ γένεσιν μὲν κόσμου καὶ οὗτοί φασι κατά τε ὕλην καὶ εἶδος, φθορὰν δὲ αὐτοῦ κατὰ τὸ εἶδος μόνον, οὐ μὴν καὶ κατὰ τὴν ὕλην πάσχειν. Ὁρίζονται δὲ καὶ ἀνάστασιν εἶναι νεκρῶν, τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν ἕνωσιν ἀδιάλυτον. Ὁ δὲ Φιλόπονος πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα φιλοσοφεῖ, ἢ τό γε ἀληθέστερον εἰπεῖν, φληναφεῖ· « Οὐκοῦν ἑκάστη φύσις οὐ μοναχῶς λέγεται τοῦθ' ὅπερ ἐστίν, ἀλλὰ διχῶς· καθ' ἕνα μὲν τρόπον, ὅταν τὸν κοινὸν ἑκάστης φύσεως λόγον αὐτὸν ἐφ' ἑαυτοῦ θεωρῶμεν, οἷον τὴν ἀνθρώπου φύσιν, ἢ τὴν ἵππου ἐν οὐδενὶ τῶν ἀτόμων γινομένην· » ἑτέραν δὲ ὅταν αὐτὴν δὴ ταύτην τὴν κοινὴν φύσιν ἐν τοῖς ἀτόμοις γινομένην κατίδωμεν, καὶ μερικωτάτην ἐν ἑκάστῳ αὐτῶν λαμβάνουσαν ὕπαρξιν· καὶ οὐδενὶ ἄλλῳ πλὴν ἐκείνῳ καὶ μόνῳ λοιπὸν ἐφαρμόζουσαν. Τὸ γὰρ ἐν ἐμοὶ ζῶον λογικὸν θνητὸν οὐδενὶ τῶν ἄλλων ἀνθρώπων ἐστὶ κοινόν, οὐδὲ ἡ ἐν τῷδε τοῦ ζώου φύσις ἐν ἄλλῳ τινὶ γένοιτ' ἄν. Ὅτι δὲ ταύτας τὰς ἐννοίας περί τε φύσεων ἔχει καὶ ὑποστάσεων ἡ τῆς Ἐκκλησίας διδασκαλία, δῆλον ἐξ ὧν μὲν φύσιν Πατρός τε καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὁμολογοῦμεν· τρεῖς δὲ τὰς τούτων ὑποστάσεις εἴτουν πρόσωπα δογματίζομεν· καθ' ἃς ἕκαστον ἰδιότητί τινι ἐκ τῶν λοιπῶν διακρίνεται. Τίς γὰρ ἂν εἴη φύσις μία θεότητος ἢ ὁ κοινὸς τῆς θείας φύσεως λόγος αὐτὸς καθ' ἑαυτὸν θεωρούμενος, καὶ τῇ ψιλῇ ἐπινοίᾳ τῆς ἑκάστου ἰδιότητος κεχωρισμένος; Ὅτι τε ἰδικώτερον πάλιν τὸ τῆς φύσεως γινώσκομεν ὄνομα, τὸν κοινὸν λόγον τῆς φύσεως ἐφ' ἑκάστου τῶν ἀτόμων, ἤγουν τῶν ὑποστάσεων, ἑκάστης ἴδιον γινόμενον θεωροῦντες· καὶ οὐδενὶ λοιπὸν ἑτέρῳ τῶν ὑπὸ τὸ κοινὸν εἶδος ἐφαρμόζειν δυνάμενον, δηλαδὴ πάλιν ἐξ ὧν ἐπὶ Χριστοῦ δύο φύσεων ἕνωσιν πρεσβεύομεν· τῆς θεότητος, φημί, καὶ τῆς ἀνθρωπότητος. Οὐ γὰρ δὴ τὴν κοινὴν ἐπὶ τῆς ἁγίας Τριάδος νοουμένην θεότητα σεσαρκῶσθαί φαμεν· οὕτω γὰρ ἂν καὶ τὴν ἐνανθρώπησιν τοῦ ἁγίου Πνεύματος κατηγορήσημεν. Ἀλλ' οὐδὲ τὸν κοινὸν τῆς ἀνθρωπίνης φύσεως λόγον ἡνῶσθαι τῷ Θεῷ Λόγῳ δεξάζομεν. Οὕτω γὰρ ἂν πάλιν καὶ τοῖς πρὸ τοῦ Λόγου ἐπιδημίας γενομένοις ἀνθρώποις, καὶ τοῖς μετ' αὐτὴν ἐσομένοις ἅπασιν ἡνῶσθαι ἂν ὁ τοῦ Θεοῦ Λόγος, δικαίως ἐλέγετο. Ἀλλὰ δῆλον ὅτι φύσιν θεότητος ἐνταῦθά φαμεν τὴν ἐν τῇ ὑποστάσει τοῦ Λόγου τῆς κοινῆς θεότητος φύσιν. Ὅθεν καὶ μίαν φύσιν τοῦ Θεοῦ Λόγου σεσαρκωμένην ὁμολογοῦμεν, σαφῶς ἀποκρίνοντες αὐτὴν τοῦ

A hisce vero corporibus corpora alia visibilibus istis longe præstantiora, incorruptibilia et sempiterna, a Deo conduntur. » Ad hæc consummationem sive interitum visibilis hujus mundi, ac rursum novi mundi creationem alteram, asserit. **873** Statuit etiam mortuorum resurrectionem esse, rationalium videlicet animarum cum corruptibili corpore indissolubilem unionem. Quibus sententiis renitens Conon, ipsum juxta et lucubrationes ejus, sicuti a me dicetur, rejecit; quamvis eas antea receperit. « Conon ipse corpora dixit non secundum materiam, sed tantum juxta formam occidere, eaque denuo conformari, præstabiliorem speciem materia ipsa recipiente. Mundi ille quoque creationem juxta materiam et formam, interitum autem ejusdem juxta formam solummodo, non autem secundum materiam, ferre dicit. Resurrectionem vero mortuorum esse corporis istius cum anima rationali unionem indissolubilem decernit. » Enimvero Philoponus, præter ea quæ diximus, hæc quoque philosophatur: seu potius, ut verius dicam, nugatur: « Itaque natura quælibet non simpliciter, id quod est, dicitur, sed dupliciter. Uno enim modo, cum communem cujuslibet naturæ rationem ipsam per seipsam contemplamur: veluti hominis aut equi naturam, in nullo individuorum exstantem. » Alio vero modo, cum eam ipsam communem naturam in individuis exsistentem, et particularem maxime in quolibet eorum subsistentiam recipientem, neque cuipiam alii, præterquam illi ipsi soli de cætero convenientem, consideramus. Quod namque in me est animal rationale et mortale, nulli reliquorum homini commune est. Neque quæ in hoc ipso animante est natura, in alio quopiam fuerit. Quod vero has ipsas notiones de naturis et subsistentiis Ecclesiæ doctrina habeat, ex eo constat, quod naturam quidem Patris et Filii et Spiritus sancti profitemur, tres autem horum subsistentias sive personas prædicamus, per quas quælibet proprietate quadam a reliquis discernitur. Quænam etenim sit natura una divinitatis, quam communis divinæ naturæ ratio, ipsa per seipsam considerata, et nuda contemplatione a proprietate cujusque discreta? Et quod proprie et peculiariter rursum naturæ nomen consideremus, dum rationem naturæ in quolibet individuorum sive subsistentiarum communem, propriam atque peculiarem cujuslibet factam, quæ nulli deinceps alii, quod sub communem speciem cadat, coaptari possit, contemplamur, ex eo patet, quod in duabus Christi naturis, unionem divinitatis, inquam, et humanitatis docemus. **874** Non enim communem, quam in sancta Trinitate consideramus divinitatem, incarnatam esse dicimus: sic etenim et Patris et Spiritus sancti incarnationem prædicaverimus; sed neque communem humanæ naturæ rationem unitam esse Deo Verbo opinamur. Eo namque pacto, et qui ante Verbi adventum exstiterunt, et qui postea futuri erant,

hominibus omnibus, unitum esse Dei Verbum A
recte dicatur. Cæterum satis liquet, nos hic divinitatis naturam dicere eam quæ est in subsistentia Verbi, non communis divinitatis naturam. Itaque etiam unam naturam Dei Verbi incarnatam esse profitemur, diserte eam a Patre et Spiritu sancto secernentes : ita ut hic quoque communem naturæ rationem, propriam jam Dei Verbi esse intelligentes, Verbi naturam incarnatam dicamus. Et naturam itidem humanitatis unitam Verbo dicentes, particularem maxime illam subsistentiam, quam solam ex omnibus Verbum assumpsit, sentimus.

τε Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος· ὥστε κἀνταῦθα τὸν κοινὸν τῆς φύσεως λόγον ἴδιον τοῦ Θεοῦ Λόγου νενοηκότες, σεσαρκῶσθαί φαμεν τοῦ Λόγου τὴν φύσιν· καὶ φύσιν πάλιν ἀνθρωπότητος λέγοντες ἡνῶσθαι τῷ Λόγῳ, τὴν μερικωτάτην ἐκείνην ὕπαρξιν, ἣν μόνην ἐκ πασῶν ὁ Λόγος προσείληφε, δογματίζομεν.

CAPUT XLVIII.

Præterea de hæresi Monophysitarum, quod ea insidiose admodum et periculose de Dei Verbi incarnatione opinatur.

Sed Philoponus cum sectatoribus suis, commu- B
nem humanam naturam, ipsamque etiam divinam, quam indivisibilem dicimus, in plurimas partitur personas, discernens eam, et singulatim individuis tribuens, et tribus supersubstantialis naturæ subsistentiis dispertiens. Id vero ipsum a recte sentientibus prorsus est alienum : quemadmodum hoc magnus in theologia vir Gregorius clarissime in libro ad Evagrium monachum de divinitate scripto, astruit. Quin etiam post illum eruditi quidam homines, ea quæ perperam a Philopono prolata sunt, refellerunt. Et cum plerique alii scriptis suis ea oppugnarunt, tum Leontius monachus omnium maxime egregium librum triginta capitum contra illum conscripsit, quo simul et hæresim eam prorsus everit, et piam nostram C
sententiam valde confirmat. Post hunc et admirandus ille diaconus atque referendarius Georgius Pisides, æqualis sive coætaneus illius, quamvis ætate aliquanto junior, iambis pulcherrimis, quos scribere consueverat, cum dicta hæresi congressus, **875** rem seriam ludicro temperando, ad hunc modum refert, absurditatem illius refutans :

Unam atque mox unam lapillo computat:
At unam et unam forte si unam dixeris,
Pueri vel ipsi tale dictum riserint.

Quod autem versiculis hic expressit, sic habet : Profiteris, inquit, Philopone, philosophorum omnium laboriosissime et sapientissime, duas naturas in Verbo unitas esse : unam divinitatis, et unam humanitatis. Si ergo duas naturas dicis in eo convenisse, quomodo duas in unam rursus contrahis ? Una namque et una duæ sunt, non una. Itaque si quis in eadem subjecta re duo quædam prædicando indicet, eaque ipsa rursum in unum redigat, ridendum se merito præbeat. Talis Monophysitarum fuit hæresis, impii Nestorii hæresi prorsus contraria. Nestorius enim, propter duas naturas, duas etiam subsistentias numerat, isti vero propter unam subsistentiam unam quoque substantiam et naturam. Verum Nestorii hæresis, ut de hac *rursus* agamus, non dicit Deum hominem factum *esse*, *neque de cœlo descendisse*, et humanæ na-

ΚΕΦΑΛ. ΜΗ'.

Ἔτι περὶ τῶν Μονοφυσιτῶν, ὅτι σφαλερῶς περὶ τῆς τοῦ Θεοῦ Λόγου σαρκώσεως δογματίζουσι.

Ἀλλ' ὁ μὲν Φιλόπονος καὶ ὅσοι ἐκείνου σύμφρονες, τὴν κοινὴν ἀνθρωπείαν φύσιν, καὶ αὐτὴν δὲ τὴν θείαν ἣν φαμεν ἀδιαίρετον, εἰς πλεῖστα διίστησι πρόσωπα, ἀποδιαιρῶν αὐτὴν κατὰ μόνην ἑνιστῶν τοῖς ἀτόμοις, καὶ ταῖς τρισὶ μερίζων τῆς ὑπερουσίου φύσεως ὑποστάσεσι. Τοῦτο δὲ πάντη ἀλλότριον τοῖς ὀρθόφροσιν· ὡς δὴ καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος τοῦτο ἀριδηλότατα παριστᾷ ἐν τῷ πρὸς Εὐάγριον μοναχὸν λόγῳ περὶ θεότητος. Οὐ μὴν δὲ καί τινες τῶν μετέπειτα λογίων ἀνεξέλεγκτα παρῆκαν τὰ τῷ Φιλοπόνῳ κακῶς ἐξενηνεγμένα. Ἀλλὰ πολλοὶ μὲν καὶ ἄλλοι τούτοις ἀντέθεντο· μάλιστα δὲ πάντων ὁ μοναχὸς Λεόντιος γενναίως ἐν λ' κεφαλαίοις βίβλον ὅλην τούτοις ἀντέστησεν, ἄρδην μὲν τὴν τοιαύτην αἵρεσιν ἀνατρέπουσαν, σφόδρα δὲ καὶ τὸ καθ' ἡμᾶς εὐσεβὲς δόγμα κρατύνουσαν. Ἐπὶ δὲ τούτῳ καὶ ὁ θαυμάσιος διάκονος καὶ βαιφερενδάριος Γεώργιος ὁ Πισσίδης, ἡλικιώτης ὢν ἐκείνῳ, εἰ καὶ τῷ χρόνῳ λίαν νεώτερος, ἐν ἰάμβοις μέτροις ἀρίστοις, ὥσπερ εἴθιστο γράφειν, πρὸς τὴν εἰρημένην αἵρεσιν ἀντιβὰς, καὶ παιδιὰν σπουδῇ κεραννύς, οὕτω πως διεξέρχεται, σφόδρα διελέγχων τὸ ἄτοπον·

Ψηφίζεται θᾶττον μίαν τε καὶ μίαν·
Εἰ γὰρ μίαν τε καὶ μίαν λέγεις μίαν,
Γέλως τὸ λεχθὲν γίγνεται καὶ παιδίοις.

Ὃ δέ φησι τοιοῦτόν ἐστιν· Ὁμολογεῖς, φησὶ, φιλοπονώτατε καὶ φιλοσοφώτατε, δύο φύσεις ἡνῶσθαι τῷ Λόγῳ· μίαν τῆς θεότητος καὶ μίαν τῆς ἀνθρωπότητος. Εἰ τοίνυν δύο φύσεις λέγεις συνεληλυθέναι αὐτῷ, πῶς εἰς μίαν αὖθις τὰς δύο συστέλλεις; φησί· μία γὰρ καὶ μία δύο, ἀλλ' οὐχὶ μία. Γέλως γοῦν εἴ τις κατὰ τοῦ αὐτοῦ ὑποκειμένου δύο κατηγορίη τινὰ, καὶ αὖθις ἓν πάλιν τὰ τοιαῦτα ποιοῖτο. Ἀλλὰ τοιαύτη μὲν ἡ τῶν Μονοφυσιτῶν αἵρεσις, ἐναντιωτάτη πάμπαν τῇ τοῦ δυσσεβοῦς, Νεστορίου αἱρέσει καθεστηκυῖα. Ὁ μὲν γὰρ Νεστόριος διὰ τὸ δίττὸν τῶν φύσεων καὶ δύο ὑποστάσεις καταριθμεῖ· οἱ δὲ διὰ τὴν μίαν ὑπόστασιν καὶ μίαν οὐσίαν καὶ φύσιν τίθενται εἶναι. Πλὴν ἡ τοῦ Νεστορίου αἵρεσις, ἵνα περὶ ταύτης καὶ αὖθις διαληψώμεθα, οὗ φησι τὸν Θεὸν ἄνθρωπον γενέσθαι, οὐδ' ἐξ οὐρανοῦ καταβῆναι, καὶ τῇ ἀνθρωπίνῃ ἐνωθῆναι φύσει οὐσιωδῶς·

ἀλλά τινα σχετικὴν διάθεσιν. Φησὶ γὰρ ἑνωθῆναι τὸν Θεὸν Λόγον τῷ ἐκ Μαρίας ἀνθρώπῳ, ὥσπερ εἴ τις φίλος φίλῳ ἕνωσιν διὰ σχέσεως ποιοῖτο. Καὶ λανθάνει μὲν πολλοὺς ἕνωσιν ὀνομάζων Θεοῦ καὶ ἀνθρώπου· τὸ δ' ἀληθὲς διάστασιν καὶ οὐχ ἕνωσιν σαφέστατα δογματίζει· τὸ γὰρ λέγειν μὴ οὐσιωδῶς ἑνωθῆναι τῷ ἀνθρώπῳ τὸν Θεὸν Λόγον, ἀλλὰ κατὰ φιλικήν τινα σχέσιν, οὐχ ἕνωσις ἀκριβής, ἀλλὰ διάζευξις ἀληθής. Ὅθεν τὸν αὐτὸν καὶ ψιλὸν ἄνθρωπον καὶ ὑψηλὸν ἔλεγεν ὁ Νεστόριος· ψιλὸν μὲν, ὡς ἐστερημένον τῆς οὐσιώδους τοῦ Θεοῦ ἑνώσεως, ὑψηλὸν δὲ, ὡς ἐκ πρώτης γενέσεως τετελειωμένον ταῖς ἀρεταῖς. Ἔνθεν τοι καὶ τὴν ὡς ἀληθῶς Θεοτόκον οὐ Θεοτόκον ὁ ἀλιτήριος κατωνόμαζεν, ἀλλὰ Χριστοτόκον ἐκάλει, ὡς ἄνθρωπον θεῖον δῆθεν καὶ Θεοῦ φίλον γεννήσασαν· καὶ ὡς χρίσμα τι λαβόντα παρὰ Θεοῦ, προφητικὸν ἢ βασιλικὸν καὶ ἀρχιερατικὸν ἀξίωμα· μὴ μέντοι γε δὴ καὶ οὐσιωδῶς Θεῷ ὁμιλήσαντα διὰ τῆς ἐνανθρωπήσεως. Καὶ ταῦτα μὲν ὁ Νεστόριος· ὁ δὲ ἀτυχέστατος τὰ κρείττονα Εὐτυχὴς Θεὸν μὲν ὡμολόγει τεχθῆναι ἀπὸ τῆς ἀχράντου παρθένου καὶ Θεοτόκου, καὶ τοῦτο μόνον ἐτίθετο εὐσεβῶς· πεπλασμένην δὲ τὴν σάρκα ἐδόξαζε, καὶ ὅσα ἑξῆς. Τὸν γὰρ Θεὸν αὐτὸν Λόγον τραπέντα ἀτρέπτως, καὶ σάρκα γενόμενον, φαντάσαι τὴν οἰκονομίαν· διὸ καὶ πάντα τὰ σωματικὰ τοῦ Θεοῦ φαντασιώδη ἔλεγεν εἶναι· καὶ αὐτὸ δὲ τὸ σταυρῷ παγῆναι φύσιν ἐκείνην τὴν θείαν καὶ ἀπερίγραπτον φαντασιωδῶς γενέσθαι ὡρίζετο. Καὶ τὰ μὲν τῶν δύο τούτων αἱρέσεων, τῶν ἀλλήλαις παντάπασιν ἐναντίων, ὡς εἴρηται, τῶν τε Νεστοριανῶν, φημὶ, καὶ Μονοφυσιτῶν, ἧς ὁ Ἀλεξανδρεὺς Ἰωάννης, ὁ καὶ Φιλόπονος προῦστη ἐς ὕστερον, ἐπὶ τόσον εἰρήσθω.

turæ substantia ipsa unitum esse, sed habitu quodam et affectione. Unitum namque Deum Verbum sic homini ex Maria prognato referi, uti se amicus amico per affectionem unit. Et multos Nestorius, unionem Dei et hominis nominans, latenti quadam fraude fallit: reipsa autem divisionem, non unionem apertissime docet. Si namque dicas, non substantia ipsa Deum Verbum homini, sed amica quadam affectione unitum esse, non unio certa, sed disjunctio vera fuerit. Quapropter eumdem et tenuem et sublimem hominem idem Nestorius dixit: tenuem quidem, veluti substantiali Dei unione destitutum; sublimem vero, tanquam a prima nativitate virtutibus perfectum. Proinde etiam revera Dei Genitricem, non Dei Genitricem homo nefarius nominavit, sed Christi Genitricem vocavit: perinde atque divinum hominem et Deo amicum genuerit, qui unctionem quampiam a Deo, propheticam videlicet aut regalem et pontificalem dignitatem acceperit, non autem substantia etiam ipsa Deo unitus per incarnationem fuerit. Atque hæc quidem Nestorius. Infelicissimus autem melioribus etiam rebus suis Eutyches, **876** Deum quidem natum esse ex immaculata Virgine et Dei Genitrice profitetur, idque ipsum solum recte pieque posuit, fictam vero carnem ejus fuisse opinatus est, et quæ præterea illis alia perperam docuit. Ipsum namque Deum verbum dixit immutabili modo mutatum et carnem factum, in speciem finxisse atque assimulasse salutis nostræ œconomiam et dispensationem. Itaque corporalia omnia in speciem phantasia quadam simulata atque ficta ei affuisse asseruit. Et hoc ipsum, quod natura illa divina, quæ circumscribi et comprehendi nequit, cruci affixa sit, in speciem per phantasiam gestum esse statuit. De duabus hisce hæresibus inter se prorsus, sicuti diximus contrariis, Nestorianorum, inquam, et Monophysitarum, quibus postea Joannes Philoponus Alexandrinus præfuit, hactenus sit dictum.

ΚΕΦΑΛ. ΜΘ'.

Περὶ τοῦ φιλοσόφου Ἰωάννου, τοῦ Φιλοπόνου καὶ Τριθείτου.

Λέγεται μέντοι καὶ ταύτης δὴ τῆς αἱρέσεως τὸν Σευῆρον πρότερον καθηγήσασθαι, προστῆναι δ' ἐς ὕστερον τὸν Φιλόπονον· μετὰ δὲ Σευῆρον διαδέξασθαι πρῶτον τὴν αἵρεσιν ταύτην Θεοδόσιον τὸν παρ' ἐκείνοις πάππαν Ἀλεξανδρείας γενόμενον, εἶτα καὶ ἄλλους· ἐξ ὧν καὶ οἱ Ἀγνοῆται λεγόμενοι καὶ οἱ Κοντοβαβδῖται, ἀπό τινος τόπου κληρωσάμενοι τὸ ἐπώνυμον· οἳ δὴ καὶ Θεοδοσιανοὶ, ὡς τὸν προειρημένον μᾶλλον δεχόμενοι Θεοδόσιον, ὠνομάσθησαν· ὕστερον δ' ὑπ' ἐκείνου παραπεμφθέντες τῷ ἀναθέματι, ὡς τὸ τῆς ἀγνοίας ἀγνοήματι παραπεπτωκότες. Οἱ μέντοι ἄλλοι, ὡς μὴ τὸν παρ' ἐκείνου ἐκτεθέντα περὶ Τριάδος λόγον εἰσδεδεγμένοι, Κοντοβαβδῖται ἀπὸ τοῦ τόπου ἐκλήθησαν· οἳ δὴ ὡς τὸν Σευῆρον μόνον δεχόμενοι, Σευηρῖται ἐκλήθησαν. Ἔστι δὲ καὶ ἄλλο Σευηριτῶν σύνταγμα τῶν καὶ Θεοδοσιανῶν, οἳ καὶ ἀμφω τούτους προσίενται· πρὸς δὲ καὶ Παῦλον τὸν ἐπίκλην Μελανόν. Καὶ τρίτοι δέ εἰσι

CAPUT XLIX.

De philosopho Joanne Philoponо Tritheita.

Fertur sane, sectæ istius ducem primum Severum fuisse, postea autem Joannem Philoponum eam defendisse. Porro autem post Severum hæresim hanc primum recepisse Theodosium, qui apud eos Alexandriæ papa factus est. Deinde et alios, a quibus et qui Agnoetæ dicuntur, et Contobabditæ, a loco quodam nomine hoc sumpto, prodierunt: qui et Theodosiani, quod scilicet eum quem diximus, Theodosium potissimum consectati sint, sunt appellati: sed postea ab illo anathemati subjecti sunt. Ita ut ignorantiæ hæresis intercidens, ignorantiæ mandata sit. Alii autem, quod scriptum ejus de Trinitate compositum non receperint, Contobabditæ a loco, sicuti diximus, nominati sunt. Ii quoque, quod Severum tantum receperint, Severitarum nomen habuere. Est alia etiam Severitarum cohors, qui et Theodosiani vocantur: propterea quod ambos hosce admiserint,

tertiumque insuper Paulum cognomento Nigrum. Tertii præterea Severitæ sunt, qui et ipsi Theodosiani dicuntur, et Angelitæ, et Damianistæ; ii episcopos suos quoque habent, a quibus congruentia nomina accipiunt; episcopos soli Contobabditæ non recipiunt. Porro Severitæ isti, qui iidem et Theodosiani et Angelitæ, necnon et Damianistæ sunt, **877** alium esse dicunt Patrem, alium esse Filium, et alium Paracletum, Spiritum videlicet sanctum; non esse autem horum quemque per seipsum naturam, sed habere communem Deum sive deitatem in eis exsistentem: atque de ea deitate indivisibili modo participantes, quemlibet esse Deum. Unam autem subsistentiam opinantur esse, Patrem, et Filium, et Spiritum sanctum: communem vero ipsum Deum, substantiam et naturam. Cæterum Angelitæ isti ab adversariis ita appellati sunt, a quodam Alexandriæ loco, Angelii nomen habente: in quo scilicet, qui primas apud eos ferunt, conventus cogebant. Hos iidem adversarii Sabellianistas etiam, et Tetraditas nominarunt. Sunt rursum alii etiam quarti Severitæ, iidemque Petritæ, nomen id ab episcopo quodam suo Petro consecuti: qui Severo et Theodosio recepto, Paulum et Damianum non admiserunt, quippe opinionem utriusque improbantes: et quod cum Ecclesia catholica communicantes, synodum quartam non approbarunt. Profitentur siquidem illi Deum, secundum veritatem et essentiam et naturam quamque per seipsam: Patrem et Filium et Spiritum sanctum dicentes, non numero, sed per omnia simili essentia. Eos Paulus et Damianus Tritheitas nominarunt: sicuti illi hosce quandoque etiam Sabellianistas, sicuti modo dixi. Insuper alia quoque quinta Severitarum et Theodosianorum secta est, qui Cononitæ dicti sunt, et qui Severum et Theodosium, et episcopum præterea apud eos quemdam Cononem, a quo etiam nominati sunt, probant. Profitentur sane et isti, revera Deum quidem esse et naturam et essentiam quamque, Patrem videlicet et Filium et Spiritum sanctum: ad hæc, tres quoque personas dicunt, ipsam nimirum sanctam Trinitatem, et subsistentias tres. Tres autem numero substantias et naturas per omnia similes, secundum deitatem dicentes, unamque susbstantiam sive naturam, et unam deitatem sive Deum, sanctam et consubstantialem profitentes Trinitatem, non numero, sed per omnia simili deitate, tres deos aut tres deitates omnino dicere tergiversantur. Isti sane neque Damianum, neque Paulum, neque adeo postremum apud eos Petrum receperunt. Quos ipsos Damianistæ et Pauliani et Petritæ Tritheitas primi appellarunt. **878** Discesserunt autem ab eis, propterea quod illi tres deos, sive tres deitates dicere, Patrem et Filium et Spiritum sanctum, renuentes, tres quoque dicere numero substantias æquales, et nihil prorsus variantes detrectant. Hi autem *tres quidem deos seu tres* deitates dicere super-

A Σευηρῖται, οἳ καὶ Θεοδοσιανοὶ καὶ Ἀγγελῖται, καὶ Δαμιανισταί· οἳ καὶ ἐπισκόπους σφῶν δέχονται, ἀφ' ὧν παρωνύμως κικλήσκονται· οὓς οἱ Κοντοβαβδῖται μόνοι οὐ δέχονται· οἱ δὴ Σευηρῖται οὗτοι, οἱ καὶ Θεοδοσιανοὶ καὶ Δαμιανισταί, ἄλλον μὲν εἶναι λέγουσι τὸν Πατέρα, ἄλλον δὲ τὸν Υἱόν, καὶ ἄλλον τὸν Παράκλητον, τὸ ἅγιον δηλαδὴ Πνεῦμα. Μὴ εἶναι δὲ τούτων ἕκαστον καθ' ἑαυτὸν φύσιν, ἀλλ' ἔχειν κοινὸν Θεὸν, ἤγουν θεότητα ἐνύπαρκτον καὶ ταύτης μετέχοντας ἀμερίστως, εἶναι Θεὸν ἕκαστον. Μίαν δὲ ὑπόστασιν δοξάζουσι τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸν δὲ κοινὸν αὐτὸν Θεὸν οὐσίαν καὶ φύσιν. Ἀγγελῖται δὲ τοιοῦτοι ἀπὸ τῶν δι' ἐναντίας ἐκλήθησαν, ἔκ τινος ἐν Ἀλεξανδρείᾳ τόπου, Ἀγγελίου καλουμένου, ἐν ᾧ καὶ τὴν συναγωγὴν οἱ
B τὰ πρῶτα παρ' αὐτοῖς φέροντες εἶχον· οὓς οἱ ἐξ ἐναντίας καὶ Σαβελλιανιστὰς καὶ Τετραδίτας ὠνόμασαν. Τέταρτοι πάλιν ἕτεροι Σευηρῖται, οἱ καὶ Πετρῖται ὄνομα ἔσχον ἀπό τινος ἐπισκόπου αὐτῶν Πέτρου τὴν κλῆσιν· οἱ Σεύηρον καὶ Θεοδόσιον ἀποδεχόμενοι, Παῦλον καὶ Δαμιανὸν οὐ προσίεντο, ἀθ' ἑκατέρων τὴν δόξαν ἐπαιτιώμενοι· καὶ ὅτι τῇ καθόλου κοινωνήσαντες Ἐκκλησίᾳ τὴν δ' οὐ προσήκαντο σύνοδον. Ὁμολογοῦσι γὰρ Θεὸν κατὰ ἀλήθειαν καὶ οὐσίαν καὶ φύσιν ἕκαστον καθ' ἑαυτὴν, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα λέγοντες οὐκ ἀριθμῷ,
C ἀλλὰ τῇ ἀπαραλλάκτῳ οὐσίᾳ. Οὓς Τριθεῖτας οἱ περὶ Παῦλον καὶ Δαμιανὸν κατωνόμαζον· ὡς ἐκεῖνοι τούτους ποτὲ μὲν Τετραδίτας, ποτὲ δὲ καὶ Σαβελλιανιστὰς, ὥς μοι προείρηται· ἐν τούτοις ἄλλο πάλιν πέμπτον τμῆμα Σευηριτῶν καὶ Θεοδοσιανῶν, οἱ Κωνωνῖται ἐκλήθησαν· οἱ δὴ Σεύηρον καὶ Θεοδόσιον δέχονται, πρὸς δὲ καί τινα ἐπίσκοπον παρ' αὐτοῖς ὄνομα Κόνωνα· οἱ δὴ καὶ αὐτοὶ ὁμολογοῦσι μὲν κατὰ ἀλήθειαν Θεὸν μὲν εἶναι καὶ φύσιν καὶ οὐσίαν ἕκαστον, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα.
D Ἔτι γε μὴν καὶ τρία πρόσωπα φασὶ, τὴν ἁγίαν Τριάδα, καὶ ὑποστάσεις τρεῖς. Τρεῖς δέ τινας τῷ ἀριθμῷ οὐσίας καὶ φύσεις ἀπαραλλάκτους κατὰ τὴν θεότητα λέγοντες, μίαν τε οὐσίαν, ἤγουν φύσιν, καὶ μίαν θεότητα, ἤγουν Θεὸν, τὴν ἁγίαν καὶ ὁμοούσιον ὁμολογοῦντες Τριάδα, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ θεότητι, τρεῖς θεοὺς, ἢ τρεῖς θεότητας λέγειν παραιτοῦνται παντάπασιν. Οὗτοι δὲ οὐδὲ Δαμιανὸν, οὐδὲ Παῦλον, οὐδὲ τὸν ἔσχατον παρ' αὐτοῖς Πέτρον προσήκαντο· οὓς οἱ ἀπὸ Δαμιανοῦ καὶ Παύλου καὶ Πέτρου Τριθεῖτας πρῶτοι ὠνόμασαν. Διίσταντο δὲ τούτων, ὅτι παρ' ἐκεῖνοι παραιτούμενοι τρεῖς λέγειν θεοὺς, ἤγουν θεότητας τρεῖς, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, παραιτοῦνται καὶ τὸ λέγειν τρεῖς τῷ ἀριθμῷ οὐσίας, ἴσας καὶ ἀπαραλλάκτους. Οὗτοι δὲ τὸ μὲν λέγειν τρεῖς θεοὺς ἤτοι τρεῖς θεότητας παραιτοῦνται· τρεῖς δὲ τῷ ἀριθμῷ οὐσίας, ἤγουν φύσεις τινὰς ἴσας, ὁμολογοῦσιν. Οἱ δὲ ἀπὸ Κόνωνος δεχόμενοι πρότερον τὰ συγγράμματα Ἰωάννου Ἀλεξανδρέως γραμματικοῦ τοῦ Φιλοπόνου, ἃ καθ' Ἑλλήνων αὐτῷ καὶ ἄλλων τινῶν ὑποθέσεων ἐπονήθη, ἔσχατον πάντων αὐτόν τε καὶ τὰ συγγράμματα αὐτοῦ ἀπεβάλοντο καὶ ἀναθέματι ἐκδεδώκασιν.

sedent, tres autem numero substantias seu naturas quasdam similes profitentur. Sed enim Cononitæ, cum primum Joannis Philoponi Alexandrini grammatici scripta, quæ ab ipso contra Græcos seu ethnicos, et de aliis quibusdam argumentis ab eo composita sunt, comprobassent, postremo omnium et ipsum et lucubrationes ejus rejecerunt, et anathemate confixerunt

ΚΕΦΑΛ. Ν'.

Περὶ τοῦ μοναχοῦ Λεοντίου καὶ Γεωργίου τοῦ Πισίδου.

Ἀλλ' ὁ μὲν Ἀλεξανδρεὺς Ἰωάννης ὁ Φιλόπονος οὕτως ἐς ὕστερον τῆς τῶν Τριθεϊτῶν προστάτης αἱρέσεως ἐγεγόνει· καθὰ δὴ καὶ ὁ πάλαι Θεμίστιος ὁ φιλόσοφος ἐπὶ Οὐάλεντος τῆς τῶν Ἀγνοητῶν πρῶτος αἱρέσεως καθηγήσατο· ἡ δὴ καὶ τῷ χρόνῳ μὲν ἀπέσβη· τηνικαῦτα δ' ἐπὶ τῶν εἰρημένων Σευηριτῶν ἀναζήσασα, τὰ πλήθη σφοδρότερον ἐπενέμετο, τοῦ Ἀκεφάλου Σευήρου ταύτην καὶ αὖθις ἀνηβῆσαι παρασκευάσαντος. Οἱ γοῦν ἐξ ἐκείνου οὐ μόνον Ἀγνοῆται, ἀλλὰ καὶ Σευηρῖται ἔσχον ἐπίκλησιν· οἳ καὶ λέγουσι τὸν Θεὸν Λόγον πάντα μὲν γινώσκειν, πάμπολλα δὲ ἀγνοεῖν, τὴν ἡνωμένην αὐτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα· ἔτι γε μὴν ἀγνοεῖν καὶ τὴν ὥραν καὶ ἡμέραν τῆς παγκοσμίου συντελείας, οἷα ἐλάττονα τοῦ Πατρός· καὶ γάρ φησιν ἐν τῷ κατὰ Ματθαῖον καὶ κατὰ Μάρκον Εὐαγγελίῳ· *Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατὴρ μόνος.* Ἐκ τοίνυν τῶν τοιούτων ὁρμηθέντες φωνῶν πρώτως Ἄρειος καὶ Ἀέτιος καὶ Εὐνόμιος οἱ αἱρεσιάρχαι, καὶ ἐφεξῆς ἕτεροι, ἀμαθῶς καὶ ἀθέως ἐξεῖπον, ἄλλης φύσεως τὸν Πατέρα, ἑτέρας δὲ τὸν Υἱὸν εἶναι· καὶ τὸν μὲν ἄναρχον, τὸν δὲ κτίσμα, χρονικὴν ἀρχὴν εἰληφότα, καὶ μὴ πάντα ἐπίσης τῷ Πατρὶ διειδότα. Ὁ διαδεξάμενος Θεμίστιος ὁ φιλόσοφος ἐπὶ μᾶλλον ἐκράτυνεν. Ἔστι δ' ὡς ἂν τις εἴποι ἀπόῤῥοιά τις καὶ αὕτη ἡ αἵρεσις Ἀρειανική. Οἱ μὲν οὖν ἀρχαῖοι ταύτης γεννήτορες τῆς εὐσεβείας ἀναλαμπούσης καὶ κρατυνομένης σὺν τῷ γεννήματι αὐτῶν διεφθάρησαν· τότε δὲ οἱ ἀπὸ Σευήρου ἐπὶ μέγα τὸ δεινὸν ἦραν. Οὐ μετ' οὐ πολὺ δὲ αὖθις διεῤῥύη, καὶ τῷ τῆς ἀγνοίας καὶ αὕτη παρεπέμφθη βυθῷ.

CAPUT L.

De monacho Leontio, et Georgio Pisida.

Joannes iste Philoponus Alexandrinus, ita ut diximus, Tritheitarum hæresis præfectus fuit: perinde atque olim Themistius philosophus sub Valente primum Agnoetarum sectæ præiit. Quæ secta tempore quidem ipso exstincta fuerat: tum autem sub eis quos diximus Severitis reviviscens, plebem maxime est depasta. Eam Severus Acephalus in apertum rursus produxit. Sectatores hujus non solum Agnoetæ, sed et Severitæ cognominati sunt. Hi dicunt, Deum quidem Verbum omnia nosse, humanitatem vero secundum subsistentiam ei unitam permulta ignorare. Nescire sane horam et diem mundi totius consummationis, utpote Patre minorem: propterea quod in Evangelio secundum Matthæum et Marcum dicat: *De die autem illa et hora nemo novit, neque ipsi angeli cœlorum, neque adeo Filius, præterquam Pater solus* [1]. Itaque cum hujusmodi vocibus primum Arius et Aetius et Eunomius hæresiarchæ, et deinceps alii progressi, imperite simul et impie prolocuti sunt, alterius esse naturæ Patrem, alterius Filium. Et illum quidem principio carentem: hunc autem creaturam, qui temporale principium sumpserit, neque omnia perinde ac Pater noverit. Id vero per manus acceptum Themistius philosophus magis etiam confirmavit et defendit. Liceat autem hæresim hanc rivum quemdam Ariani dogmatis dicere. **879** Ac veteres quidem ejus auditores, cum pietas reluxisset et invaluisset, una cum invento suo disperierunt. Eo vero ipso tempore Severitæ malum id magnopere propagarunt. Non longe autem post id rursum evanuit, et hæresis ea ignorantiæ profundo immersa est.

ΚΕΦΑΛ. ΝΑ'.

Περὶ τῆς διαιρέσεως τῶν ἀπὸ Σευήρου Τριθειτῶν.

Πρὸς δὲ ταύταις τὸ κατ' ἐκεῖνο καιροῦ καὶ ἡ τῶν Θεοπασχιτῶν αἵρεσις αὖθις κατὰ μικρὸν ἀναζήσασα εἰς αὔξην πλείστην προῆει καθεκάστην ἐπιδιδοῦσα. Μικρὸν γὰρ παυσαμένην, Σευῆρος πάλιν ταύτην καὶ ἡ ἐξ ἐκείνου πολυκέφαλος ὕδρα σφοδρότερον ἀνερρίπιζε. Ταύτης δὲ πρῶτος γεννήτωρ Πέτρος ἐκεῖνος ἐγένετο, ᾧ Κναφεὺς ἦν τὸ ἐπώνυμον, ὃς τῷ τρισαγίῳ ὕμνῳ, ὡς μοι καὶ ἄνωθεν εἴρηται, προσθήκην θεῖναι δυσσεβῶς ἀπετόλμησεν. Ἦν μὲν γὰρ ὁ τρισάγιος οὗτος ὕμνος, ὡς ἔοικεν, ἄνωθεν ἐκ τῶν ἀποστόλων, ὡς γε οἶμαι, τῇ Ἐκκλησίᾳ παραδεδομένος Χριστοῦ, καθὰ δὴ καὶ τὸ, *Φῶς Ἱλαρὸν*, προστεθὲν· ὡς ἐν τοῖς πρὸς Ἀμφιλόχιον τριάκοντα κεφα-

CAPUT LI.

De divisione et dissidio Tritheitarum, a Severo profectorum.

Ad hæc, eo ipso tempore, Theopaschitarum hæresis denuo paulatim repullulans, plurimum incrementi quotidie augescens cepit. Paulisper enim sopitam Severus eam, et quæ ex illa prognata est multiceps hydram, maxime excitavit. Primus vero ejus parens Petrus ille fuit cognomento Cnapheus, qui ter sancto hymno, quemadmodum a me supra dictum est, appendicem impie adjicere est ausus. Ter sanctum porro carmen id, ut apparet, et mihi videtur, jam inde ab apostolis, etiam ante Theodosii Junioris et Procli patriarchæ tempora, per manus Ecclesiæ Christi traditum est: sicuti et cantilena illa, (1) *Lux hilaris*: pro eo atque ad

[1] Matth. xxiv, 36.

(1) Φῶς Ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρὸς οὐρανίου ἁγίου μάκαρος, Ἰησοῦ Χριστέ. Ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν ὑμνοῦμεν Πατέρα, καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα Θεοῦ.

Amphilochium, in triginta capitulis celebris et magnus testatur Basilius, sicuti, *Gloria Patri et Filio et Spiritui sancto*, a Flaviano Antiocheno, adjuvante Chrysostomo, est inventum. Sub Theodosio sane Juniore, Proclo patriarcham gerente, cum quidam eo tempore perpessionem divinitati ipsius Unigeniti affingere contenderent, et ingentium terræmotuum gratia publice a populo omni supplicationes fierent, derepente in conspectu omnium puer in aerem (quemadmodum in decimi quarti tomi quadragesimo sexto capite dilucide diximus) raptus, auribus ipse suis, ita etiam simpliciter, ter sanctum eum hymnum absque adjectione, ab angelicis ordinibus concinne prorsus cantari audivit. Unde Ecclesia omnis hymnum talem ad eumdem modum continenter Deo canere consuevit. Sane quidem qui carmen hoc primus composuit, ab angelis mutuatus est : canentibus, *Sanctus, sanctus, sanctus.* Quod vero sequitur, a suavissimi concentus lyra et psalmo quadragesimo Davidis acceptum, venustissime adjecit, ubi dicitur : *Sitivit anima mea ad Deum fortem, vivum.* **880** Et hymni ipsius auctor hæc verba, *Deus* et *fortis*, integra, neque ulla ex parte mutata, sicuti ea apud Psalmistam invenit, conservavit : e. dictionem, *vivum*, duntaxat in ejusdem significationis nomen *immortalis* commutavit. Ille etiam Deo addidit *sanctus*, nomen id idolis opponens, quæ abominationis omnis plena, et humanæ manus opera sunt. Sicuti et *fortis* posuit, propter simulacrorum imbecillitatem atque infirmitatem summam, quæ loco se movere prorsus non possit. Atque itidem *immortalis* : ut statuarum truncos traduceret, qui vita carentes, neque spirare possunt, neque sensu aut mente diriguntur. Verum enim vero Theopaschitæ, qui a Petro et Severo originem duxerunt, admirandum hunc maxime hymnum non divinæ Trinitati accommodare volentes, sed incarnato Verbo accinere satagentes, accessionibus quibusdam corrumpere ausi sunt, verbis hisce, *sanctus, immortalis*, clausulam illam : *Qui crucifixus es pro nobis*, maligne adjicientes. Quod malum primus instituere cœpit Petrus Cnapheus, et post eum deinde Severus Acephalus, seu potius hydra multiceps. Quamvis sectatores ejus calumnia Constantinopolitanum Macedonium appetentes, adjectionem talem illum exorsum esse dicant. Fuit certe, sicuti videtur, vetus hæc hæresis ; quemadmodum satis clare, qui multa pertulit certamina Athanasius, dictis suis declarat. Nisi forte sanctus ille Pater eam præviderit atque everterit, sicuti scilicet et alias plurimas scriptis suis sustulit, tametsi post obitum ejus primum exortas. Hæc ipsa ergo hæresis a Cnapheo primum producta, deinde a

λαίοις ὁ πολύς φησι καὶ μέγας Βασίλειος· ὥσπερ καὶ τὸ, *Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι*, πρὸς Φλαβιανοῦ τοῦ Ἀντιοχείας, ὑπουργοῦντος καὶ τοῦ χρυσοῦ τὴν γλῶτταν ἐξευρημένον. Ἐπὶ μέντοι Θεοδοσίου τοῦ νέου, Πρόκλου πατριαρχοῦντος, τινῶν τηνικαῦτα πάθος τῇ θεότητι τοῦ Μονογενοῦς προσάπτειν ἐπιχειρούντων, σεισμῶν τ' ἐξαισίων χάριν πανδήμου τελουμένης λιτῆς, ἡ τοῦ παιδὸς ἁρπαγὴ εἰς ἀέρα πάντων ὁρώντων ἐγένετο (ὡς ἐν ιδ' τόμῳ, κεφαλαίῳ μς', σαφῶς διελάβομεν), τοῦ παιδὸς οἰκείοις ἐνωτισθέντος ὠσὶν ἁπλῶς οὕτω τὸν τρισάγιον ὕμνον προσθήκης ἄνευ, καὶ παρὰ τῶν ἀγγελικῶν ταγμάτων παναρμονίως ἐξᾴδεσθαι· ἐξ οὗ καὶ ἡ Ἐκκλησία πᾶσα ἐπιμᾶλλον τὸν τοιοῦτον ὕμνον ᾄδειν διηνεκῶς παρείληφε τῷ Θεῷ· ἐκ μὲν τῶν ἀγγέλων λαβόντος τοῦ τὸν ὕμνον πρώτως συντεθεικότος τὸ *Ἅγιος, ἅγιος, ἅγιος*, τὸ δ' ἑξῆς ἀπὸ τῆς παναρμονίου λύρας Δαβὶδ, Ψαλμοῦ μα' εὐφυῶς προσαρμόσαντος· *Ἐδίψησεν ἡ ψυχή μου*, λέγοντος, *πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν, τὸν ζῶντα.* Τὸ μὲν οὖν Θεὸς καὶ τὸ *ἰσχυρὸς* ἀπαράλλακτα συντετηρῆσθαι τῷ συνθεμένῳ, καθὰ καὶ τῷ ψαλμῳδῷ· μόνον γε μεταμειφθῆναι τὴν *ζῶντα* λέξιν εἰς ἰσοδύναμον ὄνομα, τὸ *ἀθάνατος*· καὶ συντεθῆναι μὲν τῷ Θεῷ τὸ *ἅγιος* πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων, ἃ εἰσι βδελυρίας πάσης ἀνάμεστα, καὶ ἀνθρωπίνης ἔργα χειρός· τό γε μὴν *ἰσχυρὸς* πρὸς τὸ ἐκείνων μάλιστα ἀδρανὲς καὶ ἀνισχυρόν τε καὶ παντάπασιν ἀμετάβατον· τὸ δ' *ἀθάνατος* πρὸς τὸ ἄπνοον σφῶν, καὶ μηδαμῶς αἰσθήσει καὶ νῷ διοικούμενον. Οἱ τοίνυν Θεοπασχῖται οἱ ἀπὸ Πέτρου καὶ Σευήρου δηλαδὴ καταγόμενοι, τὸν τοιοῦτον πανθαύμαστον ὕμνον μὴ τῇ θείᾳ Τριάδι προσάγειν ἐθέλοντες, ἀλλὰ τῷ σαρκωθέντι Λόγῳ ἐπᾴδειν βουλόμενοι, προσθήκαις τισὶ διαφθεῖραι τοῦτον ἐτόλμησαν· τῷ *ἅγιος, ἀθάνατος* τὸ *ὁ σταυρωθεὶς δι' ἡμᾶς* κακοτρόπως προσθέμενοι. Οὗ κακοῦ πρῶτος κατήρξατο Πέτρος ὁ Κναφεύς· μετὰ δ' ἐκεῖνον ὁ Ἀκέφαλος Σευῆρος, μᾶλλον δ' εἰπεῖν ὕδρα ἡ πολυκέφαλος· κἂν οἱ ἀπὸ τούτου διαβάλλοντες τὸν Κωνσταντινουπόλεως φασὶ Μακεδόνιον τῆς προσθήκης ταύτης κατάρξαι. Ἦν μὲν οὖν, ὡς ἔοικε, καὶ παλαιά τις αὕτη ἡ αἵρεσις, ὡς ὁ πολύαθλος Ἀθανάσιος ἐκ τῶν εἰρημένων αὐτῷ ἐμφαίνει σαφῶς· εἰ μή πως προβλεπτικῶς καὶ ταύτην ἀνατρέπων ὁ Πατὴρ οὗτός ἐστιν, ὥσπερ δῆτα καὶ ἄλλας πλείστας προανεῖλε τοῖς σφετέροις λόγοις, καίπερ ἀναφύειν μελλούσας μετὰ τὴν αὐτοῦ ἀποβίωσιν. Ἡ γοῦν τοιαύτη αἵρεσις ἀπὸ τοῦ Κναφέως ἀρξαμένη, τὸ δεύτερον καὶ παρὰ τῶν τοῦ Σευήρου θιασωτῶν ἐπιπολὺ αὐξηθεῖσα, οὐ μετὰ πολὺ τέλεον ἀπέσβη τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καταργηθεῖσα, πλὴν μόνοις Ἀρμενίοις καὶ ἔτι κρατυνομένη, μὴ πειθαρχεῖν αἱρουμένοις ταῖς καθολικαῖς παραδόσεσι, μήτε μὴν δεχομένοις τὴν εἰς ἀέρα τοῦ παιδὸς ἁρπαγήν· ὃς τὴν τρισάγιον τοῦδε ᾄσμα-

Ἄξιος εἶ ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν δίδους· διὸ ὁ κόσμος σε δοξάζει. *Lux hilaris sanctæ gloriæ, immortalis cœlestis sancti beati Patris, Jesu Christe Cum ad solis occasum pervenerimus, lucem cernentes vespertinam, laudamus Patrem et Filium et Spiritum sanctum Deum. Dignus es tempore quovis celebrari faustis vocibus, Fili Dei vitæ dator : quapropter te mundus glorificat.*

τοῦ θείαν φωνὴν καὶ διδασκαλίαν ἄνωθεν ἰὼν τρανῶς διεσάφησεν· ἥνπερ καὶ ἡ ἐν Χαλκηδόνι ἁγία σύνοδος παρεδέξατο, οὕτω παραδεδωκυῖα τὸν τρισάγιον ὕμνον ἐξᾴδεσθαι. Γέλως οὖν ὄντως καὶ παίγνιον, τὴν δι' ἀγγέλων καὶ αὐτῶν Σεραφὶμ ὑμνηθεῖσαν καὶ κηρυχθεῖσαν τρισάγιον ᾠδὴν, καὶ τῆς τρισυποστάτου μιᾶς θεότητος οὖσαν ἐμφαντικὴν, καὶ ὑπὸ συνόδου τοσούτων ἁγίων Πατέρων κυρωθεῖσάν τε καὶ βεβαιωθεῖσαν, τῇ τοῦ Κναφέως πρότερον καὶ Σευήρου οἰήσει ἐ; ὕστερον καταπατηθῆναι, καὶ ὀπίθεν διορθωθῆναι, ὡς τὰ Χερουβὶμ ὑπερβάλλοντος. Ἀλλ' οἱ μὲν οὕτω φρονοῦντες Θεοπασχῖται ἐκλήθησαν, ἀρχηγοὺς τὸν Κναφέα Πέτρον, Σευῆρόν τε καὶ Ἰάκωβον ἐφεξῆς ἐσχηκότες, ὡς εἴρηται· οἳ δὴ καὶ τὴν μίαν ἐπὶ Χριστοῦ φύσιν ἐντεῦθεν πειρῶνται κρατύνειν, λέγοντες· Εἰ δύο φύσεις ἐπὶ Χριστοῦ δοίημεν, συνέψονται πάντως ταύταις ἐξ ἀνάγκης δύο θελήματα· εἰ δὲ τοῦτο, καὶ δύο ἐξ ἀνάγκης συνεισαχθήσονται πρόσωπα, καὶ δύο ἐνέργειαι ἐναντίαι ἀλλήλαις παντάπασιν.

A Severi sodalitate admodum aucta et frequentata, non ita multo post ab Ecclesia Dei abolita, prorsus evanuit. Quæ hunc usque apud solos Armenios retinetur, catholicis traditionibus parere nolentes, neque pueri illius in aerem raptum approbantes, qui ter sancti istius carminis divinam vocem et doctrinam e sublimi demissus aperte indicavit. Et hymnum eum Chalcedonensis sancta synodus recepit, sempliciterque ita canendum tradidit. Itaque risus plane et jocus fuerit, si ab angelis et Seraphim ipsis proditum atque decantatum carmen, atque a tot sanctis sacræ synodi Patribus comprobatum et confirmatum, quod unam in tribus subsistentiis divinitatem diserte deprædicat, B **881** Cnaphei primum, et Severi deinde opinione proculretur, atque eorum (si Deo placet) arbitrio, perinde atque Cherubim superarent, corrigatur. Sed enim qui hoc ita senserunt, Theopaschitæ vocati sunt, auctores primarios Cnapheum Petrum et Severum, quemadmodum dictum est, et deinde Jacobum, habentes. Atque ii sane exinde unam in Christo naturam astruere contendunt, ita dicentes : Si duas in Christo demus esse naturas, consequentur eas necessitate quadam omnino duæ etiam voluntates. Si vero hoc concessum fuerit, eadem necessitate duæ inducentur personæ, et duæ virtutes operatrices inter se contrariæ prorsus.

ΚΕΦΑΛ. ΝΒ'.

Περὶ τῆς δόξης τῶν Ἀγνοητῶν.

Ὁ γε μὴν Ἰάκωβος, ἐξ οὗ καὶ ἡ τῶν Ἰακωβιτῶν αἵρεσις ἔτι καὶ νῦν περιᾴδεται, Σύρος μὲν ἦν τὸ γένος, ἄδοξος δὲ πάντη καὶ ἀφανέστατος· ὃς καὶ Τζάνζαλος οὕτωσὶ ἐπωνόμαστο διὰ τὴν ἄκραν, ὥς γε οἶμαι, εὐτέλειαν. Οὗτος τὸ Εὐτυχοῦς καὶ Διοσκόρου, ἔτι δὲ τοῦ Κναφέως Πέτρου καὶ Σευήρου δόγμα διαδ ξάμενος, εἰς μέγα ἐπιδοῦναι παρὰ Σύροις παρεσκευάσατο· μίαν οὖν ὑπόστασιν σύνθετον ἐκ δύο φύσεων τῆς καθόλου Ἐκκλησίας ὁμολογούσης τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, θεότητος λέγω καὶ ἀνθρωπότητος, καὶ ἑκατέραν τούτων μετὰ τὴν ἕνωσιν σῶά τε τὰ τῶν φύσεων φυλάττουσαν ἰδιώματα· ὡς εἶναι τὴν τῶν φύσεων ἕνωσιν ἄφυρτον καὶ ἀσύγχυτον, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, διπλοῦν τὸν αὐτὸν ὄντα Θεὸν καὶ ἄνθρωπον· καὶ δύο θελήσεις καὶ ἐνεργείας θεϊκὰς ὁμοῦ καὶ ἀνθρωπικὰς ἔχοντα· ὁ Εὐτυχὴς δύο μὲν καὶ αὐτὸς πρὸ τῆς ἑνώσεως ἔλεγε φύσεις τὰς ὕστερον ἑνωθείσας· μετὰ δὲ τὴν ἕνωσιν εἰς μίαν χρᾶθῆναι ταύτας φύσιν, καὶ συγχυθῆναι καὶ φυρμὸν παθεῖν ἐδογμάτιζεν. Ὥστε καὶ τὴν θεότητα τὰ τῆς ἀνθρωπότητος πάσχειν, καὶ τὸ ἀνάπαλιν. Διὸ καὶ τοὺς ταῦτα δογματίζοντας καὶ Μονοφυσίτας καὶ Θεοπασχίτας οἱ θεῖοι Πατέρες ἡμῶν κατωνόμασαν. Ταύτῃ τῇ δόξῃ ὅ τε Διόσκορος πατριάρχης Ἀλεξανδρείας, καὶ Πέτρος ὁ Κναφεὺς καὶ ὁ Ἀκέφαλος Σευῆρος οἱ τῆς Ἀντιοχείας ἀρχιερεῖς καὶ ἕτεροι καθυπήχθησαν. Τοῦ τοίνυν εἰρημένου Ἰακώβου τὴν τῶν Μονοφυσιτῶν δόξαν παρὰ Σύροις κηρύττοντος, σχίσμα μέγα ἐγγίνεται. Οἱ μὲν οὖν τῇ ὀρθῇ δόξῃ προσμείναντες Μελχῖται ἐκλήθησαν, ὡς τῇ ἁγίᾳ δ' συνόδῳ καὶ τῷ βασιλεῖ ἐξακολουθήσαντες· Μελχὶ γὰρ παρὰ Σύροις ὁ βασι-

CAPUT LII.

De opinione Agnoetarum.

Jacobus porro, a quo nunc quoque Jacobitarum hæresis denominata celebratur, Syrius genere fuit, C obscurus prorsus, et nulla gloria vir, qui etiam Zanzalus propter summam tenuitatem est cognominatus. Hic Eutychetis, et Dioscori Cnapheique, præterea Petri atque Severi dogmate recepto, magnopere id apud Syros propagare studuit. Ecclesia sane Catholica Dominum nostrum Jesum Christum subsistentiam unam e duabus naturis consistentem, Deitatis, inquam, et humanitatis, profitetur, ita ut utraque harum post unionem proprietates suas salvas conservet, et duarum istarum naturarum unio mistionem et confusionem, mutationemque et alterationem nullam admittat; ipseque idem Deus sit et homo, et voluntates virtutesque operatrices duas, divinam videlicet simul et humanam, habeat. Eutyches autem duas quidem et ipse D ante unionem naturas dixit, deinde unitas. Post unionem autem in unam eas naturam abiisse, confusasque esse, et mistionem subiisse opinatus est, adeo ut et divinitas ea quæ humanitatis fuere passa sit, et contra. Proinde hæc ita opinantes Monophysitas et Theopaschitas divi Patres nostri cognominarunt. Et ipsa opinione Dioscorus Alexandriæ patriarcha, **882** et Petrus Cnapheus, Severusque Acephalus, episcopi Antiocheni, atque insuper alii transversim abducti sunt. Enimvero eo quem diximus Jacobo Monophysitarum opinionem apud Syros prædicante, magnum exortum est dissidium. Nam qui rectæ opinioni adhæserunt, Melchitæ appellati sunt, quod sanctam quartam synodum, et imperatorem ipsum (Melchi enim Syris rex est)

consectarentur. Qui autem diversum senserunt, multa variaque habuere nomina. Jacobitæ tamen maxime sunt cognominati, propterea quod ei quem dixi Monophysitarum hæresis studioso Jacobo adhærerent. Qui etiam anathemati traditi sunt, ut Monophysitæ scilicet, et Theophaschitæ. Post vero aliud etiam hæresum examen ad se pertraxere, quæ Trinitatem consubstantialem credentes, unam naturam post unionem in Christo esse docuerunt, sacram quartam synodum repudiantes, ac deinceps omnes sanctos Patres rejicientes. Et quod maximum est, divinitati ipsius Unigeniti perpessionem tribuerunt, Ter sancto illi hymno appendicem hanc : « Qui crucifixus es pro nobis », adnectentes.

A λεύς ἐστιν· οἱ δὲ τἀναντία φρονήσαντες πολλοῖς καὶ διαφόροις ὀνόμασιν ἐπεκλήθησαν· τὰ μάλιστα δὲ Ἰακωβῖται προσηγορεύθησαν, ὡς τῷ εἰρημένῳ σπουδαστῇ τῆς τῶν Μονοφυσιτῶν αἱρέσεως κατακολουθήσαντες Ἰακώβῳ· οἳ καὶ ἀναθέματι παραδίδονται, καὶ ὡς Μονοφυσῖται καὶ Θεοπασχῖται· ἐς ὕστερον δὲ καὶ ἄλλον ἐσμὸν αἱρέσεων περιβεβλημένοι, οἳ Τριάδα πιστεύοντες ὁμοούσιον, μίαν φύσιν μετὰ τὴν ἕνωσιν ἐπὶ Χριστοῦ δογματίζουσι, τὴν ἁγίαν δ' σύνοδον ἀθετοῦντες καὶ τοὺς καθεξῆς ἅπαντας ἁγίους Πατέρας ἀποβαλλόμενοι· καὶ τὸ δὴ μέγιστον, καὶ τῇ θεότητι τοῦ Μονογενοῦς πάθος προσάπτουσι, τῷ τρισαγίῳ ὕμνῳ τὸ *Ὁ σταυρωθεὶς δι' ἡμᾶς* προστιθέντες.

B

CAPUT LIII.

De hæresi Theopaschitarum.

Talis Jacobitarum hæresis radix exstitit. Jacobus autem Armeniorum quoque sectæ dux fuit. Ea sane hæresis multiplex est, et ut quispiam dicat, hæresum omnium confluens sentina. Nam illi cum Ario aberrant in eo, quod Deum Verbum naturam mutationi obnoxiam, habentem carnem animatam carentem, assumpsisse dicunt. Cum Apollinari autem, quod corpus Domini mentem non habere, eidemque divinam naturam sufficere, mentisque vim operatricem perficere dicunt. Atque hæreticis multis laudatis, depravatas ipsorum opiniones sibi ipsis arrogant. Magistri horum illi quos diximus fuere : et Echanius insuper Mantacunes. Et C quandoque illi Deum Verbum, incorruptibile, et increatum, et cœleste, et a perpessione alienum atque subtile, nobisque non consubstantiale corpus recepisse, atque ea quæ carnis sunt, nobis in speciem tantum spectri more exhibuisse, exsecutumque esse opinantur. Quandoque autem carnem ejus in naturam Deitatis conversam, eidemque consubstantialem factam esse dicunt. **883** Multoties vero etiam Deum Verbum humanum ex Virgine corpus assumpsisse negant, sed ipsum immutabili modo mutatum, et carnem factum, transitum tantum per Virginem fecisse : et cruci divinitatem, quæ circumscribi et definiri nequeat, Unigeniti affixam, eamdemque sepulcro traditam asseverant. Atque fidem etiam nativitati Christi secundum carnem derogantes, et eam in speciem tantum, phantasmatis instar, factam esse dicentes. Et non sicuti nos, per intervalla, particulatim, sed ad quindecimum Januarii mensis diem jejunii tempus extendentes. Annuntiationem simul et nativitatem, et baptismum Christi celebrant. Quin multa etiam divini Evangelii dicta, suam ipsi opinionem astruere conantes, tollunt atque inducunt : ac veluti Monophysitarum, et Theopaschitarum, et Aphthartodocetarum, et Monotheletarum hæresim hæreditate creverint, Cnaphei Petri accessionem Tersancto hymno annexam valde complectuntur. Ecclesiam catholicam jam inde ab initio hymnum eum ita decantasse, post

ΚΕΦΑΛ. ΝΓ'.

Περὶ τῆς αἱρέσεως τῶν Θεοπασχιτῶν.

Ἀλλὰ τοιαύτη μὲν ἡ ῥίζα τῶν Ἰακωβιτῶν· ὃς δὴ καὶ τῆς τῶν Ἀρμενίων αἱρέσεως καθηγήσατο. Ἡ δὴ αἵρεσις πολυσχιδής τέ ἐστι, καὶ ὡς ἄν τις εἴποι μισγάγγεια πάσης αἱρέσεως. Καὶ γὰρ Ἀρείῳ συμφέρονται, οἷς φασι τρεπτὴν ἔχειν φύσιν τὸν Θεὸν Λόγον, καὶ σάρκα ἀνειληφέναι ἄψυχον· Ἀπολλιναρίῳ δὲ, ὅτι περ καὶ ἄνουν σῶμα τὸ τοῦ Κυρίου δοξάζουσιν· ἀρκέσαι γὰρ φασι τὴν θείαν φύσιν τελέσαι τοῦ νοῦ τὴν ἐνέργειαν. Καὶ πολλοὺς τῶν αἱρετικῶν ἐπαινέσαντες, τὰς κιβδήλους δόξας αὐτῶν ᾠκειώσαντο. Διδάσκαλοι δὲ σφῶν οἱ προειρημένοι ἐγένοντο, καὶ Ἐχάνιος ὁ Μανταχούνης. Καὶ πῇ μὲν ἄφθαρτον καὶ ἄκτιστον καὶ οὐράνιον καὶ ἀπαθὲς καὶ λεπτὸν σῶμα ἀναλαβεῖν τὸν Θεὸν Λόγον, καὶ μὴ ἡμῖν ὁμοούσιον δογματίζουσι, καὶ τὰ τῆς σαρκὸς κατὰ φαντασίαν ἡμῖν ἐνεργεῖν· πῇ δὲ ὡς ἡ σὰρξ αὐτοῦ εἰς φύσιν μετεβλήθη θεότητος, καὶ ὁμοούσιος αὐτῇ γέγονεν· ἐν πολλοῖς δὲ μηδὲ τὸν Θεὸν Λόγον ἀνθρώπειον ἐκ τῆς Παρθένου σῶμα ἀναλαβεῖν, ἀλλ' αὐτὸν ἀτρέπτως τραπέντα καὶ σάρκα γενόμενον, τὴν πάροδον μόνην διὰ τῆς Παρθένου ποιήσασθαι, καὶ προσπαγῆναι σταυρῷ τὴν ἀπερίγραπτον καὶ ἀπεριόριστον θεότητα τοῦ Μονογενοῦς, καὶ ταύτην τάφῳ παραδοθῆναι. Ἀθετοῦντες δὲ καὶ τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ, καὶ ὡς φαντασιωδῶς γεγενῆσθαι λέγοντες, οὐχ ὡς ἡμεῖς ἀνὰ μέρος, ἀλλὰ κατὰ τὴν ιε' τοῦ Ἰανουαρίου μηνὸς παρατείνοντες τὴν νηστείαν, τὸν εὐαγγελισμὸν ὁμοῦ καὶ τὴν γέννησιν καὶ τὸ βάπτισμα ἑορτάζουσι. Πολλὰ δὲ καὶ τῶν τοῦ θείου Εὐαγγελίου ῥητῶν διαγράφουσι, τὴν σφετέραν δόξαν πειρώμενοι συνιστᾷν· κληρούμενοι δὲ καὶ τὴν τῶν Μονοφυσιτῶν καὶ Θεοπασχιτῶν καὶ Ἀφθαρτοδοκητῶν καὶ Μονοθελητῶν αἵρεσιν, τὴν τοῦ Κναφέως Πέτρου προσθήκην τῷ τρισαγίῳ ὕμνῳ λίαν ἀσπάζονται· λέγοντες, ὡς ἄνωθεν ἡ καθόλου Ἐκκλησία οὕτω τὸν τρισάγιον ὕμνον ἐκήρυττεν· μετὰ δὲ τὴν τοῦ παιδὸς ἁρπαγὴν οὕτως ἐνομοθέτησεν. Ἦν ἁρπαγὴν καὶ ὡς ψευδῆ δῆθεν παντάπασι διαγράφουσι· μηδὲ γὰρ τῇ τρισυποστάτῳ θεότητι, ὡς οἱ θεῖοι Πατέρες διδάσκουσι ταύτην προσάγεσθαι φάσκουσιν, ἀλλὰ τῷ μονογενεῖ Λόγῳ Χριστῷ. Οἱ δ' αὐτοὶ καὶ ἄζυμον οὐκ ἄρτον ἐν τοῖς Ἰεσσ[illegible]

ἀγιστείαις προσφέρουσι, καὶ οἶνον ἀκέραστον ὕδατι· μίαν διὰ τούτου φύσιν ἐν τῷ Χριστῷ καταγγέλοντες, καὶ οὐχ ὡς ἡμεῖς κιρνῶσι, τὴν ἕνωσιν τῶν δύο φύσεων ὑπεμφαίνοντες. Ἀλλ' οἱ θεοβλαβεῖς καὶ τὸ Πάσχα Ἰουδαϊκῶς τελοῦσι, βόας καὶ πρόβατα κατὰ τὴν Ἰουδαϊκὴν λατρείαν θύοντες· καὶ τῷ αἵματι τοῦ ἀμνοῦ τὰς τῶν οἰκιῶν φλιὰς χρίουσι· μὴ τοῦ δεσποτικοῦ μεταλαμβάνοντες σώματός τε καὶ αἵματος, ἀλλὰ τὸν ἀμνὸν Ἰουδαϊκῶς θύοντες, καὶ ὀπτῶντες πυρί, τούτου μετέχουσι. Καὶ τὸν σταυρὸν οὐ πρότερον τιμῶσιν εἰ μὴ βαπτίσουσιν ὥσπερ ἄνθρωπον, καὶ περὶ τὸ μέσον αὐτοῦ ἧλον ἐμπήξουσι, καὶ χρίσουσιν αὐτὸν τῷ ἐκ τῆς θυσίας αἵματι. Τοῦτο δὲ ποιοῦσιν εἰς ὄνομα τοῦ Χριστοῦ δεικνύντες ὡς ὁ εἷς τῆς Τριάδος ἐσταύρωται· μὴ συνιέντες ὡς συσταυροῦσιν οὕτω καὶ τὴν τοῦ Πατρὸς καὶ τῆς θεότητος φύσιν, μίαν οὖσαν καὶ τὴν αὐτήν. Καὶ τρεῖς δὲ σταυροὺς συνάψαντες, ἁγίαν Τριάδα κατονομάζουσι· διὰ τούτων τάχα ἐμφαίνοντες, τὴν ἁγίαν Τριάδα συσταυρωθῆναι. Καὶ εἰκόνας τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος εἰκονίζουσιν· ὅπερ ἄτοπον· αἱ γὰρ εἰκόνες ὁρατῶν καὶ περιγράπτων σωμάτων εἰσίν, οὐ μὴν τῶν ἀκατανοήτων καὶ ἀοράτων. Τὰς δὲ ἱερὰς εἰκόνας ὁρῶσι μὲν, οὐκ ἀσπάζονται δέ· τῷ δὲ δακτύλῳ μόνῳ προσψαύοντες, τοῦτον ἀσπάζονται. Τὴν δὲ παρ' ἡμῶν κοινωνίαν οὐδὲν ἡγηνται· καὶ τὴν προσφορὰν ἐλαίῳ ἀναμάττουσι καὶ ἀλείφουσι. Λέγονται δὲ καὶ ἐκθέσεις ἔχειν διαφόρων λειτουργιῶν παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ συνήθειαν. Τὸ δὲ Μονοφυσῖται εἶναι λίαν δεικνύντες, ἑνὶ δακτύλῳ καὶ ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ σφραγίζουσιν ἑαυτούς· καὶ τὸν θεῖον σταυρὸν τῇ μεγάλῃ Παρασκευῇ ὑπὸ γῆν κατακρύπτουσιν ἄχρι τῆς μεγάλης Κυριακῆς· τότε δ' ἅμα φωτὶ τὰς ῥύμας περιιόντες καὶ τὰς γωνίας, καὶ ἔνθεν κἀκεῖθεν ζητοῦντες καὶ ἀνευρίσκοντες, ὡσανεὶ φανεροῦσι. Χρόνῳ δὲ προϊόντι, καὶ ἄλλας ἀδιαφορίας συνεπεσπάσαντο, ἰδίας νηστείας ποιοῦντες. Καὶ ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς τῆς ἁγίας μεγάλης Τεσσαρακοστῆς γάλα καὶ τυρὸν καὶ ᾠὰ ἐσθίουσι, καὶ δι' ἀζύμων τὴν θυσίαν ποιοῦσι· καὶ τὴν τοῦ Ἀρτζιβούρου λεγομένην νηστείαν μικρὸν πρὸ τῆς ἀπόκρεω συνεστήσαντο.

A pueri autem illius raptum, ut is aliter caneretur, constitutum esse dicentes. Quem quidem raptum, tanquam falsum scilicet omnino, negant. Neque trium subsistentiarum Deitati, sicuti divi Patres docent, sed unigenito verbo Christo carmen ejusmodi concini dicunt. Iidem ipsi re divina facienda azymo non pane utuntur (1), et ad eam vinum aqua non temperatum adhibent: unam ea re in Christo naturam designantes, neque sicuti nos, calicem miscent, per quam mistionem duarum naturarum unionem declaramus. At erga Deum impii illi Pascha quoque Judaico more celebrant, boves et oves, juxta ritum Judaicum, immolantes, et sanguine agni ædium postes inungunt. Non illi corpus et sanguinem Domini percipientes, sed agnum Judaice sacrificantes, atque igni torrentes, de eo participant. Crucem non prius honore debito prosequuntur, quam perinde atque hominem baptizaverint, atque in media ipsa cruce clavum figunt (2), eumque sanguine victimæ ungunt. Hoc vero faciunt in Christi nomen, unam sanctæ Trinitatis personam crucifixam esse ostendentes: nec interim intelligentes, quod eo modo simul etiam Patris et Deitatis naturam conerucifigunt, quæ una est et eadem. **884** Tres vero cruces connectentes, sanctam Trinitatem cognominant: eo pacto forte insinuantes, sanctam Trinitatem simul crucifixam esse. Imagines etiam Patris et Spiritus sancti effigiant, quod perquam est absurdum. Imagines enim corporum eorum sunt, quæ videri et circumscribi possunt, non eorum quæ invisibilia sunt, et intelligentia comprehendi nequeunt. Imagines sacras honorant illi quidem, sed non osculantur. Ac digito tantum eas contingentes, huic osculum figunt. Communionem nostram nihil esse dicunt. Et oblationem oleo subigunt, et ungunt. Dicuntur vero constitutiones habere multifariam divinorum officiorum, præter Ecclesiæ traditionem et consuetudinem. Atque ut Monophysitas se esse satis ostendant, digito uno a læva dextram versus seipsos cruce consignant. Et crucem sanctam magno Parasceves die sub terra abscondunt, usque ad magnum Dominicum diem. Tum vero cum lumine per plateas et angulos circumeuntes, hinc et inde eam quærunt, et inventam proferunt. Tempore autem procedente alias etiam ἀδιαφορίας, hoc est, ritus et cæremonias, quæ pietate salva vel observari vel omitti possunt, complexi sunt, peculiaria jejunia instituentes, et Sabbatis atque diebus Dominicis magnæ sanctæ Quadragesimæ lac, caseum et ova comedentes, et per panem azymum sacrificium peragentes: atque id quod Arziburi dicitur jejunium, paulo ante eum diem, quo carnium esus interdicitur, servantes.

ΚΕΦΑΛ. ΝΔ'.

Περὶ Ἰακώβου τοῦ Σύρου καὶ τῶν Ἰακωβιτῶν.

Μάλιστα δὲ ταῦτα τελοῦσιν οἱ παρ' αὐτοῖς λεγόμενοι Χατζιντζάριοι· σχίσμα οὐκ ἐλάχιστον ὄντες τοῦ παρ' αὐτοῖς δόγματος, οἱονεὶ σταυρολάτραι· Χάτζους γὰρ ὁ σταυρὸς παρ' αὐτοῖς· τὸν γὰρ σταυ-

CAPUT LIV.

De Jacobo Syro, et Jacobitis.

Maxime autem hæc retinent, qui apud eos Chazinzarii nominantur. Factio autem non minima hæc dogmatis eorum est, Staurolatræ scilicet. Chazus namque crux ab eis dicitur, propterea

(1) Hoc ex Græcorum et Orientalis Ecclesiæ ritu et sententia dictum. Quid sibi velit in incruento sacrificio, vini et aquæ mistio.

(2) Clavum videlicet figentes in cruce in nomine S. Trinitatis baptizata.

Metrophanes ex metropolita Cyzicreno Constantinopolitanus patriarcha renuntiatur vere anni Christi 1440, post imperatoris Constantinopolim adventum; sed quanto tempore Metrophanes in patriarchatu vixerit Phranzes non aperit. Metrophanes autem hic, ut ait Allatius loco superius a nobis citato, sextus ordine in synodo subscripserat: qui cum in sede collocatus esset, uti par erat, dissidentium machinas sedare conatur, turbulentos in officio continere, de contumacibus quoque pœnas sumere, quos, episcopatibus pulsos, exsilio mulctavit, et probos ac pios et morigeros in eorum loca, ut unio propagaretur, restituit. Dum reliqui patriarchæ reclamarent, neque remissis spiritibus arrogantiam sedarent, ex eorum etiam diœcesibus male feriatos ejicit, aliosque sibi audientes supponit: quod puto absque summi pontificis permissione hominem, Ecclesiæ Romanæ reverentissimum, nunquam ausum fuisse. Id reliqui patriarchæ ægre ferentes, Philotheus Alexandrinus, Dorotheus Antiochenus, et Joachimus Hierosolymitanus, licet synodo per legatos subscripsissent, ira perciti, ac furore præcipites, coacta synodo, Metrophanem et episcopos ab eo creatos, conviciis onerant, anathemati subjiciunt, et reliquos Christi fideles ab eorum obedientia avertunt. Tandem Joanni imperatori scribunt, hortanturque ut resipiscat; sin minus, excommunicationem minantur. Ut curam Metrophanis, et imperatoris studium in propaganda unione, et aliorum patriarcharum in convellenda, videas, non abs re fuerit, litteras synodales, non eo quo obvias, hic inserere, inquit Allatius. Littera synodalis contra Metrophanem est: Τῶν πατριαρχῶν τῆς Συρίας. Ἐπειδὴ ἦκε καὶ ὁ πανιερώτατος, μητρο-

πολίτης ἐνταῦθα τῆς ἁγιωτάτης μητροπόλεως Καισαρείας Καππαδοκίας ὁ καὶ πρωτόθρονός τε, καὶ ἔξαρχος πάσης Ἀνατολῆς ἅμα μὲν προσκυνῆσαι τὸν πάνσεπτον καὶ θεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τάφον, καὶ τοὺς ἱεροὺς ἐν Ἱεροσολύμοις ἱστορῆσαι τόπους οὓς τὰ παράδοξα ἐτελέσθησαν τῆς Χριστοῦ οἰκονομίας μυστήρια, ἅμα δὲ κοινώσασθαι πολλὰ ἡμᾶς, καὶ τὸ τῆς ὀρθοδοξίας καὶ εὐσεβείας Χριστιανῶν μέγα μυστήριον. καὶ δηλοποιῆσαι τὰ ἐν Κωνσταντινουπόλει σκάνδαλα πάντα διὰ τὴν συναθροισθεῖσαν ἐν Φλωρεντίᾳ τῇ πρὸς Ἰταλίαν μιαρὰν σύνοδον, καὶ τὰ τῶν Λατίνων σὺν τῷ Εὐγενίῳ πάππα δοξάσασαν ἅπερ οὐκ ἔξεστι, τινὰ προσθήκην δηλαδὴ ἐν τῷ τῆς πίστεως ἡμῶν θείῳ καὶ ἀμωμήτῳ συμβόλῳ ὑπογράψασαν, καὶ πεισθεῖσαν ὡς καὶ ἐκ τοῦ Υἱοῦ τὸ θεῖον ἐκπορεύεται Πνεῦμα, τά τε ἄζυμα συγχωρήσασαν πρὸς ἡμᾶς θύεσθαι, καὶ μνημονεύειν διὰ τοῦτο τὸν πάππαν· ἔτι τε τὰ ἄλλα ὅσα παρὰ κανόνας ἄθεσμα ἐκείνων συγκατατεθεῖσαν, καὶ στέρξαταν· καὶ ὅπως ὁ Κυζίκου μητροφόνος λῃστρικῶς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἥρπασε, συναινέσασαν τοῖς τε αἱρετικοῖς, καὶ τῷ εἰρημένῳ πάππᾳ καὶ βασιλεῖ τῶν Ῥωμαίων Παλαιολόγῳ τῷ Λατινόφρονι, τοὺς μὲν πιστούς τε καὶ ὀρθοδόξους ἀπειλοῦντι, διώκοντι, τυραννοῦντι, καὶ ἐπιτιμῶντι, τοὺς δ' ἀπίστους καὶ κακοδόξους προσκαλοῦντι, τιμῶντι, καὶ ἀναβιβάζοντι, ὡς τῆς ἑαυτοῦ αἱρέσεως σύμφρονας, καὶ ὑπερεκπερισσοῦ μάλιστα ποσοπονοῦντι τούτου· κατὰ ἀντιπάθειαν τῆς ὀρθοδοξίας καὶ εὐσεβείας, ὡς ἐκ τούτου τοῦ τρόπου, καὶ μητροπολίδια βέβηλα, καὶ μιαρὰ ἐπισκοπίδια πανταχοῦ εἰς τοὺς θείους τῆς ἁγίας μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως προτρέψας, ὡς ὑπὸ τῆς ἑαυτοῦ τάχα ἀνορίας ὑποχειμένους· ἔδειξεν ὅπως ὁ εἰρημένος πανιερώτατος μητροπολίτης κύριος Ἀρσένιος τῆς ἁγιωτάτης μητροπόλεως μεγάλης Καισαρείας Καππαδοκίας πρωτόθρονός τε καὶ ἔξαρχος πάσης Ἀνατολῆς, ὡς οὐ μόνον πρὸς τὰς ἄλλας ἐκκλησίας ὁ μητροφόνος πατριάρχης τας παρανόμους χειροτονίας προτρέψας Λατινοφρόνους, ἀλλ' ἤδη καὶ πρὸς τὰς τῆς ἐπαρχίας· τῆς Ἀνατολῆς πάσης τέσσαρα ὁ ἀχειροτόνητος κεχειροτόνηκε μητροπολίδια, καὶ ἐπισκοπίδια, πρός τε τὴν Ἀμασίαν ὁρίζοντι, Νεοκαισάρειάν τε, Τύανα, καὶ Μακησσὸν τὰ τῶν Λατίνων πάντα φρονοῦντα, καὶ πράττοντα. Ἃ καὶ οὐ μόνον ἐντεῦθεν τὴν ἑαυτῶν ἀνεχόμενα φθορὰν καὶ ἀπώλειαν, ἀλλά γε μετὰ τὴν τοσαύτην τολμαν, καὶ τοὺς ὑπὸ τὴν τοῦ Χριστοῦ ποίμνην ἅπαντας ἐκεῖσε Χριστιανοὺς οὕτως ἀπατῶντα, καὶ διαφθείροντα, καὶ πολλὰ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ σκάνδαλα προξενοῦντα. Διὰ τοῦτο ὁ εὐσεβὴς καὶ πιστότατος καὶ τῆς ὀρθοδοξίας πάσης ὑπέρμαχός τε καὶ ζηλωτὴς οὗτοσὶ ὁ εἰρημένος μητροπολίτης Καισαρείας Καππαδοκίας μὴ ἀνεχόμενος τὴν τῆς Ἐκκλησίας Χριστοῦ καινοτομίαν καὶ λύμην τῶν ἑτεροδόξων πρὸς τὴν ὀρθοτάτην καὶ ὑγιεινοῦσαν ἡμῖν πίστιν, ἠξίωσε συνοδικὴν λαβεῖν γνώμην παρ' ἡμῶν τῶν τριῶν ὀρθοδόξων ἀρχιερέων τῶν ἐν τῇ Συρίᾳ, τοῦ τε δηλονότι Φιλοθέου Ἀλεξανδρείας, Δωροθέου Ἀντιοχείας, καὶ Ἰωακεὶμ Ἱεροσολύμων, ὅπως ἀπασοβήσῃ τοὺς μὴ ὀρθῶς φρονοῦντα, ἐκ πάσης τῆς ἐπαρχίας αὐτοῦ, καὶ ὡ, ὅτι πρωτογενέστερος οὗτος καὶ ὀρθόδοξος. Ἔνθεν τι καὶ ὁρίζομεν ἡμεῖς συνοδικῶς ὁμοῦ ἐν τῷ ὀνόματι τῆς ὁμοουσίου ζωαρχικῆς τε καὶ ἀδιαιρέτου ἁγίας Τριάδος, τοὺς μὴ δι' αἱρετὴν καὶ εὐσέβειαν χειροτονηθέντας μητροπολίτας τε καὶ ἐπισκόπους παντοχοῦ, καὶ προσέτι ἡγουμένους ὁμοῦ καὶ πνευματικοὺς τάχα, ὡσαύτως τε ἱερεῖς καὶ διακόνους, καὶ πάσης ἐκκλησιαστικῆς ἁπλῶς ψήφου, ἄλλως βεβήλους ὄντας, καὶ ἀναξίους, τὸν δὲ τῆς αἱρέσεως καὶ διωγμοῦ τῆς ὀρθοδοξίας ὁραξαμένους καιρὸν, καὶ ὁραμόντας, ἀναξίως, κενοδοξίας μόνης καὶ αἱρέσεως τρόπῳ πρὸς ἐπισκοπάς τε καὶ μητροπόλεις, ὡς θᾶθεν ταχα σωτῆρας ψυχῶν, ἵνα σὺν αὐτοῖς ἄλλους φθείρωσι καὶ τὸ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἅπαν ὀρθόδοξον ποίμνιον, μηδ' ὅλως φόβου Θεοῦ, καὶ δικαιοσύνης καὶ εὐσεβείας κεκτημένους καρπὸν, ἀλλὰ καταφρονητὰς, καὶ ἀναιδεῖς ὄντας πρὸς εὐσέβειαν πᾶσαν, τουτέστιν ὁρίζομεν ἀπὸ τῆς σήμερον ἀργοὺς καὶ ἀνιέρους εἶναι πάσης ἱεροπραξίας καὶ ἐκκλησιαστικῆς καταστάσεως, ἄχρις ἂν ἐξετασθῇ ἡ εὐσέβεια γνησίως τε καὶ οἰκουμενικῶς. Οὕτω μὲν οὖν καταπεισθέντες ἔστωσαν ἀργοὶ καὶ ἀνίεροι. Ἀνταίροντες δὲ καὶ ἀνθιστάμενοι λῃστρικῶς τε καὶ παρανόμως ἔστωσαν ἀφωρισμένοι, καὶ ἠλλωτριωμένοι τῆς ἁγίας καὶ ὑπερουσίου καὶ ὁμουσίου Τριάδος, ὡς ἀπειθεῖς καὶ ἀντίλογοι. Ὡσαύτως δὲ καὶ οἱ τούτοι δεχόμενοι, καὶ συναινοῦντες ἐν τοῖς τοιούτοις, καὶ ὑπερασπίζοντες. Ἀποκαθιστῶμεν δ' ὅπως κήρυκα τῆς εὐσεβείας καὶ ὀρθοδοξίας τὸν ἄνωθεν εἰρημένον πανιερώτατον μητροπολίτην, τὸν καὶ ὑπέρτιμον, καὶ ἔξαρχον πάσης Ἀνατολῆς, κηρύξαι πανταχοῦ τὴν εὐσέβειαν, μὴ αἰδούμενον πρὸς ἀλήθειαν πρόσωπον βασιλέως, ἢ πατριάρχου τοῦ μὴ ὀρθῶς φρονοῦντος, καὶ πράττοντος, μηδὲ πλουσίου, καὶ ἄρχοντος ἀνθρώπου· ἀλλὰ παῤῥησίᾳ τὴν πίστιν καὶ ὀρθοδοξίαν κατέχοντα ἀφόβως καὶ ἀδιστάκτως, κατὰ τὴν ἐντολὴν, ἔχειν αὐτὸν ἄδειαν ἀπὸ τοῦ νῦν ἕνεκεν εὐσεβείας ἐλέγξαι, ἐπιτιμῆσαι, καὶ διορθῶσαι τοὺς μὴ ὀρθῶς φρονοῦντας· ἐν παντὶ τόπῳ, ἐφ' ὅσον ἂν ἰσχὺν ὁδεύειν, παρ' ἡμῶν αὐτῶν εἰληφότα τὴν συγγνώμην διὰ τῆς δοθείσης ἡμῖν χάριτος καὶ δυνάμεως τοῦ ἁγίου Πνεύματος, ὃς καὶ ὀφείλει κατὰ τούτων τηρῆσαι ἀδωροκήτως τε καὶ ὀρθῶς τὴν εὐσέβειαν. Οὗ ἕνεκεν ἐπεδόθη αὐτῷ καὶ ἡ ἔγγραφος ἡμῶν γνώμη συνοδικῶς ἀπογραφεῖσα ἰδιοχείρως ἐν μηνὶ Ἀπριλλίῳ τοῦ ,ϛϑμα' ἔτους τῆς νῦν τρεχούσης Ἰνδικτιῶνος ἕκτ,ς, καὶ ἀπὸ Χριστοῦ ἔτει, αυμγ'.

Patriarcharum Syriæ. Cum venerit huc per omnia sanctissimus metropolita sanctissimæ metropolis Cæsareæ Cappadociæ, qui protothronus est, exarchusque totius Orientis, tum ut apprime venerandum divinumque Domini nostri Jesu Christi sepulcrum adoraret, sacraque quæ Hierosolymis sunt loca, in quibus maxime admiranda Christi dispensationis mysteria perfecta sunt, visitaret; tum ut una nobiscum rectæ fidei ac pietatis ingens arcanum communicaret, manifestaretque scandala omnia Constantinopoli exorta propter exsecrandam synodum, quæ apud Florentiam Italiæ urbem coacta est, et Latinorum cum papa Eugenio, quod non licebat, dogmata approbavit, et additionem quamdam in fidei nostræ sacro inculpatoque Symbolo subscripsit, suasitque ex Filio divinum Spiritum procedere, concessitque azyma apud nos quoque in sacrificium offerre, et propterea commemorationem papæ facere; præterea alia multa illorum præter præscripta canonum illicita accepit et amplexatus est: et quomodo matricida Metrophanes Cyzicenus, more prædonum Constantinopolitanam sedem invasit, quæ assensum præbuit hæreticis, et jam dicto papæ et imperatori Græcorum Palæologo, cum Latinis sentienti, fideles et sanæ fidei sectatores non absque minis persequenti, veluti tyranno opprimenti et redarguenti; infideles vero, et eos qui prævis opinionibus sunt imbuti, accersenti, honoranti, et ad dignitates promoventi, tanquam suæ hæreseos asseclas; et quod magis est, mirum in modum hos eosdem deosculanti propter eum, quam in se præfert adversus rectam fidem pietatemque repugnantiam: hinc factum est, ut profanos metropolitellos, et exsecrandos episcopillos, ubique in divinas et sanctas sedes sanctæ magnæ Ecclesiæ Constantinopolitanæ, tanquam suæ diœcesi instruxerit. Dictus sanctissimus metropolita dominus Arsenius sanctissimæ metropolis magnæ Cæsareæ Cappadociæ, necnon protothronus et totius Orientis exarchus, ostendit, non solum in alias Ecclesias matricidam Metrophanem patriarcham contra canones ordinationes iis, qui cum Latinis sentiebant, commisisse, sed jam et ad Orientis universi diœceses quatuor inordinatum istum ordinasse metropolitellos et episcopillos, in Amasia nempe, Neocæsarea, Tyanis, et Mocesso, Latinorum omnia approbantes et exsequentes, qui non solum

inde sibi subsecuturam ruinam atque excidium exspectant, verum quoque, post tantum facinus, omnes sub Christi grege ibi degentes Christianos fallunt, corrumpunt, multaque inter eos disseminant, quæ orthodoxæ Ecclesiæ scandala ministrant. Propterea pius, fidelissimus, et sanæ fidei universæ propagator zelatorque jam laudatus metropolita Cæsareæ Cappadociæ, ægre ferens Ecclesiæ Christi innovationem et noxam, quæ ab aliena sentientibus in rectissimam sanamque nostram fidem intruduntur, petiit sibi exhiberi synodalem a nobis tribus orthodoxis antistitibus, qui in Syria sunt, Philotheo Alexandrino, Dorotheo Antiochena, et Joachimo Hierosolymitano, sententiam, ut omnes male sentientes ex universa sua diœcesi pellere possit, quod ipse antiquior sit et orthodoxus. Propterea nos, simul synodaliter congregati, præcipimus in nomine consubstantialis, vivificæ et individuæ sanctæ Trinitatis, metropolitas atque episcopos propter virtutem et pietatem haud promotos ad hæc, abbates simul et Patres spirituales, si qui fuerint, simul sacerdotes, diaconos, et in quacunque gradu ecclesiastico constitutos, profanos alios et indignos, qui hæresis occasione arrepta, dum recta fides in discrimen adducebatur, indigne cucurrere, inanis gloriæ et hæreseos modulo ad episcopatus et metropolitatus, quasi essent servatores animarum, ut cum se ipsis alios in exitium ducerent, et Christi vel Dei nostri universum orthodoxum gregem, penitus timore Dei necnon justitiæ et pietatis fructibus destitutos, quin imo despectores, et ad omnem pietatem inverecundos, hoc est, ab hoc die ita decernentes, spoliamus omni actione sacerdotali, et ecclesiastico ordine, donec eorumdem pietas communiter et universaliter examinetur. Hi si obedierint, ab omni munere sacro cessent; si contra se opponant, et prædonum more, contra ac canones sancimus, adversantur, tanquam contumaces et contradictores, sint excommunicati, et abalienati a sancta et supersubstantiali et consubstantiali Trinitate; similiter et qui eos amplectuntur et in similibus assensum præbent et auxilium. Concedimus facultatem, tanquam pietatis orthodoxæque fidei præconi supra laudato sanctissimo metropolitæ, qui hypertimus est exarchusque totius Orientis, per loca omnia pietatem denuntiando, cum non revereatur ad veritatem astruendam neque faciem imperatoris, neque patriarchæ, qui non recte sentiat et agat, neque divitis neque principis, sed palam ac libere fidem ac orthodoxiam possideat, sine ullo metu et hæsitatione, secundum præceptum sibi impositum: liceat itaque ipsi, ex hoc tempore, pietatis causa reprehendere, increpare, corrigere male sentientes in omni loco, quo potest accedere, data a nobis ipsi venia, propter datam nobis gratiam et potestatem Spiritus sancti; qui debet omnino in his integre atque incorrupte pietatem servare; propterea que illi tradita est in scriptis nostra sententia plena synodo, et propriis manibus subscripta, mense Aprili 6941 anni, nunc currentis indictionis sextæ, et a Christo anno 1445.

Ad imperatorem vero hæc: Κρατιστε, καὶ ἡμερώτατε, καὶ γαληνότατέ μοι αὐθέντα, καὶ βασιλεῦ, εὐχὰς τυγχάνοιμι ποιῶν πρὸς Θεὸν ἀδιαλήπτως, ὅπως τηρηθείη σου τὸ κράτος ἀπὸ παντὸς ἐναντίου συναντήματος, καὶ εἰς ἡμετέραν πνευματικὴν εὐφροσύνην. Γνωστὸν ἔστω τῇ ἁγίᾳ βασιλείᾳ σου ὅπως ἡμεῖς ἐσέξαμεθα πρώτην, καὶ δευτέραν, καὶ τρίτην γραφὴν ἀπὸ τὸν πάππαν Εὐγένιον περὶ τῆς ἑνώσεως τῆς Ἐκκλησίας, ἵνα στέρξωμεν ταύτην ἀπαραιτήτως, καθώσπερ ἐγένετο, καὶ ἵνα μνημονεύσωμεν καὶ τὸν πάππαν. Τοιαύτα μὲν ἁπλῶς ὁ πάππας Εὐγένιος πρὸς ἡμᾶς γέγραφεν, οὐδὲν δὲ παρέδειξεν ἡμῖν, ὅπως ἡ πρᾶξις ἐγένετο. Ἐγὼ δὲ κατὰ τὴν προλαβοῦσαν γραφὴν πρὸς με τοῦ ἁγιωτάτου μοι τοῦ ἀδελφοῦ κυρίου Ἰωσὴφ τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου, νῦν ἔμαθον ἀληθῶς, ὅτι ἐν Φλωρεντίᾳ σύνοδος, οὐκ ἐγένετο κατὰ τὰς συμβιβάσεις,

A ἃς εἶχον πρὸς Ῥωμαίους οἱ Λατῖνοι ἐνόρκως διὰ γραμμάτων, κανονικὴ καὶ ἀβίαστος, καὶ ἐλευθέρα κατὰ τὰς παραδόσεις τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων ἑπτὰ καὶ οἰκουμενικῶν συνόδων, καὶ τῶν θείων Πατέρων. Ἀλλὰ ῥᾳδιουργίας μυρίας ἐπινοήσαντες οἱ Ἰταλοὶ τὰς μὲν συμβιβάσεις ἠθέτησαν, παρέβησαν δὲ τοὺς ἐγγράφους αὐτῶν ὅρκους. ἐβίασαν δὲ τὴν ἀλήθειαν, καὶ τέλος τυραννικῷ τρόπῳ τὰ ἄθεσμα αὐτῶν πάλιν ἐκύρωσαν δόγματα, καὶ εἴ τι ἓν ἄλλο παρὰ κανόνας ἐκράτησαν. Τὸ χεῖρον δὲ μᾶλλον, καὶ ἀσεβὲς, ὅτι μετὰ τῶν ἄλλων καὶ τὴν ἐν τῷ κοινῷ τῆς πίστεως συμβόλῳ προσθήκην οὐ παρητήσαντο, ἀλλὰ καὶ ἐγγράφως παρέδωκαν, φεῦ! παρὰ πᾶσιν ὁμολογεῖσθαι. Διὰ τοῦτο ἀπελογήθην ἐγὼ πρὸς τὸν πάππαν τοιαῦτα, ὅτι, εἰ μὲν στέρξῃ τὰς παραδόσεις τῶν ἁγίων οἰκουμενικῶν συνόδων, καὶ ἀποκυρώσεις, καὶ εἴ τι κανονικὸν καὶ νόμιμον οἱ τοιοῦτοι θεῖοι Πατέρες ἐθέσπισαν, ἤδη καὶ τὴν ἐν Φλωρεντίᾳ σύνοδον καὶ αὐτὸς στέργω, καὶ τὸ τοῦ

B πάππα μνημόσυνον δέχομαι σωζομένου, ἵνα τὴν τοιαύτην ὁμολογίαν πρὸς ἡμᾶς ἐγγράφως στείλῃ ὁ πάππας κατὰ τὴν νόμιμον καὶ ἀρχαίαν παράδοσιν καὶ συνήθειαν. Χωρὶς δὲ τούτου ἀλλοτρόπως οὔτε τὴν σύνοδον παραδέχομαι τὴν ἐν Φλωρεντίᾳ οὐδ' ὅλως, οὔτε τοῦ πάππα μνημόσυνον, ἀλλὰ καὶ τοὺς ἐξ ἡμῶν συγκατατιθεμένους πρὸς τὰ τοιαῦτα, πρός τε τὴν ἐν Φλωρεντίᾳ σύνοδον δηλονότι, καὶ τὸ τοῦ πάππα μνημόσυνον χωρὶς τῆς ὑγιαινούσης εἰρημένης ὁμολογίας ἐκείνου. εἰ μὲν τοῦ κλήρου ὦσιν, ἀργοὺς αὐτοὺς καὶ ἀνιέρους ἀπὸ τοῦ νῦν πάσης ἱεροπραξίας ἔχομεν· εἰ δὲ τῆς συγκλήτου, ἀφωρισμένους καὶ ἀκοινωνήτους κατὰ τοὺς θεοκηρύκων κανόνας. καὶ μαθητῶν τοῦ Χριστοῦ, καὶ τῶν θείων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων ἀποκυρώσεις καὶ παροδόσεις. Ταῦτα μὲν ἡμεῖς πρὸς ἐκεῖνον ἐγράψαμεν. Νῦν καὶ πρὸς τὴν σὴν βασιλείαν γνωρίζομεν τάδε· ὅτι, εἰ μὲν προσέδραμεν, ὡς τοῦ ἡμετέρου γένους παντελῶς ἐξησθενηκότος, καὶ διὰ τοῦτο καταναγκαζόμενος

C παντοιοτρόπως, ὅπως λήψῃ βοήθειαν, καί τινα ἴσην ἄλλην οἰκονομίαν νενόηκας, εἴτε τῆς καὶ πρὸς τὰ τῶν Λατίνων ἐνέπεσας, καὶ τὴν προσθήκην ἐδέξω κατὰ ἀνάγκην, εἶθ' οὕτως ἀποτρεψάμενος νῦν τὰ ἐκείνων τερατολογήματά τε καὶ ἀσεβήματα. καὶ τὴν ὑγιαίνουσαν ἐν τῷ θείῳ συμβόλῳ παράδοσιν κατὰ τὰς θείας πάσας Γραφὰς ὁμολογεῖς ἀδιστάκτως τε, στέργεις, καὶ πείθῃ, ὡς οἱ πρὸ σοῦ ἅπαντες εὐσεβεῖς αὐτοκράτορες βασιλεῖς, ἤδη καὶ ἡμεῖς οὐ μόνον τὸ προσφιλὲς μνημόσυνον τῆς βασιλείας ἐπιτελεῖν ἔχομεν, ἀλλὰ καὶ διηνεκῆ, καὶ ἀένναον ἱκεσίαν πρὸς Θεὸν ἐκπληροῦν μέλλομεν τοῦ σοῦ κράτους ἕνεκα, καὶ ὑπὲρ ψυχῆς μάλιστα, δι' ὧν ἐξιλεούμενοι καθ' ἑκάστην τὸ Θεῖον συγκοινωνῆσαί τέ σοι, καὶ τὰ ἀμπλακήματα ἐν γνώσει καὶ ἀγνοίᾳ πραχθέντα. Οὕτω μὲν οὖν ἔσται σοι ἔλεος τῶν πλημμελημάτων, οὕτως δὲ ἄφεσις τῶν ἀγνοημάτων, εἰ μὲν τὰς θείας οὐκ ἀθετεῖς παραδόσεις. Εἰ δὲ περιμένεις, καὶ ἀνέχῃ τὰ τῶν ἑτεροδόξων, ὥσπερ ἀλλότρια ὄντα πάσης κανονικῆς παραδόσεως καὶ συνοδικῆς, οὐ μόνον ἐκ-

D κόψομεν τὸ τοῦ σοῦ κράτους μνημόσυνον, ἀλλὰ τὰ τοῦ βάρους προσθήσομεν ἐπιτίμια, ἵνα μὴ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ διαφέρῃ ἡ λύμη τοῦ ἀλλοτρίου καὶ βλαβεροῦ δόγματος, καθότι ποιμένες τῆς εὐσεβείας ἐκλήθημεν, καὶ ὡμολογήσαμεν οὕτως ἐγγράφως ἐνώπιον Θεοῦ καὶ ἁγίων ἀγγέλων. Οὐκοῦν οὐ κατὰ μισθωτοὺς ἀνεχόμεθα ποιμαίνειν τὴν τῆς εὐσεβείας Ἐκκλησίαν, οὐδὲ φειδόμεθα μᾶλλον ψυχῆς τε καὶ αἵματος, ἀλλ' ἕνεκεν Χριστοῦ, καὶ τοῦ Εὐαγγελίου ἑτοίμως ἔχομεν δοῦναι ψυχὴν, καὶ σάρκα, καὶ αἷμα, καὶ τἄλλα ὅσα ἐπὶ τῆς γῆς κτώμεθα. Ἂν δὲ τῷ τυραννικῷ τρόπῳ παρανόμως βιάζῃ καὶ πειθανολογεῖς τὴν ἐλευθέραν καὶ ἀδούλωτον Χριστοῦ Ἐκκλησίαν, γινώσκε οὕτως, ὅτι παραιτησόμεθα μὲν ἡμεῖς τὴν εὐσέβειαν ὅλως, οὐκ ἀνεξόμεθα δὲ σιωπῶν ἐφεξῆς, ἀλλὰ κατὰ τὴν ἐντολὴν ἀφόβως ἐλέγξας, καὶ ἐπιτιμῆσαι μέλλομεν τούτου. Διόπερ καὶ στέλλομεν πρὸς τὴν ἁγίαν σου βασιλείαν ταῦτα μετὰ τοῦ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς τιμιωτάτου

κυρίου Μανουήλ, καὶ υἱοῦ τῆς ἡμῶν μετριότητος, ὃς καὶ ἀναγγελεῖ πρὸς τὴν σὴν βασιλείαν τὰ περὶ τῆς συνόδου, ἅπερ αὐτῷ ἀνεθήκαμεν. Σρόδρα γὰρ ἡμεῖς, πίστευσον, ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπιποθοῦμεν τῆς πρεσβυτέρας Ῥώμης καὶ τῶν Ἰταλῶν πάντων ἑνώσεως, σωζομένου εἰ πρὸς τὴν ἀλήθειαν ἔλθωσιν. Εἰ δὲ συστῆσαι τὸ ψεῦδος φιλονεικοῦσιν, οὐ δυνάμεθα συγκοινωνῆσαι αὐτοῖς, οὐδ' ἂν πάντας ἡμᾶς διὰ μίαν ἡμέραν ἀπεκεφάλισαν. Κρεῖττον εὐσεβῶς καιρὸν πρὸς καιρὸν, ὅπερ τέλος ἀποθανεῖν μέλλομεν. Πείσθητι τοιγαροῦν καὶ αὐτὸς, ὦ βασιλεῦ γαληνότατε καὶ θειότατε, τοὺς θείους θεσμοὺς, καὶ νόμους Χριστοῦ, καὶ τὰς παραδόσεις τῶν θεοκηρύκων αὐτοῦ μαθητῶν, καθότι εὐσεβῶς ἔζησας ἄχρι τοῦ νῦν, ὡς οἱ σοῦ πατέρες ὁμολογοῦσιν ἔργῳ εὐσεβῶς καὶ ὁσίως τεθνήξαντες. Οὐδὲν γάρ ἐστι τῆς ἡμετέρας εὐσεβείας ἀμφίβολον, ὅπως πρὸς ἀπορίαν ἐμπέσῃς, καὶ διαταγμὸν ἐν τοῖς Χριστιανικοῖς δόγμασιν. Ἀλλ' ὅμως οὐδὲ ἓν γένος τοσαύτην ἀκρίβειαν καὶ ἐρευναν πεποίηκε περὶ πίστεως, ὅσην Πατέρες ἐν Χριστοῦ πίστει πεποιήκασιν. Ὅθεν καὶ τὰς ἀπὸ κτίσεως κόσμου μαρτυρίας εὑρόντες κατὰ διαφόρους καιροὺς παρὰ τοῦ ἁγίου Πνεύματος διὰ τῶν ἁγίων προφητῶν προκηρυχθείσας, ἔστερξαν μὲν ταῦτα βεβίως· ἐν πρώτοις δὲ τῆς σκιᾶς παρελθούσης διὰ τῆς χάριτος παρουσίας τὸ τῆς οἰκονομίας ὅλον ἐτελειώθη σωτηριῶδες μυστήριον, καὶ οὕτως τῆς ὑπερλάμποντος καὶ ζωοποιοῦ ἀναστάσεως πληρωθείσης, οἱ τῆς αὐτῆς θεωρίας μύσται καὶ μαθηταὶ διὰ Πνεύματος ἁγίου σαφῶς τὸ μυστήριον τοῦτο τρανώσαντες πᾶσιν ἐκήρυξαν, ἵν' ἐφεξῆς ἑπόμενοι πάντες ὀρθῶς οὐκ ἀστοχήσωμεν ὅλως τὴν τῆς ἀπεράντου βασιλείας ἐκεῖθεν ἀπόλαυσιν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν. Μηνὶ Δεκεμβρίῳ, ἰνδικτιῶνος ἕκτης.

Potentissime, humanissime, et serenissime domine et imperator, supplices continue Deum exoramus, ut majestas tua atque imperium ab omni adversa fortuna immune conservetur ad nostram spiritualem lætitiam. Notum sit tuæ sacræ Majestati, nos accepisse tres a papa Eugenio de unione Ecclesiæ litteras, ut eam, remotis arbitris, amplecteremur uti gesta est, faceremusque papæ commemorationem. Et hæc quidem nude papa Eugenius ad nos perscripsit; at non edocuit quanam ratione res illa transacta sit. Verumtamen ipse per antecedentes ad me litteras sanctissimi fratris domini Josephi archiepiscopi Constantinopolis novæ Romæ, et œcumenici patriarchæ, plane vereque cognovi, synodum Florentinam non fuisse, uti Græci et Latini cum juramento per scripta convenerant, canonicam et liberam secundum traditiones apostolorum, et sanctarum septem et œcumenicarum synodorum, et divorum Patrum, sed infinitas fraudes comminiscentes Italos, pacta quidem violasse, scripta jurejurando confirmata pervertisse, et tandem, tyrannorum instar, impia sua dogmata rursus stabilivisse, et cætera contra canones obtinuisse; et quod pejus est ac magis impium, cum multis aliis additionem illam in communi fidei Symbolo non neglexisse, sed scripto etiam tradidisse, heu miseros! ab omnibus enuntiari. Quapropter ipse papæ respondi: Si illi traditiones sanctarum universalium synodorum, et determinationes, et quidquid canonicum ac legitimum hi sancti Patres decreverunt, susceperit, jam et ipse Florentinam synodum amplector, et papæ commemorationem non recuso: dummodo similem professionem ad nos in scriptis papa miserit, ut legitima et antiqua traditio et consuetudo præscribit. Quod si id non fiet, neque Florentinam ipse synodum suscipio, neque papæ commemorationem. Quin et ex nostris, qui similibus assensum præbuerunt, Florentiæ scilicet synodo, et papæ commemorationi, sine jam dicta recta illius confessione, si ex clero sunt, eos depositos, omni sacro munere et sacerdotali ministerio privamus; si ex senatu, excommunicamus, et a consortio fidelium segregamus, secundum Dei præconum canones, et discipulorum Christi, et sanctarum ac universalium septem synodorum præscripta atque traditiones. Et hæc quidem nos ad illum scripsimus; tuæ vero Majestati hæc nota facimus. Si similibus locum dedit, nationis nostræ penitus afflictæ, et tantum non emortuæ causa, modis omnibus coactus, ut auxilia tibi comparares, vel forte alia providentia suffultus in Latinorum sententiam ivisti, vique aliqua additionem amplexatus es, et nunc, eorum absurdis atque impietatibus semotis, sanam in divino symbolo traditionem secundum omnes divinas Scripturas indubitanter confiteris et amplecteris, illique credis, quemadmodum qui ante te imperio potiti sunt, jam et nos non tantum amicam majestatis tuæ faciemus commemorationem, sed continuis inexhaustisque precibus Deum pro tuo imperio, potissimum pro anima, exorabimus, quibus quotidie Deum tibi propitius reddemus, ut delictis tuis, tum dedita opera tum ignoranter commissis, veniam concedat. Et hac ratione misericordiam peccatorum, et ignorantiarum remissionem consequeris, si divinas traditiones non improbas. Quod si pertinax perstiteris, et aliena sentientium dogmata sustines, cum ea aliena sint ab omni canonica et synodali traditione; non tantum tuæ Majestatis commemorationem excidemus, sed pœnas etiam aggravabimus; ne, in Christi Ecclesia, alieni et nozii dogmatis pernicies vires sumat; dum pietatis pastores vocamur, scriptoque ita professi sumus ante Deum et sanctos angelos. Quare non uti mercenarii pietatis Ecclesiam pascimus, neque carior est nobis sanguis et anima, sed pro Christo illiusque Evangelio prompti sumus, animam et carnem et sanguinem, et quidquid aliud super terram possidemus, profundere. Quod si, tyranni instar, nefarie vim infers et seducere contendis liberam jugique impatientem Ecclesiam, scito, nos unquam pietatem deserturos, nec taciturnitatem æquo animo laturos, sed secundum præceptum absque metu reprehensuros, et additis etiam minis increpaturos. Ideoque hæc ad Majestatem tuam mittimus cum hieromonacho, et spirituali Patre, præstantissimo domino Macario, et nostræ mediocritatis filio, qui et Majestati tuæ de synodo, quæ ipsi commendavimus, nuntiabit. Ardenter enim nos, mihi crede, et ut quivis alius, senioris Romæ et Italorum omnium unionem concupiscimus, dummodo illi veritati manus dent. Quod si mendacium constabilire contendunt, non possumus cum illis communicare, etiamsi uno die omnium cervicibus caput abscindant: optimum est, pie quacunque hora vitam ponere, si semel tandem moriendum est. Amplectere itaque et tu, o imperator serenissime et divinissime, sacras sanctiones, et leges Christi, et traditiones Dei præconum, et Christi discipulorum, qui ad hæc usque tempora pie vixisti, quod tibi tui parentes contestantur, pie probeque fato functi. Nihil enim est in nostra pietate ambiguum, quod ad hæsitationem atque dubitationem in Christianis dogmatibus trahi possit. Sed enim nulla natio tantam disquisitionem, et accuratum examen in rebus fidei posuit, quantum ipsi Patres nostri in Christi fide, ideoque ab orbe condito testimonia recollecta diversis temporibus a Spiritu sancto per sacros vates prævaticinata firmiter illis et ante alia fidem præstiterunt: postea prætergressa umbra, gratiæ accessu, dispensationis universum et salutare absolutum mysterium est. Et sic splendidissima ac vivifica resurrectione absoluta, illius mystæ et discipuli per Spiritum sanctum plane mysterium declarantes omnibus denuntiarunt, ut posteri omnes, recte eos sequentes, semper duraturi regni participes evadamus, cujus utinam compotes fieri contingat in Christo Jesu Domino nostro. Amen. Mense Decembri, indictionis sextæ.

Gregorius Melissenus, Pater spiritualis seu confessarius imperatoris, mortuo Metrophane, sive patriarchatu abdicato, in ejus locum sufficitur in æstate anni Christi 1445, ut scribit Phranza. Hic autem Gregorius dictus Phranzæ Melissenus non diversus videtur a Gregorio Mamma cognominato

ab anonymo Crusiano ; quem patriarchatu postmodum cessisse, quod dissidium in dies longius serpere cerneret, tradit idem scriptor. Neque sane dubito quin Gregorius iste idem sit qui Georgius Phranzæ dictus lib. III, cap. 5, quem quidem ait, mense Augusto anni Christi 1451, instar exsulis ab urbe discessisse. Sic enim et Gregorius Cyprius passim Georgius appellatur, quod sumpto habitu monastico ex Georgio Gregorius vocatus sit. Quæ cum ita sint, Gregorius seu Georgius iste sedit annis circiter sex, et ut quieti proprie consuleret Constantinopolim reliquit, ac Romam, tanquam ad portum salutis et fidei asylum, confugit ; ubi susceptum semel patriarchatus titulum, quoad vixit, retinuit ; nemine alio inter Latinos, neque etiam inter Græcos usque ad captam per Turcas Constantinopolim, in ejus locum suffecto. Neque ante captam a Turcis Constantinopolim diem obiit, ut videtur innuere Phranzes, lib. III, cap. 19, cum in Comment. Pii II, lib. II, ejus mors ad annum Christi 1459 consignetur. Sedes autem Constantinopolitana vacavit ab anno Christi 1451, ad Georgium Scholarium, qui primus patriarcha fuit post captam Constantinopolim.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΛΟΓΟΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΝ ΜΥΡΟΦΟΡΟΝ

ΜΑΡΙΑΝ ΤΗΝ ΜΑΓΔΑΛΗΝΗΝ.

—

SAPIENTISSIMI ET ELOQUENTISSIMI DOMINI

NICEPHORI CALLISTI

XANTHOPULI

SERMO

IN SANCTAM ET APOSTOLIS ÆQUALEM UNGUENTIFERAM

MARIAM MAGDALENAM

(Banduri, Catalog. Biblioth. Laurent.-Medic., tom. I, p. 446.)

—

I. Quandoquidem alioquin quid conveniebat sermone exsecuti sumus, id ipsum nunc quoque facturi sumus beatæ Magdalenæ certamina delineaturi ejusque historiam adumbraturi atque æmulationi proposituri. Verbi enim æterni auxiliatrix haud inutilis doctrinæ ipsa inserviit, et pro sua parte non parum ad Evangelii propagationem contribuit. Quæ omnia considerantibus nobis necessarium ac peculiare negotium visum est de beata hac femina verba facere, siquidem de nulla e Domini discipulabus sermo aptior institui aut ejusmodi rerum studiosis præsentari poterit. Qui enim rebus cœlestibus ipse initiari et alios initiare et fidei verba mundo communicare voluerit, S. Magdalenam omni honore dignam judicabit ; et proprio animo satisfaciens, gaudium non parvum iis quoque exhibebit qui istius feminæ laudes in medium

Α'. Εἴπερ ἄλλοτε καὶ λόγῳ τὸ προσῆκον πρᾶξαι συμβέβηκε, τοῦτ' αὐτὸ καὶ νῦν δοκῶ μοι πράξειν ἐκ προφανοῦς, ἑαυτὸν καθεῖναι τοῖς τῆς μακαρίας Μαγδαληνῆς ἀγῶσιν ἐγκαθορμήσαντι, καὶ ταύτην προθεῖναι τῆς νῦν ὑποθέσεως ἀφορμήν, σπουδῆς ἔργον προστησαμένῳ· ἡ δὴ τῷ μὲν ὑπὲρ λόγον ἀνυπόστατῳ Λόγῳ οὐκ ἀσυντελὴς ὅσα καὶ ἐς μαθητείαν ἐτέλεσε, λόγοις δὲ ζῶσι τοῖς τοῦ κηρύγματος οὐ μικρὰν τό γε αὐτῆς μέρος εἰσήνεγκε δύναμιν. Ἡμῖν δὲ πανταχόθεν σκοπουμένοις ἀναγκαῖος καὶ οἰκεῖος ὁ περὶ ταύτης λόγος εἶναι δοκεῖ· οὐ γὰρ ἂν ἐπ' ἄλλῳ τῶν ἁπάντων διατεθείη, ἢ λόγοις ὡς ἐνὸν τὰ ταύτης διεξιοῦσι, καὶ παρατιθεῖσιν ἀκοαῖς φιλολόγων διήγημα. Ἦ γὰρ ὑπῆρξε λόγῳ μυηθῆναι καὶ μυῆσαι τὰ ἐπουράνια, σπουδή τε πᾶσα τὸν τῆς πίστεως λόγον διαδοῦναι τοῖς πέρασι, πάντως ἂν αὐτῇ λόγοις, ὡς εἰκὸς, τιμωμένῃ, καὶ ἡδυνθείσῃ τῷ πνεύματι, καὶ

χάριν οὐμενοῦν οὐ μικρὰν τοῖς γε τῷ περὶ ταύτης A
λόγῳ θαρσήσασιν οἶδ' ὅτι παρέξειν. Ὅτῳ γὰρ ἂν
ἕκαστος ἔργῳ ἔτι τῷ ζῆν περιών, ἑαυτὸν ἐπιδιδοίη
καὶ ἥδοιτο, τούτῳ δὴ καὶ τῶν ἐνθένδε μεταχωρήσας,
εἴ τινι τῶν ἁπάντων ὁρῷτο τιμώμενος, γάννυται
ἐπὶ μᾶλλον, καὶ ἀνεκλαλήτῳ χαίρει χαρᾷ. Διά τοι
ταῦτα προσῆκον καὶ οἰκεῖον τῇ τοῦ Λόγου μαθητρίᾳ
τὸ ἐκ λόγων ἐγκώμιον. Οὐ μὴν ἀλλὰ καὶ καθ' ἕτερόν
γε τρόπον ἀναγκαῖος ἡμῖν ὁ περὶ ταύτης λόγος
ἐστίν· ἀνδρὶ γὰρ ἐξέτι νέου λόγους ἀσκήσαντι, καὶ
τούτοις ὡς μάλιστα συντραφέντι, δεύτερά τε τούτων
τιθεμένῳ τὰ πάντα, καὶ χρεών γε ὂν θεῷ ἀνατιθέναι
τῶν λόγων τὰς ἀπαρχάς, τί ποτ' ἂν μᾶλλον ἐκείνῳ
γε ἥδιον εἴη ἢ λόγος ὁ περὶ Λόγου, καὶ ἡ περὶ τῶν
λόγῳ πίστεως διαδραμόντων τὴν οἰκουμένην διήγη-
σις; Καὶ τρίτον ἀλογίστων, μᾶλλον δὲ ἀχαρίστων B
ὀνδρῶν ἔγωγε κρίνω, προγόνοις μὲν τοῖς ἐξ αἵματος
χάριν ἐκτίνειν ἐθέλειν ὅσῃπερ ἐστὶ δυναμένοις, τοῖς
δὲ τοῦ κρείττονος ἡμῖν ἀρχηγοῖς καὶ αἰτίοις τὴν
πνευματικὴν ἀναγέννησιν μηδ' ὁπωσοῦν προθυμεῖ-
σθαι τὰ εἰκότα χαρίζεσθαι. Οὐκ ἄδηλον δὲ πάντως
ὡς ἀρχηγὸς καὶ αὐτὴ τῶν ἀναγεννωμένων τῷ πνεύ-
ματι ἡ μακαρία Μαγδαληνὴ ἀναμφιβόλως λελόγι-
σται. Εἰ γὰρ τὰ τῶν παίδων τῷ πατρὶ λογίζεσθαι
τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων, καθὼς ἄρα
δῆτα καὶ ἔστι καὶ λέγεται, πάντως καὶ τὰ τῶν μα-
θητῶν τῷ διδασκάλῳ δοίη τις ἂν· διδάσκαλον δ' ἄλ-
λον τῶν ἀποστόλων μετά γε Χριστὸν εἴ τις ἕτερον
τιθέναι ἐθέλοι τοῦ λόγου τὴν μακαρίαν ὑπεξελών,
ἐς Χριστιανοὺς δοκῶν τελεῖν τε καὶ ὀνομάζεσθαι, C
οὐκ ἔγωγε οἶμαι ἐκ τοῦ ῥᾴστου τοῦτον εὑρεῖν, ὥστε
καὶ τὰ τῶν ἀποστόλων ἔν γε τῷ παρόντι ταύτης
λογίζεσθαι, οὗ μοι ἅπο τρόπου εἰρήσεται, καὶ τῷ
λόγῳ τὴν πίστιν ἐξ αὐτῶν δῆτα προσηκόντως πα-
ράσχοιμεν. Εἰ γὰρ χρὴ τῷ θεσπεσίῳ πείθεσθαι
Παύλῳ τοῖς ἐν Κορίνθῳ γράφοντι· « Εἰ δὲ νεκροὶ
οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χρι-
στὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ἡμῶν. » Ταύτῃ
δ' ὑπῆρξε πρώτῃ ἀναστάντα κατιδεῖν τὸν Χριστὸν,
καὶ τὴν ἀνάστασιν τοῖς ἀποστόλοις εὐαγγελίσασθαι,
κἂν λῆρος τὰ ταύτης ὤφθησαν ῥήματα· ταύτῃ δοτέον
πάντως καὶ τὰ τῶν ἀποστόλων, εἴπερ τῷ πρώτως
εὑρόντι τὰ τῆς εὑρέσεως παρὰ τοῖς εὖ φρονοῦσι
λελόγισται. Τὸ δ' ἐντεῦθεν τῷ λόγῳ ἀναβαλέσθαι D
τὰ τοῦ ἀγῶνος ἄμεινον ξυμβαίνει εἶναι, ἥκιστα λο-
γιζομένῳ δίον ἀπαρασκεύῳ νηῒ μέγα πέλαγος δια-
πλεῖν, ἐλαχίστῳ δὲ ἀκατίῳ μέγα κῦμα διαπερᾶν,
ταυτὸ δ' εἰπεῖν βραχεῖ τε καὶ φαυλοτάτῳ λόγῳ τὰ
τῆς μακαρίας ταύτης διεξιέναι μεγαλουργήματα,
ἑτέροις δὲ τοῦ ἔργου τοῦδε καὶ τῆς ἐντεῦθεν φιλοτι-
μίας παραχωρῆσαι, οἷς δύναμίς τε λόγων ἀρκοῦσα
τυγχάνει οὖσα, καὶ δυνατά ἐστιν ἐκείνοις τοσοῦτον
ἀγῶνα διαχειρίσασθαι. Πλὴν ἀλλ' ἐπείπερ ἀναδῦναι
οὐκ ἔνι, οὐδ' ἀποφυγεῖν τὸ ἐγχείρημα, οὑτωσί πως
κατατολμήσαντι· πῶς γὰρ ἂν οὐ καὶ τῷ μώμῳ καθ'
ἡμῶν αὐτῶν νεανιεύσεσθαι δοίημεν, εὐαγγελικῶς οὕ-
τως ἐπ' ἀρότρῳ χεῖρα βαλοῦσι, καὶ πρὸς τοὐναντίον
μεταχωρήσασιν; Ἔργῳ χεῖρα ἐπιβαλόντι συνοίσει

[1] I Cor. xv, 16.

proferre præsument. Qui enim labori alicui indulget A
lætitia afficitur, et si honorem inde assequitur, ma-
ximo gaudio perfunditur. Nemo igitur infitias ibit,
Verbi discipulæ laudem particularem deberi. Sed ob
aliam quoque causam de illa sermo nobis opportunus
videtur. Quid etenim viro rhetorico, qui ejusmodi
studia omnibus aliis præponit, et qui sermonum
primitias ad Deum refert, quid, inquam, magis
jucundum erit quam sermo de Verbo ac de iis
qui verbum fidei per orbem universum circumfe-
runt? Porro imprudentiæ ac socordiæ signum esse
judico, majoribus ex carne, quamvis potentibus,
gratias referre, iis autem qui regenerationis spiri-
tualis nobis auctores exstiterunt, grates debitas
non habere. Sine dubio autem beata Magdalena B
eorum qui spiritualiter regenerati sunt, præcipua
sospitatrix habetur. Si enim filiorum legitimitatem
ac justitiam patri attribuere fas est, certe discipu-
lorum quoque merita ad præceptorem referre
oportet. Magdalenam autem secundum Christum
apostolis primam nuntiam fuisse negari sine injus-
ria non posse constat inter Christianos; quare ab
apostolis eam separare non licet, quibuscum fidem
communem habebat; si beato Paulo fidem habere
decet ad Corinthios scribenti: « Nam si mortui non
resurgunt, neque Christus resurrexit. Quod si Chri-
stus non resurrexit, vana est fides vestra [1]. » Magda-
lenæ autem primæ obtigit, Christum resuscitatum
videre, et resurrectionem ejus apostolis annuntiare,
quamvis verba illius vana esse viderentur. Quod C
igitur apostolis obvenit, ad Magdalenam referri
debet, siquidem omne inventum ad eum qui
primus invenit ab omnibus qui mentis sanæ sunt
refertur. Nunquam enim navem male construc-tam
mari alto committendam, aut undam decumanam
exiguo navigio tentandam esse aliquis asseruerit.
Sic hujus beatæ feminæ præclare facta brevi et
exiguo verbo memorare aliisve attribuere, iniquum
fuerit, qui eloquentiæ vi pollent ad ejusmodi certa-
men aggrediendum. Non enim licet rem intactam
relinquere. Quomodo enim homini petulanti resi-
stemus puerili nos jactantia aggredienti? Ergo sicut
Evangelium jubet, manum aratro imponamus,
contrarium faciendo. Melius enim erit et utilius,
rem inchoatam ad finem perducere, quam re in- D
fecta abscedere. Quando autem votum debitum
sermone absolvemus, nisi Patribus hisce obtempe-
remus, qui quotidie nos adhortantur, nec patiuntur
ut quiescamus antequam beatæ Magdalenæ
laudibus efferendæ officium præstiterimus? Hac
cum ita se habeant, auxilio ejus invocato rem ag-
grediamur et omnem metum ac socordiam excu-
tiamus. Sermonis igitur fundamentum atque
initium sit dicere quæ ejus fuerit origo, qui-
bus parentibus sit prognata. Dein dicemus
quomodo Christo appropinquarit, quomodo
Evangelii participem fieri ei contigerit, et qua
ratione ad ejus promulgationem contribuerit.

μᾶλλον καὶ εἰς τέλος ἀφῖχθαι, ἢ ἀτελὴς καταλιπόντι ὀπίσω εἶναι. Πότε δ' ἂν καὶ λέγῳ καὶ λόγοις εὐλόγῳ; τὰ προσήκοντα ἀφοσιωτώμεθα, ἢ τοῖς ἐμοῖς δὴ Πατράσι τούτοις τὸ δέον ἀποχαρισαίμεθα. διέλκουσί τε καθεκάστην ἡμᾶς, ὡς εἰπεῖν, καὶ σπαράττουσι, καὶ οὐκ ἀνήσειν διισχυριζομένοις τὰ μάλιστα, ἕως ἂν τοῖς τῆς μακαρίας λόγοις ἑαυτὸν ἐπιδοίην; Ἐπεὶ τοίνυν ταῦθ' οὕτω, φέρε δὴ τὴν τῆς ταύτης βοηθείαν ἐπικαλεσάμενοι, τοῦ ἐγχειρήματος ἐφαψώμεθα, πάντα φόβον καὶ δειλίαν ἀποσεισάμενοι. Εἴη δ' ἂν τῷ λόγῳ κρηπὶς, ὅπως τε καὶ ὅθεν, καὶ τίνα ἔσχε τοῦ γένους ἀρχήν· εἶτ' ἐφεξῆς προσθεῖναι, πῶς τε Χριστῷ προσέλθοι, καὶ πῶς αὐτῇ γένοιτο τῷ Εὐαγγελίῳ καὶ τὸν ταύτης φθόγγον συνεξακούεσθαι.

II. At nunc quidem beatæ Magdalenæ patriam ac genus commemorare extra propositum nostrum nunc quidem esse censeo. Constat enim quod iis qui secundum Deum vixerunt patria et beata civitas in paradiso est; quod majores patriarchas et prophetas habent; quod amici eorum sunt apostoli et justorum concio et ea quæ in cœlesti Jerusalem verecunde et honorifica habentur. Quamvis enim de hisce gloriari liceat, tamen minime opportunum esse censeo, e rebus exiguis quæ illa aspernata est, laudem construere. Homini enim prorsus materiali tantum et qui in rebus mere terrestribus felicitatem sectatur perscrutari licebit, utrum vera patria in pascuorum ubertate et abundantia constet; utrum civitas bene sita muris et aliis commodis polleat; utrum mari adjaceat; utrum ex aliis commoda sibi comparet, ab incommoditatibus quæ mari inhærent, exempta. Illi autem sanctæ feminæ obtigit, istius felicitatis compotem fieri, spretisque omnibus Christum conquirere, et patriam habere cœlestem Jerusalem, terrestrem materiam pedibus calcare, cum Deo esse, imo misceri. Nihil enim ei laude dignum videbatur quod a rebus divinis abhorret. Quanquam vero mihi licuerit feminæ sanctæ patriam prædicare, non vereor ne alios offendam quibus civitas patria cæteris urbibus præferenda omnique laude digna videtur. Ea enim est urbium conditio ut pro dignitate aliæ aliis propositæ prolatæve pro arbitrio magnæ aut exiguæ habeantur. Attamen ne iniqui videamur in laudando aut vituperando, cum justa auctoritate exponamus quæ ejus patria fuerit; siquidem non minus patria eam decoravit quam ab ipsa condecorata fuit.

Β'. Πατρίδα μὲν οὖν καὶ γένος τῆς μακαρίας τῆσδε τό γε νῦν ἔχον διεξιέναι παντάπασιν ἀκαιρόν τε ἡγοῦμαι, καὶ σκοποῦ τοῦ προκειμένου ἐκτός· δῆλον γὰρ ὅτι τοῖς κατὰ Θεὸν ζήσασι πατρὶς μὲν ἡ ἀνώλεθρος καὶ μακαρία ἐκείνη διαγωγὴ, ὁ παράδεισος· πρόγονοι δὲ πατριάρχαι καὶ προφῆται· φίλοι δὲ ἀπόστολοι, καὶ ἡ τῶν δικαίων ὁμήγυρις, καὶ τἆλλα ὅσα τῇ ἄνω Ἱερουσαλὴμ σεμνά τε καὶ τίμια. Ἦ γ' ἐξὸν ἐκ τούτων σεμνύνεσθαι, περιττὸν οἶμαι πάντως καὶ ἐκτόπως τῷ καιρῷ μὴ προσῆκον, καὶ ἐκ τῶν μικρῶν τούτων, ἃ κἀκείνη ὡς οὐδὲν ὄντα τοῖς βουλομένοις κατέλειψε, προσερανίζειν τὸν ἔπαινον. Ἀνθρώπῳ γὰρ δεινῶς ἐξηχομένῳ τῆς ὕλης, καὶ πρὸς τὴν ἐκ ταύτης εὐδαιμονίαν ἐσχολακότι ἐξέστω τὰ τοιαῦτα διερευνᾶσθαι· εἰ πατρὶς αὐτῷ ἐστι βοσκημάτων εὐφορίᾳ τὰς ἄλλας ὑπερνικῶσα, εἰ θέσεως εὖ ἔχουσα, καὶ τειχῶν καὶ τῆς ἄλλης εὐπρεπείας· οὐκ ἀμοιρεῖ, εἰ γειτνιῶσα θαλάσσῃ, τὰ παρ' ἄλλοις ἐξιδιοῦται σεμνὰ, καὶ τῶν μὲν ἀπὸ τῆς θαλάσσης οὐ μετέχει κακῶν, μικρὸν αὐτῆς ὑποστελλομένη, καὶ τοῦ σύνεγγυς εἶναι ἀναχωροῦσα. Ἦ δ' ὑπῆρξεν ἀντὶ πάντων τῆς μακαρίας ἐκείνης εὐδαιμονίας γενέσθαι, καὶ πάντων ἀμελῆσαι, Χριστὸν κερδῆναι, πατρίδα τε τὴν ἄνω κτήσασθαι Ἱερουσαλὴμ, καὶ τῆς γεώδους ταύτης ὕλης ὑπεραρθῆναι, καὶ μετὰ Θεοῦ γενέσθαι, μᾶλλον δὲ συγκραθῆναι, παρ' οὐδὲν αὐτῇ τὰ κάτω, καὶ ὅσα μὴ ἐκ τῶν οἰκείων φέρει τὸν ἔπαινον. Καίπερ εἰ βουλομένοις ἡμῖν καὶ τὴν αὐτῆς πατρίδα εἰπεῖν ἐξῆν, παρ' οὐδὲν δοκῶ μοι τὰ τῶν ἄλλων ἐλέγξαι τερπνὰ, οἷς ὅ τι καὶ ὅσα ἂν εἴποι τις ταῖς ἄλλαις πόλεσιν ἐξαίσια εἶναι καὶ τίμια, λόγου τε πολλοῦ ἀξιούμενα, καὶ κρεῖττόν γε ἢ ἐκείναι αὐχοῦσα ἐν τούτῳ τούτων πλεονεκτεῖ, ὅτι δὴ μὴ τὰ ταύτης σεμνὰ, πολλά τε ὄντα καὶ λόγου δεόμενα, ἐπίσης ἐκείνας κτήσασθαι ἐξεγένετο. Ἀλλ' ἵνα μὴ τῷ δοκεῖν ὑπερτιθέναι δόξωμέν τισι περικαλύπτειν τὸ δυσεῖδος, καὶ τοῦτο δὴ ποιεῖν, οἷς μὴ ἔχομέν τι τῶν εὐκταίων περὶ αὐτῆς διηγήσασθαι, φέρε δείξωμεν ἐκ πρώτης, ὅ φασι, τῆς ἀφετηρίας, οἵας ὁρμᾶται πατρίδος, καὶ ὅτι οὐχ ἧσσον ἡ πατρὶς αὐτὴν, ἢ αὐτὴ τὴν πατρίδα ἐκόσμησε.

III. Patria igitur beatæ Verbi alumnæ Mariæ Magdalenæ fuit, quam Deus Abrahamo patriarchæ ejusque posteris promisit, id est terra promissionis et Israelitis concessa, postquam ex Ægyptiaca miseria aufugerant. Scripturæ vero sacræ committo virtutes ejus enarrare et generis et nominis antiquitatem in medium proferre. Quibus enim verbis quis ejus gloriam supereminentem satis pronuntiare poterit? satius igitur est silentio rem præterire quam voces proferre re laudanda indignas et cæteris risui et ludibrio esse. Hæc igitur beatæ Magdalenæ patria. Quodsi patria illustri orta est, pa-

Γ'. Πατρὶς τοίνυν τῇ μακαρίᾳ ταύτῃ μαθητρίᾳ τοῦ Λόγου Μαγδαληνῇ, ἣν ὁ Θεὸς τῷ μεγάλῳ πατριάρχῃ Ἀβραὰμ καὶ τοῖς ἐξ αὐτοῦ ἐπηγγείλατο, ἡ γῆ τῆς ἐπαγγελίας ἡ κληροδοτηθεῖσα τῷ Ἰσραὴλ, τὴν Αἰγυπτίαν διαφυγοῦσι πλημμέλειαν. Καὶ παραχωρήσειν μοι δοκῶ τῇ ἱερᾷ Γραφῇ τὰ ταύτης ἐπαίρειν καλὰ, ὅση τε ἀρχαιότητος ἔχεται, καὶ ᾗ τὸ νέον ἐκ τοῦ ὀνόματος πρόσεστι· ποίοις γὰρ ἂν τις λόγοις χρησάμενος, τό γε περιὸν αὐτῇ τῆς δόξης κἂν πρὸς βραχὺ παραστήσειεν; Ἄμεινον οὖν σιγῇ χρησάμενον ἐπαινέσαι, ἢ λέγειν ὁρμήσαντα μὴ δυνηθῆναι ἰσχῦσαι, καὶ γέλωτα ὀφλῆσαι μάλιστα καὶ διατριβήν·

αὕτη μὲν οὖν τῆς μακαρίας Μαγδαληνῆς ἡ πατρίς. Ἀλλ' οὕτω πατρίδος εὖ ἔχουσα, οὐκ ἔλαττον ἔσχε τὰ τοῦ γένους εἰς περιφάνειαν· πατράσι καὶ τὰ ἐχρήσατο, οὐχ οἷοι τῶν ἄλλων ἐνδεῖσθαι, καὶ ἄλλοις τῶν τε τῆς πατρίδος πρωτείων, καὶ τῶν ὅσα πλοῦτος αὐτοῖς ὑπεξίστασθαι· ἄνωθεν καὶ γὰρ αὐτοῖς ὡς ἐκ σειρᾶς τὸ τῆς εὐγενείας καλόν· τῶν ἀφ' ἡλίου ἀνατολῶν καὶ οὗτοι ὁρμώμενοι, εὐγενεῖς τὸ σῶμα, τὴν ψυχὴν εὐγενέστεροι. Θύρα τούτοις κατὰ τὸν Ἰὼβ παντὶ πενομένῳ ἀνέῳκτο, οὐκ ἐπιζυγομένη κατὰ προσώπων, καὶ πόρρω τούτους ἐλαύνουσα· πόδες ἦσαν χωλῶν· ὅσα καὶ ὀφθαλμοῖς ἐχρῶντο τούτοις, οἳ πεπηρωμένα τὰ ὄμματα περιέφερον. Χηρείᾳ δὲ τὰ μάλιστα βοηθοῦντες, ἐκ πολλοῦ τὸν βίον ἀπολιπόντων πατέρων, παῖδας ἐξοικιζόμενοι, τῆς ὀρφανίας περιῆρουν τὸ πλεῖστον, ἅτε μὴ τῶν ἐξ αὐτῆς κακῶν ἐς πεῖραν τῇ ἐκείνων ἐπιμελείᾳ γινόμενοι. Τί οὖν; ἆρα μὴ τοῖς ἔξω καλῶς ἔχοντες, τοῖς ἔνδον ἐν ῥᾳστώνῃ διέκειντο, τρυφαῖς αὐτοὶ καὶ ὅσῃ βλακείᾳ σχολάζοντες; Οὐμενοῦν· ἀλλ' ἔργον ἦν αὐτοῖς ἄπαυστον ἡ τοῦ παιδαγωγοῦ νόμου μελέτη· ἔτι καὶ γὰρ αὐτοῦ, κἂν ἐπὶ ξυροῦ ἀκμῆς τὰ τῆς σκιᾶς ἐνειστήκει, καὶ ἡ πρὸς τὸ θεῖον δι' αἱμάτων καὶ κνίσσης οἰκείωσις. Γεννῶσι τοίνυν τὴν μακαρίαν ταύτην Μαρίαν περὶ τὰ μέσα που τῆς μοναρχίας τοῦ Καίσαρος Ὀκταβίου, ᾧ καὶ Σεβαστὸς ἐπίκλησίς ἐστιν ἕτερον ὄνομα. Καὶ ἀποχρῆν αὐτοῖς εἰς φιλοτιμίαν ἦγημαι, ὅτι πατέρες τοιαύτης ἤκουσαν θυγατρός. Εἴπερ γὰρ ἔδει τὴν τοιαύτην, καὶ τοσαῦτα δὴ τῷ βίῳ χαρισαμένην, ὑπὲρ νοῦν καὶ λόγον τυγχάνοντα, τῷ βίῳ δοθῆναι, ὥσπερ τι τῶν πάλαι μέγιστον ἀγαθῶν, μὴ ἄλλοις αἰτίοις τοῖς εἰς φῶς προόδου πατράσι χρήσασθαι, ἢ δι' ὧν γέγονε, κἀκείνους μὴ ἄλλης ἢ ταύτης πατέρας ὀφθῆναι. Ἐπεὶ δ' ἀπέσχετο γάλακτος, καὶ πόρρω τιτθῶν ἦν, καὶ ἄρτι ποσὶν οἰκείοις ἐπιβαίνειν τῆς γῆς ἤρξατο, οὐκ ἐπ' ἄτρακτον ἐρείδειν πήχεις κατὰ τὸν Σολομῶντα μανθάνειν ἐκδίδοται, οὐδ' ἔρια νήθειν, ἢ τοῖς ἐκ σηρῶν νήμασιν ἐπικεῖσθαι, καὶ εἰς κάλλος ἐξυφαίνειν καὶ καταποικίλλειν, τῷ τὰ πάντα βιαζομένῳ χρυσῷ, ἀλλ' ἐς γραμματιστοῦ φοιτᾷν ἐγκελεύεται. Ἐπὶ δὲ τὸ τοῦ λόγου δαλὸς ἦν εἰς πῦρ, καὶ ἵππος, ὅ φασιν, εἰς πεδίον, ὀλίγος ὁ μεταξὺ χρόνος, καὶ ἀσκεῖται μὲν αὐτῇ, ὅσα τῷ θεόπτῃ γέγραπται Μωϋσεῖ, καὶ τῇ λοιπῇ σχιῷδει Γραφῇ, ὅσα τε προφῆται καὶ ψαλμοὶ διεξέρχονται· τοῖς μέντοι ψαλμοῖς καὶ προσετετήκει τὰ μάλιστα, καὶ τούτοις νυκτὸς ἦν καὶ ἡμέρας ἐμμελετῶσα, καὶ τῶν προφητικῶν ἐκείνοις ἐγκειμένη διηνεκὲς, ὅσα περὶ Χριστοῦ, εἴτ' οὖν περὶ τοῦ ἡλειμμένου καὶ Μεσσίου ἐμφανέστατα διαγγέλλουσιν.

Δ'. Ἄρτι δὲ τῶν γονέων ταύτῃ διαμετρησαμένων τὸ ζῆν, αὕτη καὶ παρούσης ἐξουσίας εἰς τὸ ῥᾳθυμεῖν, οὐκ ἔμεινεν ἐν ἀπαιδευσίᾳ· οὐ γὰρ πρὸς τρυφὰς ἀπεῖδε, καὶ βλακείαις ἀνῆκε τὸ σῶμα, καὶ τῇ λοιπῇ ῥᾳστώνῃ ἐκδεδιήτητο· καὶ ταῦτα παρηβῶσαν ἤδη τὴν ἡλικίαν ἐπαγομένη, πλούτῳ τε βριθομένη, καὶ ἄρτι παθῶν τῶν ἐκ φύσεως ἐπιβαίνουσα· ἀλλ' ἄσχολον ἔργον ταύτῃ νηστεία καὶ προσευχὴ, τῆξις σαρκὸς, καὶ ἡ πρὸς τὸ θεῖον νεῦσίς τε καὶ οἰκείωσις, νόμου μελέτη, Γραφῶν ἀνάγνωσις, καὶ διὰ τοῦ τὰ ὄντα τοῖς χρῄζουσιν ἀνιέναι ὅλαις χερσὶ καὶ γνώμῃ, καὶ προθυμότερόν γε ἢ ἐκείνοις λαμβάνειν ἐξῆν, τὸ μέλλον, ὡς ἐνὸν, κατακτᾶσθαι, καὶ τοῖς ἐστῶσι ταμιείοις διὰ τῶν, οἷς ἐνδεῖν τὸν βίον συνέβαινε, τὰ

rentibus non minus claris usa est, quibus cæterorum non opus erat auxilio; qui inter civitates primores erant, et qui divitiis abundabant, et quibus generis charitas desuper erat. Nam ab Orientis partibus exorti, si quoad corpus generosi, quoad animam generosiores erant. Domus eorum, secundum Jobi exemplum, pauperibus omnibus aperta erat sine personarum acceptione. Pedes iidem erant claudorum; cæci iis ut oculis utebantur. Maxime autem viduis succurrebant, natos adoptantes quorum genitores ex diuturno tempore e vita excesserant, sicque orbitatis duritiem lenientes cura quam illorum gerebant. Quid tum? num putas eos qui cæteris bene faciebant, domui luxuriæ ac mollitiei indulsisse? Minime rerum; imo legis salutaris exercitium perpetuum eis negotium erat, cujus vigor sanguinem et victimarum odorem exigebat. Genuerunt igitur beatam Mariam circa medium imp. Octavii regnum qui alio nomine Augustus appellabatur. Et certe honori ipsis erat quod ejusmodi filiæ parentes audirent. Cum enim talem feminam, quæ vitam adeo honestavit, cujus virtutes mentem et sermonem exsuperant, in lucem, ut generis honos, edi par erat, æquum sane erat eam talibus potissimum parentibus nasci, qui itidem soli talis filiæ parentes esse merebantur. Postquam deinde a lacte et mammis amota esset et jam propriis stare et ambulare pedibus cœpisset, non ad opera feminina, secundum Salomonem, non ad lanam tractandam aut ad textilia serica; non ad vestimenta auro distinguenda admovebatur, imo magistrorum scholis concredita est. Sicut vero fax in ignem, et equus in campum, ut est in proverbio, sic brevi tempore beata nostra docebatur quæ divus Moyses scripsit, quod in Scripturis obscuris legitur, quod prophetæ et psalmi referunt. Psalmis tamen maxime incumbebat iisque die noctuque vacabat, ut et locis propheticis operam dabat quæ de Christo et de Messia ibidem clarissime proferuntur.

IV. Postquam parentes e vita decessissent, filia cum otiari atque genio indulgere posset, litterarum studia non descruit. Non enim luxuriei animum applicuit nec voluptatibus se dedidit, vitæque mollitiei se dedicavit, idque eum ætas, natura et cupiditates invitarent. Nihil enim antiquius habebat quam jejunium, preces, corporis mortificationem, cum rebus cœlestibus conversationem, legis meditationem, Scripturarum lectionem. Libenti eadem animo et cum profusione egenis et majori hilaritate dabat quam qua illi accipiebant. Sic aliorum vitæ prospiciebat, et quibus deerant quæ ad vitam necessaria sunt, divitiis suis cum animæ generositate succurrebat. Sed rue propriis

manibus pepercit, siquidem hominum morbo laborantium carnem vulneribus infectam aqua abluere-
ret, et quacunque ratione posset, infirmitati eorum mederetur. Charitatem enim non verbis sed factis ostendere satagebat. Morum porro sanctitate erat tanta et virginitatem adeo in honore habebat, ut a festivitatibus abstineret et splendidis concionibus interesse nollet. Consobrinis quoque sæpius adesse et cum viris conversari plane abhorrebat ut rem abominandam. Virginalem namque vitam secuta a sensuum voluptatibus per contrectationem abstinebat, satis habens si re aliqua desiderata e longinquo et spiritualiter per intuitionem frui posset. Quod enim per corpus exercere turpe putabat, id evitando ad res intellectuales referebat, et mentis auxilio, sine oculorum lascivia affectare satius habuit, ita ut eæ qui nostro quidem tempore virginitatem exercere præsumunt, ab illa plurima condiscere possint. Risum eadem immoderatum fugiens, a verborum prolixitate sibi temperabat quam maxime, et placida semper conversatione cum Deo fruebatur, cum mentis puritate et continua Scripturarum lectione, et ante omnia omnibus virginitatis castæ exemplar facta.

A τοῦ βέοντος πλούτου ψυχῆς γενναιότητι ἀποθησαυρίζειν. Ἀλλ' οὐδὲ χερσὶν οἰκείαις ἀπηγόρευτο τῇ μακαρίᾳ, μὴ καὶ διεφθορόσι καὶ διερρυηκόσιν ἀνθρώποις τὰς σάρκας, τὰς πληγὰς ὕδατι ἀπονίζειν, καὶ καταπλάσσειν ἀκεσωδύνοις φαρμάκοις, καὶ πανταχῇ δὴ τρόπῳ τῇ αὐτῶν βοηθεῖν ἀσθενείᾳ· ἦν γὰρ αὐτῇ καὶ πρὸ τῆς χάριτος τὰ τῆς χάριτος σπουδαζόμενα. Ἁγνείᾳ μέντοι βίου τοσαύτῃ ἐκέχρητο, καὶ οὕτω διὰ σπουδῆς ἦν αὐτῇ τὸ τῆς παρθενίας καλὸν, ὡς ἀποσχέσθαι μὲν ἑορτῶν, ἀπείπασθαι δὲ πανηγύρεις, καὶ τοῦ θαμὰ παραβάλλειν πρυτάνεσι, καὶ ἀνδράσιν αὐτοῖς ἐς ὄψιν τὸ παράπαν ἀνομίλητα εἶναι· τῶν ἀτόπων καὶ γὰρ ἔκρινε, παρθένον ὑπάρχειν ἐνομένη, καὶ τῆς κατὰ τὴν πρᾶξιν ἀφῆς ἀφιστῶσα διὰ τῶν αἰσθήσεων, οἷόν τισιν ἀσωμάτοις ἅψαι, B τοῦ ποθουμένου δράττεσθαι πόρρωθεν, καὶ ὃ δρᾷν αἰσχρὸν διὰ σώματος, τοῦτο ταῖς διανοίαις καὶ τῇ τοῦ νοῦ ἐμπαθεῖ συναφείᾳ ἐργάζεσθαι, ταῖς τε τῶν ὀμμάτων ἐπιβολαῖς περιπτύσσεσθαι, δι' ὧν ἀπεμάξατο τύπων· ὃ πολλοῦ δέουσι περὶ αὐτῶν εἰδέναι, αἳ νῦν ὅσαι τὴν παρθενίαν προείλοντο. Διά τοι ταῦτα καὶ γέλωτος ἀμετρίαν συνέστελλε, καὶ παῤῥησίας ἀφῃρεῖτο τὸ πλεῖστον, καὶ ἡσυχίᾳ ἐντρυφῶσα συνῆν ἀεὶ τῷ Θεῷ, νοὸς καθαρότητι συγγινομένη, καὶ τῇ συνεχεῖ τῶν Γραφῶν ἀναγνώσει, καὶ τοῖς ἄλλοις, καὶ πρό γε πάντων τῇ καὶ μέχρις αὐτῆς παρορά-

V. Sic igitur cum beata femina vitam Deo consecratam et sublimem ageret, pater invidiæ quiescere minime potuit, qui pro malignitate sua justis semper insidiatur et calcem in via retorquet, ut dicit Scriptura sacra. Ita igitur beatæ nostræ pessimos dæmones associando, omnibus machinis domum castitatis oppugnat, et latronum more turrim fortiter conquatit virginitatis; qua sicut arce expugnata tota potitur urbe; qua devastata et sub ditionem suam redacta quæcunque illa divina ac sancta possidebat, abstulit, et eripuit omnem virtutem quam multifaria exercitatione a longo tempore conquisierat. Et postquam multis antea virtutibus resplendentem nudam fecisset, exit inde, septem eam dæmonibus custodiendam reliquens; Deus namque permisit, ut equidem arbitror, magnarum rerum germina inde producturus. Turpe enim et miserum auctor malitiæ credebat ab una se femina superari, qui majoribus superatis Cainum fratricidam constituisset, omne hominum genus diluvio perdidisset, Sodoma igne delevisset, idolorum denique cultui et cæteris cupiditatibus pravis totum humanum genus tradidisset. Si porro mysticis verbis quæ de septem dæmonum invasione ab antiquis ad nos usque pervenerunt, fides habenda est, quod nempe metus invasit Satanam ex quo prophetam audierat dicentem: « Ecce virgo in utero gestabit[1], » et quod beatæ Magdalenæ virginitatem abripit metuens ne in ea potissimum incarnationis ellicereturmysterium. Jam antea enim malignus propter

Ε'. Οὕτω δὲ τῆς μακαρίας βιούσης, καὶ βίον ἐνθεόν τε καὶ ὑψηλὸν ἐπιδεικνυμένης, οὐκ ἦν ἠρεμεῖν τὸν τοῦ φθόνου πατέρα· ἀλλ' ἀρχέκακος ὢν, καὶ ἀεὶ τοῖς καλοῖς ἐφεδρεύων, καὶ τηρῶν πτέρναν ἐπὶ δόλῳ, ᾗ φησιν ἡ Γραφὴ, ἐπιτίθεται καὶ ταύτῃ μετὰ σφόδρων τῶν πνευμάτων, καὶ ἐλεπόλεσιν ὅλαις τὸν οἶκον τῆς ἁγνείας τοιχομαχεῖ, καὶ λῃστρικαῖς ἐφόδοις εἰς τοὐμφανὲς τὸν πύργον κατασείει τῆς παρθενίας· καὶ διά τούτων ὡς ἀπό τινος ἀκροπόλεως περιγενόμενος, ἁπάσης κατατρέχει τῆς πόλεως, ταύτην τε πορθήσας, καὶ ὅλην ἑαυτοῦ ποιησάμενος, ἁφαιρεῖται μὲν αὐτῆς εἴ τι θεῖον καὶ ὑψηλόν· λεηλατεῖ δ' ἑβδόμην, ὅσον περιῆν αὐτῇ τῆς ἀρετῆς γενναῖον, ἀκμήν τε καὶ τριβῇ μακρᾷ χρόνου κτηθὲν, καὶ γυμνὴν τὴν πρὶν νομίσασαν πολλοῖς προτερήμασιν ἐργασάμενος ἐξεῖσιν, ἐπὶ δαιμονίοις τὴν αὐτῆς φυλακὴν ἅπασαν ἀναθέμενος, τοῦ Θεοῦ παραχωροῦντος, οἶμαι, ἢ καὶ πόῤῥωθεν προκατασκευαζομένου τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις. Δεινὸν γὰρ εἶναι καὶ σχέτλιον ὁ τῆς κακίας εὑρέτης ὑπελάμβανεν προπατόρων μὲν περιγενόμενον, ἀδελφοκτόνον δὲ Κάϊν ἀποφήναντα, γένος δὲ ἅπαν ἀνθρώπων κατακλυσμῷ παραδεδωκότα, Σοδόμοις πῦρ ὑετίσαντα, εἰδωλολατρείᾳ δὲ καὶ τοῖς λοιποῖς πάθεσι τὸ ἐξῆς τῶν ἀνθρώπων γένος καταστρεψάμενον, μιᾷ γυναικὶ ἥττων ὀφθῆναι. Εἰ δὲ δεῖ καὶ μυστικωτέροις πείθεσθαι λόγοις, ἐξ ἀρχαίων καὶ ἐς ἡμᾶς ἥκουσι περὶ τῆς εἰς τὴν μακαρίαν τῶν ἑπτὰ δαιμονίων ἐπιδρομῆς, ὅτι περ φόβος ὑπεισῆλθε τὸν Σατανᾶν, ἀφ' οὗπερ ἀκούσειε τοῦ προφήτου εἰπόντος, « Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται· » καὶ διὰ τοῦτο ἐπεισπίπτει καὶ ταύτῃ, καὶ

[1] Isa. VII, 14.

τὴν παρθενίαν ἀποσυλᾷ, δεδιὼς μή πως δι' αὐτῆς τὸ τῆς οἰκονομίας πραχθεῖη μυστήριον· καθὰ δὴ καὶ πρὸ ταύτης ὁ μάταιος ᾤετο διὰ τῆς μνηστείας τοῦ Ἰωσὴφ, τὴν ὁμώνυμον ταύτῃ καὶ μακαρίαν ὄντως παρθένον καὶ ἄφθορον εἴσω τῶν ἀρκύων ποιήσασθαι. Ἀλλ' εἰς μάτην σοι τὰ ἔνεδρα, πονηρέ. Ὁ γάρ τοι τοῦ Θεοῦ Λόγος, ὁ τῷ Πατρὶ συναΐδιος, ὁ ἀνάρχός τε καὶ ἀπερίληπτος, καί σε σοφὸν ὄντα τῷ κακουργεῖν ὁράσσεταί σου τῆς πανουργίας. Σπλάγχνοις γὰρ οἰκείοις παθὼν τὸ ἑαυτοῦ πλάσμα ἐς τοσοῦτον εἶναί σοι λελυμασμένον μὴ ἀνασχόμενος, εὐδοκοῦντος μὲν τοῦ ἀνάρχου Πατρὸς, συνεργοῦντος δὲ τοῦ συμφυοῦς καὶ ὁμοτίμου αὐτῷ Πνεύματος, λαθών σε τὸν τοῦ σκότους ἄρχοντα, τὸν ἀπάτῃ ἡμᾶς δελεάσαντα, ἀμεταβάτως μὴ ἐκστὰς οὗ ἦν, ἠρέμα κάτεισι κλίνας τοὺς οὐρανοὺς, καὶ μήτρᾳ τῆς ἁγνῆς καὶ ἀμιάντου παρθένου κατασκηνοῖ.

A sponsalia Josephi virginem castam et nostræ beatæ feminæ cognominem in laqueos suos introducere studuerat. Sed in vanum insidiæ tuæ, maligne, abierunt. Dei namque Verbum, Patri coæternum, sine principio, incomprehensibile, te astutum per tuam ipsius malitiam prehendit. Cum enim viscera ejus commoverentur, quod homo quem creaverat adeo a te contaminatus esset, consentiente Patre principii experte, et Spiritu congenito et æquiparando cooperante, clam te tenebrarum principe, qui nos semper decepisti, levi motu cœlo delapsus in utero castæ et immaculatæ virginis domicilium statuit suum.

Ϛ'. Γεννᾶται τοίνυν· καὶ τί μοι λέγειν καιρὸς, ὅσα περὶ τὴν γέννησιν ἔδραμον, ἵνα σου τὴν σκηνὴν διαλύσῃ, τὴν Βηθλεὲμ, τὴν φάτνην, τὰ σπάργανα, τὰ πρὸ τοῦ βαπτίσματος, τὰ μετὰ τὸ βάπτισμα, τἄλλα, δι' ὧν τὸ τῆς ἐμῆς σωτηρίας κατειργάσθη μυστήριον; Ἀλλ' ἐπανακτέον τὸν λόγον, καὶ καθ' εἰρμὸν βαίνειν παρασκευαστέον. Τῷ Θεῷ καὶ Λόγῳ τὰς κατὰ γῆν ποιουμένῳ διατριβὰς, καὶ τὰ καθ' ἡμᾶς λόγοις ἀῤῥήτοις οἰκονομοῦντι, καὶ κατὰ καιρὸν πάντα πράττοντι, ὅτε παραδεικνύειν τὰ τῆς θεότητος διὰ τῶν ὑπὲρ φύσιν σημείων δεῖν ἔγνωστο, τότε δὴ, τότε καὶ ἡ θαυμασία αὕτη Μαγδαληνὴ, ἑπτὰ δαιμονίοις, ὡς εἴρηται, ἐχομένη, ἑς τε ὄψιν αὐτῷ ἔρχεται, λόγων τε θείων ἐν μεθέξει γίνεται, καὶ τοῦ πάθους παραυτίκ' ἀπαλλάττεται. Οὔκουν αὐτῆς τῇ Ἱερουσαλὴμ ἐπιδημησάσης, τοῦ Σωτῆρος δ' ἐν τοῖς τῆς Συρίας μέρεσιν εἰσβαλόντος μετὰ τῶν μαθητῶν, διαγγελλόντων πᾶσι τῆς βασιλείας τὸ εὐαγγέλιον. Μετὰ γὰρ τὸ διασπεῖραι τὸν λόγον εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, καὶ τὴν Φιλίππου Καισάρειαν διελθεῖν, καὶ τῆς λίμνης πέραν γενέσθαι Γενεσαρέτ· ὅτ' ἐπῆλθεν αὐτῷ ἐξ ἑπτὰ ἄρτων τετρακισχιλίους ἐκθρέψαι, ὥ, φησι τὸ ἱερὸν Εὐαγγέλιον, μετὰ τὸ φάναι· οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες τετρακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων, καὶ ἀπολύσας, φησὶ, τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλᾶ· ὅπερ ἕτερος εἰς τὰ μέρη λέγει Δαλμανουθά· ὃ δὴ τῇ Ἑλλήνων διαλέκτῳ μεγαλυσμὸς ἑρμηνεύεται. Πολλῶν τ' οὖν θαυμάτων ἐπιῤῥεόντων· « Προσῆλθον γὰρ, φησὶν, αὐτῷ ὄχλοι πολλοὶ, ἔχοντες μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κυλλοὺς, καὶ ἐθεράπευσεν αὐτούς. » Κατήκοοι τῶν θαυμάτων καὶ οἱ τῷ γένει ταύτης προσήκοντες γίνονται· ἄγουσι τοίνυν παρ' αὐτὸν αὐτὴν ἔνθεν κἀκεῖθεν περιτρεπομένην, τοὺς ὀδόντας τε τετριγυῖαν, καὶ ἀφρὸν τοῦ στόματος παραπτύουσαν. Ἐπεὶ δὲ καὶ πλησίον τοῦ Ἰησοῦ γένοιντο, ἱκέτευον, ἐλιπάρουν, τὸν πρότερον βίον ταύτης κατέλεγον, καὶ ἀπαλλάξαι τοῦ πάθους ἐδέοντο, Οἰκτειρον, Δέσποτα, λέγοντες, γύναιον ἀνδρὸς μὲν ἔρημον, ὀρφανὶξ δὲ οὐ ζῶσαν ἐκ πολλοῦ παῖδα, καὶ ἐς τὸ παντελὲς ἀποίεσθαι μικροῦ δέουσαν, ἅτε δὴ τῶν πραττομένων ἥκιστα ἐπαισθανομένην.

B VI. Porro in lucem editur. Sed longum est dicere quæ tempore nativitatis evenerunt ut tabernaculum tuum solveret; porro Bethleem præsepe, fascias, quæ ante, quæ post baptismum acciderunt, cæteraque quibus salutis nostræ mysterium confectum est. Sed sermo rite institutus ex ordine procedere debebit. Cum Deus Verbum, in terris degens, res nostras ratione ineffabili administraret, omniaque pro tempore regeret et divinitatis specimen per miracula supranaturalia edere deberet, tum beata quoque Magdalena, quæ septem, ut dictum est, dæmonibus tenebatur, Dominum obvium habuit, et postquam verborum divinorum compos facta esset, a passionibus illico liberata est. Cum deinde Hierosolymis moraretur, Salvator noster C cum discipulis Syriam intravit, qui omnibus Evangelium regni cœlorum annuntiabant. Qui postquam verbum salutis in Tyri et Sidonis regionibus promulgassent, Genesareth lacum trajecerunt. Ibi Dominus septem panibus quatuor millia hominum servavit, ut sacrum quidem dicit Evangelium, post verba: Qui autem manducaverunt, erant quatuor millia virorum sine feminis et liberis. Et postquam dimisisset multitudinem, conscendit navem et venit in confinia Magdalæ, pro quo alius quidam dicit Dalmanutha, quod Græcorum lingua magnitudo dicitur. Inter multa porro miracula: « Accesserunt enim, dicit Evangelium, ad eum turbæ ducentes secum claudos, cæcos, mutilos, et D sanavit eos[3]; » quorum miraculorum plurimos testes habuit. Adducunt ei quoque beatam Magdalenam, undique contortam, dentibus stridentem, spumamque ex ore emittentem. Ubi autem ad Jesum appropinquarunt, supplicabantur misere, pristinam mulieris vitam memorantes et ut eam a malo liberaret ab eo petentes: Miserere, Domine, dicentes, mulieris innuptæ et parentibus orbæ, quæ prope exitium est suum, nec jam scit quæ facit.

Ζ'. Τί οὖν ὁ συμπαθὴς καὶ φιλάγαθος; Καὶ δάκτυλον

VII. Quid igitur Dominus misericors et benevo-

[3] Matth. xv, 30.

lus? Verbo citius feminam a dæmonibus liberat, hosque in montes relegat. Ipsa vero ubi mentis compos facta cognovit se salvam evasisse, nulla mora interposita, mundo valedixit et Magistri et Salvatoris vestigia pressit, nulla sexus, nulla rerum exterarum ratione habita. Videns namque claudos cervorum ritu salientes, cæcos autem caligine oculorum deposita, cernentes et solem dulcissimum novis, ut ita dicam, oculis læte intuentes, legionem dein dæmonum increpitam et fumi instar subito expulsam : videns, inquam, manus aridæ nodos solutos et sicut aranea textile ruptos, ex his omnibus et ex Scripturis cognovit ipsum esse qui ad deliberationem Israel exspectaretur. Bene enim intellexerat, aliis quoque similia facere datum esse, nec tamen cum eadem auctoritate ac virtute, quippe qui hæc omnia serviliter et post preces factas tantum exsequantur, dum Christus, Tibi dico, aut, Volo, mundare, dicendo, maxima miracula verbo citius operaretur et potestatem ac virtutem majorem quam illi ostenderet. Modo enim per mare expedite et siccis pedibus ambulat, modo dæmonibus jussa dat pro sua auctoritate, modo mortuos resuscitat ita ut mortem tanquam somnum deponant, et sic innumera, divina potestate juvante, prout libitum erat, peragebat.

VIII. His igitur auspiciis ubi ipsum vere Dei Filium esse cognovisset, nunquam eum deseruit, sed ububi ei servitia essent reddenda, aderat sermones ac præcepta ejus auscultans, correctiones læto animo admittens et jussa verbo citius exsequens. Interjecto deinde tempore Christi matrem ejusque totam familiam cognovit et arctissimis amicitiæ vinculis cum iis conjungitur; sed non cum his tantum, sed cum Christi discipulis et asseclis familiaritatem inibat, sicut et cum domi Simonis Pharisæi et cum familia Lazari, cujus cum sororibus inire amicitiam promptum et opportunum ipsi erat, siquidem Christi ipsius amicæ essent, ut divus Joannes dicit : « Amabat autem Jesus Lazarum et Martham et Mariam, sorores ipsius [4], » quorum vicum ac domum habitabat ut suam, siquidem domum ad caput reclinandum non habebat, dum vulpes et volatilia cavcis ac nidis teguntur. Hoc rei fidem astruere multis testimoniis licet, tum præsertim ex hocce : « Cum Jesus in vicum quemdam (Bethaniam puta; hæc enim Lazari ac sororum ejus civitas) venisset, femina quædam nomine Martha hospitio eum excepit; erat autem ei soror nomine Maria [5], » etc. Postquam enim Christus dixisset : « Maria optimam partem elegit, quæ non tolletur ab ea [6], » addit : « Mulier autem alta voce dixit ei : Beatus venter qui te portavit, et ubera quæ suxisti. » Hanc feminam

ἡ λόγος τῶν δαιμονίων ταύτην λυτροῦται· κἀκείνους μὲν τοῖς ὄρεσιν ἐνδιαιτᾶσθαι δίδωτιν· αὐτὴ δ' ἐν τῷ καθεστάναι τοῦ φρονήματος γίγνυται, καὶ οἷ καλοῦ γένοιτο διαγνοῦσα, οὐ μέλλειν ἔκρινε δεῖν, ἀλλὰ πᾶσι χαίρειν εἰποῦσα, εἴ ποθεν εἶχε κατ' ἴχνια βαίνειν ἡγεῖτο τοῖς τοῦ Διδασκάλου καὶ Σωτῆρος ποσί, μικρὰ ἢ οὐδὲν τοῦ γένους καὶ τῆς κάτω περιφορᾶς φροντίσασα. Ἐντεῦθεν ὁρᾷς χωλοὺς μὲν ὡσεὶ ἔλαφον ἁλλομένους, τυφλοὺς δὲ τὸν χρόνιον σκότον ἀποθεμένους, καὶ τῷ γλυκυτάτῳ ἡδέως πῶς ἂν εἴποις ἡλίῳ παραδόξοις ὄμμασιν ἀτενίζοντας, λεπρῶνά τε πνευμάτων ἐπιτιμῶμενον, καὶ ὡσεὶ καπνὸν ἐξαίφνης διαλυόμενον, ξηρᾶς χειρὸς τὰ δεσμὰ ἀνιέμενα, καὶ ὡς ἐστὸν ἀράχνης διαλυόμενα, συνῆγεν ἐκ τούτων, καὶ τῶν Γραφῶν, αὐτὸν εἶναι τὸν ἐπ' ἐλευθερίᾳ τοῦ Ἰσραὴλ προσδοκώμενον· ὡς γὰρ συνέσεως ἀντεποιουμένη καλῶς διεγίνωσκεν, ὡς ἐπῆλθε μὲν καὶ ἄλλοις τὰ ἴσα ἐργάσασθαι, πλὴν οὐ μετ' αὐθεντίας τοσαύτης καὶ περιουσίᾳ δυνάμεως, ἀλλὰ δουλικῶς ἐκεῖνοι καὶ μετ' εὐχῆς τὰ πάντα διέπραττον· τῷ δὲ τὸ, Σοὶ λέγω, καὶ τὸ, Θέλω, καθαρίσθητι, κατὰ πολλὴν αὐθεντίαν προβαλλόμενα, καὶ θᾶττον ἦλθε λόγος εἰς ἔργα προβαίνοντα μείζονά τε ἐδείκνυ, καὶ οὐ τῆς αὐτῆς ἐκείνοις ἐξουσίας καὶ κυριότητος. Νῦν μὲν γὰρ πεζεύει κατὰ θαλάσσης εὐσταλῶς καὶ κούφως καὶ ἄβροχος, ἐπιτιμᾷ πνεύμασι περουσίᾳ δυνάμεως, ἀνίστησι νεκρούς, τὸν θάνατον ὡς ὕπνον ἀποθεμένους, καὶ τἆλλα ὅσα θείᾳ δυναστείᾳ προσῆκε κατὰ πολλὴν ἐξουσίαν ἐργάζεται.

Η'. Οὕτως οὖν ἐκ τούτων χειραγωγηθεῖσα, καὶ αὐτὸν εἶναι τὸν τοῦ Θεοῦ Υἱὸν ἀληθῶς ἐπιγνοῦσα οὐ μεθίει τοῦτον, ἀλλὰ πᾶσι μὲν τοῖς αὐτοῦ διακονοῦσα παρῆν, ὁμιλιῶν, διδασκαλίας ἀκροωμένη, ἐπιτιμωμένη, χαίρουσα, στελλομένη, θᾶττον ἢ λόγος τὸ ἔργον ἀνύουσα. Ἐντεῦθεν καὶ γνώριμον ἑαυτὴν τῇ τοῦ Χριστοῦ μητρὶ καθιστᾷ, καὶ τοῖς αὐτῇ κατὰ γένος προσήκουσι, καὶ ἐς φιλίαν συνδεῖται τὰ μάλιστα· οὐκ αὐτοῖς δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἑπομένοις Χριστῷ, καὶ οἷς παραβάλλειν ὡς σύνηθες εἰθίστο, τῇ τε οἰκίᾳ τοῦ Φαρισαίου Σίμωνος, καὶ ᾗ τὸν Λάζαρον ἔσχεν οἰκήτορα· εἰκὸς δὲ καὶ τούτων καὶ ταῖς ἀδελφαῖς αὐτοῦ ἐς φιλίαν χρῆσθαι, ἀγαπωμένοις Χριστῷ, ὡς φησιν ὁ θεσπέσιος Ἰωάννης· « Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν Μαρίαν τὰς ἀδελφὰς αὐτοῦ, καὶ τὸν Λάζαρον. » Ὧν δὴ τῇ τε κώμῃ καὶ τῷ οἴκῳ ἐπεχωρίαζε, καὶ τοῖς αὐτῶν εἰσφοίτιζετο, ἅτε δὴ μὴ οἰκίαν μηδὲ ποῦ κατασκηνώσαι ἔχων, τῶν ἀλωπέκων φωλεοὺς ἐχόντων, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ κατασκηνώσεις. Καὶ τοῦτο ἐκ πολλῶν μὲν καὶ ἄλλων τεκμηριώσασθαι ἔξεστι, ἐκεῖθεν δὲ τοῦτο μάλιστα γίνεται γνώριμον· « Εἰσελθόντι γάρ, φησί, τῷ Ἰησοῦ εἰς κώμην τινὰ (τὴν Βηθανίαν δὲ οἰητέον αὐτὴν, αὕτη γὰρ Λαζάρου καὶ τῶν ἀδελφῶν ἡ πατρὶς), γυνή τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς, καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, » καὶ τὰ ἑξῆς. Μετὰ γὰρ τὸ φάναι τὸν Χριστόν· « Μαρία δὲ τὴν ἀγαθὴν με-

[4] Joan. xi, 5. [5] Luc. x, 38. [6] Ibid. 42.

ρίδα ἐξελέξατο, ἥ τις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς, ἐπάγει· « Ἐπάρασα δέ τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας. » Ταύτην δ' ἀναμφιβόλως βίβλοι ἡμῖν ἱεραὶ τὴν μακαρίαν εἶναι Μαγδαληνὴν ἐκδεδώκασιν, ὡς ἐκεῖθεν εὔδηλον γίνεσθαι. Τοῦ γὰρ θαυμασίου Λουκᾶ τὰ κατὰ τὴν Μάρθαν καὶ Μαρίαν διεξελθόντος, εἶτα καὶ τὰ περὶ τῆς ἐπάρσεως τῆς φωνῆς τῆς γυναικὸς, μετέπειτα δὲ καὶ περὶ τοῦ τὸ κωφὸν δαιμόνιον ἔχοντος διαγγέλλοντος, τῶν τε Φαρισαίων ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια διαβαλλόντων Χριστὸν, αὐτὸς τὴν αὐτῶν ἀνατρέπων δόξαν, φησί. « Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημωθήσεται· » καὶ μετὰ ταῦτα· « Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; » Καὶ μετ' ὀλίγα· « Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθοι, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον λέγει· Ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται καὶ λαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα αὐτοῦ, καὶ ἐλθὸν κατοικεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου χείρονα τῶν πρώτων. » Ἐπάγει μέν τοι τῷ συνεχεῖ τοῦ λόγου· « Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ, οὓς ἐθήλασας. » Ὡς συνάγεσθαι μὴ ἄλλην, ἢ τὴν Μαγδαληνὴν εἶναι ταύτην, ἀκούσασαν περὶ τῶν ἑπτὰ δαιμονίων, καὶ εἰς μνείαν ἐλθοῦσαν τοῦ πάθους, ὧν αὐτὴν ἀπήλλαξε Χριστὸς ἐν Μαγδάλοις γενόμενος, ὡς τὸ ἱερὸν διέξεισιν Εὐαγγέλιον.

A beatam Magdalenam fuisse paginæ sacræ clarissime ostendunt. Ubi autem divus Lucas Marthæ et Mariæ historiam peregit et de mulieris voce sublata ac de eo qui dæmonem mutum habebat, deque Pharisæis qui Christum nomine Beelzebub dæmones ejicere calumniabantur locutus est, ipse falsam illorum opinionem reprimens dicit : « Omne regnum in se ipsum divisum desolabitur ; » et post hæc : « Si autem ego in Beelzebub ejicio dæmonia, filii vestri in quo ejiciunt? » Et post pauca : « Cum immundus spiritus exierit de homine, ambulat per loca inaquosa, quærens requiem, et non inveniens dicit : Revertar in domum meam unde exivi. Et cum venerit, invenit eam scopis mundatam et ornatam. Tunc vadit et assumit septem alios spiritus secum, B nequiores se, et ingressi habitant ibi. Et fiunt novissima hominis illius pejora prioribus. » Post hæc addit : « Factum est autem, cum hæc diceret, extollens vocem quædam mulier de turba dixit illi : Beatus venter qui te portavit, et ubera, quæ suxisti [7]. » Hanc autem mulierem non aliam nisi Magdalenam fuisse patet, quæ, septem dæmonibus obsessa, miseræ conditionis meminit, a qua Christus, cum in Magdalæ vico esset, eam liberaverat, ut sacrum refert Evangelium.

Θ'. Ἐπεὶ δὲ ἔδει καὶ τὸ διὰ σταυροῦ ὑπὲρ ἡμῶν τελεσθῆναι μυστήριον, ἔδει δ' οὐκ ἄλλως, ἢ διὰ τοῦ κατὰ τὸν Λάζαρον θαύματος· ἐντεῦθεν γὰρ ὑπῆρξε καὶ τῷ ᾅδῃ γνῶναι, ὅσον οὔπω τὴν ἑαυτοῦ δυναστείαν εἰς οὐδὲν ὠφελήσουσαν, καὶ τῷ τῶν Ἑβραίων λαῷ εἰς φθόνον διαναστῆναι, καὶ τὰ παντὸς ἐπέκεινα λόγου ἐργάσασθαι· παρῆν καὶ ἡ θαυμασία Μαγδαληνὴ, τὸ μὲν ἑπομένη Χριστῷ, τὸ δὲ καὶ ταῖς ἀδελφαῖς Λαζάρου ὅσα γε νόμος εἰς παραμυθίαν διατελέσουσα. Ὡς δὲ καὶ τὸ, Ποῦ τεθείκατε αὐτὸν, ἠκηκόει, καὶ ὡς ἐπιστάντα τῇ τοῦ φίλου σορῷ δακρύοντα εἶδε, καὶ διᾶραι τὸν λίθον κελεύοντα, ἐξεπλήττετο, καὶ τί ἂν αὐτῷ βουλομένῳ εἴη τὸ ποιητέον μαθεῖν ἐβούλετο. Ὡς δὲ καὶ τὸ, Λάζαρε δεῦρο ἔξω, διάτορον ἠνωτίσατο, καὶ τὸν τεταρταῖον θᾶττον ἢ λόγος ὡς ὕπνον τὸν θάνατον ἀποτιναξάμενον, ἴσα καὶ ἀνδριάντι τῷ παραδόξῳ τοῦ θαύματος, ἄφωνος εἱστήκει ἐφ' ἱκανοῦ· μόλις δ' εἰς ἑαυτὴν ἐλθοῦσα, καὶ καθ' ἑαυτὴν συμβάλλουσα τὸ πραχθὲν, τὰ τοῦ Θεοῦ μεγαλεῖα καθὰ καὶ πρῶτα διετέλει θαυμάζουσα.

C IX. Per crucem pro nobis mysterium efficiendum cum esset, miraculo circa Lazarum perpetrato opus erat. Hinc enim inferi ipsi intelligere debebant quod sine potestate essent et quod miraculum a divina tantum manu confici posset. Aderat autem beata Magdalena utpote Christum secuta, et ut Lazari sorores, ut moris erat, consolaretur. Postquam autem illud : Ubi posuistis eum? audivisset, et Christum ad sepulcrum amici defuncti lacrymas fundentem vidisset, et lapidem amoveri jubentem audivisset, obstupuit, et quid sibi pro tempore faciendum esset quæsivit. Ubi vero post illud : Lazare, exi foras, mortuum quatriduanum mortem sicut somnum excutientem vidit, rei miraculo attonita ut statua sine voce per aliquod tempus astitit ; postquam autem ad se rediisset, perpensis secum quæ facta essent, Dei magnalia alta voce protulit.

Ι'. Ἀμέλει καὶ τῷ φθόνῳ ἐντεῦθεν οὐκ ἦν ἀνεκτά· ἀλλ' εἰς μετάρσιον ἐξαφθεὶς, Γραμματεῖς καὶ Φαρισαίους εἰς ταυτὸν ἄγει, καὶ συνέδριον καθίζει κατὰ Χριστοῦ, καὶ τὸ τοῦ θανάτου συμβούλιον ῥάπτεται· ἔπεισι τῷ συνεδρίῳ τούτῳ τῇ καθέδρᾳ τῶν λοιμῶν εἶπεν ἂν προσφόρως ὁ θεῖος Δαβὶδ, καὶ μαθητὴς τῷ καλῷ διδασκάλῳ τούτῳ μαθητευθεὶς, φιλαργυρίᾳ δ' ἐκ προαιρέσεως συνὼν τὰ πολλὰ, καὶ

X. Invidia hoc ægre tulit, imo pro acrimonia sua scribas ac Pharisæos in unum coegit et synedrium contra Christum convocat, ubi de morte ei inferenda sermo habebatur. Interfuit huic concilio, pestis cathedræ, ut apposite dixerit divus David, discipulus ab excellenti magistro institutus, sed qui avaritia instigatrice omnia pecuniæ posthabuit, et non alium discipulatus fructum quam

[7] Luc. xi, 17-27.

triginta siclos reportavit, quanti magistrum turpi lucro ductus vendidit. Venit nox, et cum ea lampades accensæ, fustes, gladii et enses stricti et discipulus diris vovendus qui sub amicitiæ specie divinum tradidit magistrum, et archisacerdotis cohors divinum sacerdotem in vinculis tenebat. Quantum tum temporis beatam illam passam esse putas, quæ circa compita currens clam ac propalam prætorium adeuntium et inde exeuntium multitudinem oculis perscrutata ab omnium ore pendebat facta in utramque partem mente versabat et visa atque audita matri referebat, cum qua dolorem intimum communicabat. Hoc igitur mentis statu magis magisque anxia de rerum quas ob oculos habebat exitu erat. In quo videre licet quanto dolore correpta fuerit videns quo iniquo plane modo Christus tractabatur a falsis testibus accusatus, ludibrio habitus, flagellatus, verberatus, colaphizatus, purpura per risum indutus, corona spinea redimitus, ut taceam ea quæ Verbum divinum pro patientia sua a sceleratis tortoribus perpessum est. Qui nescientes prorsus quid facerent, Agnum innocentem ad lithostrotum, necem spirantes et torva tuentes, pertraxerunt. Ibi cum cruce in altum erecta ipse clavis affixus, ut serpens ille æneus in altum tolleretur, tum illa, metu amoto, cum matre et Joanne discipulo accessit, sacros in cruce pendentis pedes attigit, vulnera basiavit, lacrymas cum sanguine miscuit, his verbis additis: Quid hoc, Domine et Deus? Quantum est clementiæ tuæ pelagus! Talibus te remunerantur quæ tot ac tanta beneficia a te acceperunt. Vestem opprobrii tibi circumponunt ii quos ipse vestimento purificationis circumdedisti; quos sicut aquila, expansis alis, humeris tuis imposuisti. Corona insultationis te coronant, quos ipse corona gloriæ et honore coronasti. Colaphos tibi impegerunt ii quos tu e servitute Ægyptiaca liberasti. Arundine caput tuum sanctum plectunt ii quibus mare virga tactum patefactum est. Sitienti tibi acetum cum bile miscent ii, quos in deserto manna satiasti, quibus e petra aquarum fontem aperuisti. Clavis ferreis pedes tuos pertundunt ii quos tu illæsos per desertum transduxisti. Sed nobis quoque feminis tanta cum tristitia astantibus verbum aliquod edicito. Verbis valedicis matrem tuam hic astantem consolare ut renascatur, et abiens e mundo socium aliquem ipsi tradito. Nam etiamsi sine dolore te peperit, nunc cum te plagis vulneratum videt, gladius animam ejus transfodit. Dic verbum discipulo et matri ut eos consoleris.

A ἀργυρίου τὰ πάντα προέμενος· ᾧ τοσοῦτον ὄνασθαι τῆς τοῦ διδασκάλου μαθητείας ἐμέλησεν, ὅσῳ καὶ τριάκοντα τοῦτον ἀργυρίων πιπράσκει ὁ τοσούτων ἀληθῶς ἄξιος. Ἐντεῦθεν νὺξ, καὶ λαμπάδες ἁπτόμεναι, τὰ ῥόπαλα ἐν χερσὶ, γυμνούμενά τε ξίφη καὶ μάχαιραι, καὶ ὁ μυσαρὸς μαθητὴς φιλίας προσχήματι τὸν καλὸν διδάσκαλον παραδίδωσιν· εἶχε μὲν οὕτω ταῦτα· καὶ ἡ τοῦ ἀρχιερέως αὐλὴ τὸν μέγαν εἶχεν ἀρχιερέα δέσμιον. Πόσον δ' ἄρ' εἰκάζεις τὴν μακαρίαν ταύτην τῷ τότε παθεῖν, ἐπομένην, παρεπομένην, πλαττομένην τὴν μὴ εἰδυῖαν, ἐν χρῷ θυρῶν γινομένην, τὰς εἰσόδους, τὰς ἐξόδους κατανοοῦσαν, στόμασί τε τοῖς ἁπάντων προσέχουσαν, τίνες μὲν οἱ τῇ κατ' αὐτοῦ ἀποφάσει συνευδοκοῦντες, τίσι δὲ μέμψεως τὸ πρᾶγμα ἐκρίνετο, καὶ ὅσα ἂν
B μάθοι, τῇ μητρὶ διαγγέλλουσαν, οὐχ ἧττον ἢ ἐκείνη τὰ σπλάγχνα σπαρασσομένην, τὴν ψυχήν τε μετέωρον ἔχουσαν, τὰ τοῦ πράγματος ὅποι ποτ' ἂν λήξειαν, ἐφιεμένην μαθεῖν; Ναὶ μὴν κἀκεῖνο συνορᾷν ἔξεστι, τίς ἦν ἐκείνη τὰ καὶ λόγῳ μόνῳ δυσχερῆ ἐπ' αὐτὸν πραττόμενα καθορῶσα, τὰς ψευδεῖς μαρτυρίας, τοὺς ἐμπαιγμοὺς, τὰς μάστιγας, τὴν φραγγέλωσιν, τὴν ἄτιμον ἐκείνην ἐν ὕβρει περιαγωγὴν, τὰ ῥαπίσματα, τὰ κολαφίσματα, τὴν τῆς ψευδοῦς πορφύρας ἀναβολὴν, τὴν τοῦ ἀκανθίνου στεφάνου περίθεσιν, τἄλλα ὅσα κατὰ πολλὴν ἐξουσίαν τῆς σῆς, ἀνεξίκακε Λόγε, μακροθυμίας τοῖς μιαιφόνοις πράττειν ἐξῆν. Ἐπεὶ δὲ ὅσαπερ ἦν τοῖς ἀγνώμοσι διαπραξαμένοις, εἶτα καὶ ἐς τὸν τοῦ Κρανίου τόπον τὸ τελευταῖον κατέλαβον, δεινὸν πνέοντες, φονῶδές τε
C καὶ ἄγριον βλέποντες, καὶ ὁ σταυρὸς ἤδη ἦρτο μετέωρος, αὐτὸς δὲ τοῖς ἥλοις ἐμπεπαρμένος ὑψοῦτο, ὡσανεὶ στηλιτεύων τὸν ὄφιν, καὶ πᾶσι καταφανὲς γινόμενος θέαμα, τότε δὴ ταύτην εἰκὸς ἀψαμένην ἀδείας, μετὰ τῆς μητρὸς καὶ τοῦ μαθητοῦ αὐτῷ προσιέναι, οὕτως ἔχοντι κατὰ σχῆμα, καὶ ποδῶν ἅψασθαι τῶν ἀχράντων ἐκείνων, στόματί τε καταφιλεῖν τὰς πληγὰς, καὶ τοῖς αἵμασι μιγνύειν τὰ δάκρυα, καὶ τοῖς δάκρυσι τοιαῦτα προστιθέναι τὰ ῥήματα· Τί τοῦτο, Δέσποτα καὶ Θεέ; τί σου τὸ τῆς εὐσπλαγχνίας ἄπειρον πέλαγος; τούτοις ἀμείβουσί σε τῆς εὐεργεσίας οἱ πολλῶν καλῶν ἀπολαύσαντες; χιτῶνα ὕβρεως περιβάλλουσιν, οὓς καταστολὴν ἀφθαρσίας ἐνέδυσας, καὶ ὡς ἀετὸς διεὶς τὰς πτέρυ-
D γας, ἐπὶ τῶν μεταφρένων τούτους ἀνέλαβες; στεφάνους σοι περιτιθέασιν ὕβρεως, οὓς αὐτὸς δόξῃ καὶ τιμῇ ἐστεφάνωσας; ῥάπισμα κατεδέξω, ὃς αὐτοὺς τῶν Αἰγυπτιακῶν ἀπήλλαξας δουλειῶν; καλάμῳ σου τὴν ἀκήρατον παίουσι κεφαλὴν, οἷς ῥάβδῳ πληγεῖσα διΐστατο θάλασσα; χολὴν σὺν ὄξει διψῶντί σοι κεραννύουσιν, οὓς ἐν ἐρήμῳ μάννα ἐπώμβρισας, καὶ ἐκ πέτρας πληγῇ ῥάβδου κρουνηδὸν ἐξέβλυσας νάματα; πόνους σοι τοὺς ἐκ τῶν ἥλων προσάγουσιν οὓς ἀπόνως τὴν ἔρημον διελθεῖν παρεσκεύασας; Ἀλλὰ φθέγξαι τι καὶ ἡμῖν οὕτως ἀθλίως παρισταμένοις· ῥήμασιν ἐξοδίοις τὴν μητέρα παρισταμένην ἀνάψυξον· μέγα λόγος ἐξόδιος ἐς τὸ μεταταῦτα μητρί. Καὶ ταῦτα παιδὸς ἑνὸς τοιούτου διὰ μνήμης ἀγόμενος· τίνι παρατίθης αὐτὴν ἀπιών· κἂν γὰρ καὶ ἀνωδύνως σε ἔτεκεν, ἀλλὰ ῥομφαίᾳ τὴν ψυχὴν οὕτως ἔχοντα νῦν ὁρῶσα τιτρώσκεται. Εἰπὲ ῥῆμα τῷ μαθητῇ, καὶ τῇ μητρὶ ἑσόμενον παραμύθιον.

XI. Cum igitur feminas sanctas sic affectas videret, non potuit non dicere illud quod matrem

ΙΑ'. Οὕτως οὖν ἐχούσας περιπαθῶς θεασάμενος, εἰκὸς ἦν ἐκεῖνο φάναι, ὃ καὶ τὴν μητέρα προμηθείας

ἠξίωσε, καὶ τῷ μαθητῇ τιμῆς ἁπάσης αἴτιον γέγονε, τό· « Γύναι, ἴδε ὁ υἱός σου, Ἰδοὺ ἡ μήτηρ σου. » Παρεῖναι μέν τοι ταύτην, ὡς εἴρηται, καὶ τοιαῦτα διεξιέναι, καὶ αὐτὸς ὁ φιλούμενος μαθητής· ἀπόχρη δὲ φάναι καὶ ἀδελφὸς, παριστᾷ λέγων· « Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἥ τε μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἐπεὶ δὲ διὰ τὴν παρασκευὴν, ὡς τὸ ἱερὸν διέξεισιν Εὐαγγέλιον, « ἵνα μὴ ἐπὶ τοῦ σταυροῦ μείνῃ τὰ σώματα, ἐρωτῶσι τὸν Πιλάτον οἱ ἀνομοῦντες ὄντως διακενῆς, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν· ἦλθον, φησὶν, οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν αὐτοῦ τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. » Τί χρὴ νομίζειν τὴν διάπυρον τότε ταύτην παθεῖν; μικροῦ ἂν καὶ τὸν στρατιώτην διέσπασεν, εἰ μὴ κατὰ γυναῖκα συστελλομένη ἀνεδύετο, καὶ τὰ γυναικῶν φρονεῖν ἠναγκάζετο· κἂν ἀνδρεῖον ἔχουσα φρόνημα, Ἔπεχε, λέγει, τὴν χεῖρα, τολμηρὲ στρατιῶτα, μή σοι ῥομφαία ἐπέλθοι θεήλατος. Πῶς ἦν εἰκὸς ἐνορῶσαν ταῦτα δριμύττεσθαι τὴν ψυχήν; ῥομφαίᾳ γὰρ τὰς καρδίας ἐτέτρωντο, ἐκείνου τὴν πλευρὰν διορυσσομένου. Πῶς δὲ καὶ τεθνηκότα εἶδον, πῶς οὐ πρότερον αὖται τὴν ψυχὴν ἀπεβάλοντο, πῶς οὐ διέῤῥηξαν τὰ ἱμάτια, πέτρας ῥηγνυμένας ὁρῶσαι, ἥλιον σκότον ὑποδυόμενον, σελήνην ἀμαυρουμένην, ὥσπερ αἰσθανομένην τοῦ κτίσαντος πάσχοντος; ἀλλ' οὐδὲ τῷ ναῷ ἦν κατὰ χώραν μένειν· καὶ οὗτος γὰρ ὡσανεὶ τὸ παράνομον εὐλαβούμενος, τόν τε νομοδότην γυμνὸν ἐπὶ ξύλου ᾠρημένον γυμνὸν, θυμοῦ δικαίου πλησθείς, τὸ καταπέτασμα διαῤῥήγνυσιν, ὡς ὁ ἀρχιερεὺς τοπρότερον τὸ χιτώνιον. Ἀλλὰ περὶ τούτων τὸ ἱερὸν διεξιέτω μοι Εὐαγγέλιον.

consolatione, discipulum honore replevit : « Mulier, ecce filius tuus, » et : « Ecce mater tua [8]. » Evangelium igitur postquam illam una cum discipulo, qui frater nuncupatur, adfuisse dixit, hæcce addit : « Stabant autem juxta crucem Jesu mater ejus et soror matris ejus Maria Cleophæ et Maria Magdalena [9]. Judæi ergo (quoniam Parasceve erat) ut non remanerent in cruce corpora, rogaverunt Pilatum ut frangerentur eorum crura et tollerentur. Venerunt ergo milites, et primi quidem fregerunt crura, et alterius qui crucifixus est cum eo. Ad Jesum autem cum venissent, ut viderunt eum jam mortuum, non fregerunt ejus crura. Sed unus militum lancea latus ejus aperuit, et continuo exivit sanguis et aqua [10]. » Quid putas ardentem feminam animo sensisse? Militem audacem sine dubio male tractavisset, nisi natura muliebris muliebria cogitare eam coegisset. Attamen virili animo, Retine manum, dixit, miles procax, ne gladius a Deo missus super te veniat. Quanto metu animam ejus illum ad aspectum agitatam fuisse putas? Certe cor feminarum Christi latus lancea perfossum videntium maximo dolore afficiebatur. Quomodo autem Christum demortuum viderunt, rebus desperatis animum abjecerunt, vestes sciderunt, saxa discissa, solem obscuratum, lunam luce privatam quasi Christo patienti compassam oculis videntes? Sed nec templum in loco suo persistere in fatis erat. Cum enim quasi sensu humano præditum facinus iniquum perhorresceret et legislatorem in cruce pendentem, idque nudum, vidisset, justa ira incensus, velum discissum habuit, sicut magnus sacerdos antea vestimentum disciderat. Sed de his sacrum Evangelium mihi adeundum.

IIB'. Τούτων γε μὴν οὕτω παρὰ δόξαν γεγενημένων, ἡ Μαγδαληνὴ οὐκέτι μέλλειν ἔκρινε δεῖν, ἀλλ' ὅλη τῆς ταφῆς γεγονυῖα τῷ ἐξ Ἀριμαθίας πρόσεισιν Ἰωσήφ· τοῦτον γὰρ ἤδει καὶ μνήματος εὐποροῦντα καινοῦ, οὐδενὸς οὔπω πρότερον σῶμα δεξάμενον· καὶ ὁ χῶρος ἔνθα ἔκειτο εὐπρεπὴς λίαν, καὶ ἀέρος ἐν κολῷ κείμενος, καὶ εἰς ὥραν κήπου διακεκοσμημένος. Τούτῳ δὴ προσιοῦσα, καὶ οἷα ἐκείνη ἔτι αὐτὸν ἀῤῥενώσασα διανίστησι, διωρυγάς τε καὶ καταδύσεις πρότερον ἀνιχνεύοντα, ἀποδειλιάσαι παρασκευάζει τὸν κίνδυνον· « Τολμήσας γὰρ, φησὶν, εἰσῆλθε πρὸς Πιλάτον, καὶ ἠτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. » Καὶ τὰ ἑξῆς τὸ θεῖον ἱστορείτω μοι Εὐαγγέλιον.

XII. Postquam hæ res contra spem accidissent, Magdalena sine mora sepulturæ negotium amplexa Josephum ex Arimathia adit. Hunc enim monumenti novi et quod corpus mortuum nunquam exceperat, possessorem cognoverat. Locus ipse hujus sepulcri jucundissimus sub aere purissimo in horto amœnissimo situs erat. Hunc igitur qui ducendis per hortum canalibus intentus erat, adiit et omnem periculi metum ex animo ejus ejecit. Accessit enim, secundum Evangelium, Josephus ad Pilatum et petiit ab eo corpus Jesu, etc., de quo videsis Evangelium.

IIΓ'. Ὡς δὲ καὶ τοῦ σταυροῦ τὸ θεῖον ἐκεῖνο σῶμα κατάγειν ἔμελλον Ἰωσὴφ καὶ Νικόδημος, ἔδει δὲ καὶ τὰ ἱκανὰ πρὸς τὴν τῶν ἥλων ἔκσπασιν ἐκεῖσε παρεῖναι, λαβίδα καὶ σφῦραν, καὶ ὅσα τοῖς περὶ αὐτὰ ἐπιτήδεια, αὕτη τὴν ψυχὴν μετέωρος οὖσα, ὡσανεὶ δειλαινομένη, μή τι καὶ συντριβείη τῶν

XIII. Cum Josephus et Nicodemus in eo essent ut corpus divinum e cruce tollerent, et forcipe ac malleo opus haberent ad extrahendos clavos, Magdalena quantum poterat, animum intendebat et summam circa id negotium curam Nicomedo suggessit, metuens videlicet ne aliquod Domini-

[8] Joan. xix, 26, 27. [9] ibid. 25. [10] ibid. 31-34.

corum ossium confringeretur; tum clavos ipsa osculata est, eorumque fragmenta oculis admovit, pedes speciosos qui pacem omnibus annuntiarunt, et manus, quarum opus mundus est totus et præcipua creatura homo, contrectavit, et totum corpus amplexa est, excepta sola facie, quam ob verecundiam matri concessit, ad quam id juris propter maternitatem spectabat. Tum gemebunda crines solvit, genas unguibus fœdavit, extensis manibus matrem elumbem et capite resupino ærumnæ ferendæ haud parem dulcibus verbis consolata est. Ob persecutorum tamen metum carmina lugubria cantare non audebant. Quidquid id est, Josephus ac Nicodemus corpus sindone involvere ac myrrha condire, et ut thesaurum in sepulcro deponere cœperunt. Magdalena enim Josepho instita exhibens, Tibi, ait, quod restat curæ erit, ut Dominum sindone involutum sepulturæ tradas; cui quidem negotio ipsa manus afferebat ut et mater ipsa, cujus dolorem ac curam participabat. Ubi vero corpus Dominicum resupinum in eo esset ut ad sepulturam efferretur, quis sanctæ feminæ dolorem et luctum enarraverit? Melius ergo puto silentio id præterire quam sermone non satis digno percurrere. Sic igitur qui omnibus vitam inspirat, in sepulcro vitam contenturo deponitur.

A Δεσποτικῶν ὀστέων, τῷ Νικοδήμῳ προσέχων ἀκριβῶς παρηγγύα, τοὺς ἥλους τε κατεφίλει, καὶ τὰ λακίσματα προσετίθει τοῖς ὄμμασι, ποδῶν τε ἐκείνων ἥπτετο τῶν ὄντως ὡραίων, καὶ εἰρήνην ἅπασιν εὐαγγελισαμένων, καὶ χειρῶν, ὧν ἔργον κόσμος ἅπας, καὶ πρὸ πάντων πλάσμα κυρίως ὁ ἄνθρωπος, περιεχεῖτό τε ὅλῳ τῷ σώματι, καὶ προσεφύετο τοῖς ποσί· τοῦ προσώπου γε μὴν καὶ πόῤῥω ἀπεῖχεν ἅψασθαι, τοῦτο μὲν εὐλαβουμένη, τὸ δὲ καὶ τῇ μητρὶ παραχωροῦσα, ἐχούσῃ ἐκ τοῦ τόκου τὸ δίκαιον· ἐξῆρχε γόων, λυσαμένη τὰς τρίχας, καὶ τὰς παρειὰς τοῖς ὄνυξι καταξαίνουσα, ἐκ μέρους δὲ καὶ τὴν μητέρα ἀνακτωμένη, ἐπέχουσα χεῖρας, καθόλου τοῦ προσώπου ὁρμώσας, τὴν κεφαλήν τε παρεγκλίνουσαν, τῇ ἀνυποίστῳ λύπῃ καταβαρυνομένην ἀνέχουσα.

B καὶ λόγοις ἠπίοις τὸ πλεῖστον ἀφαιροῦσα τῆς λύπης· ἀλλὰ τῷ φόβῳ τῶν διωκτῶν οὐκ ἦν αὐταῖς ὡς βουλομέναις ἐξῆν, τοῖς ἐξοδίοις καὶ ἐπιταφίοις χρήσασθαι μέλεσιν. Ἀμέλει καὶ τῇ μητρὶ, Τούτων οὐκ, εἰποῦσα, καιρὸς, Ἰωσὴφ καὶ Νικοδήμῳ ἐνεκελεύετο, οἳ τάχους εἶχον ἐνειλῆσαι σινδόνι τὸ σῶμα, θεοπρεπῶς τε σμυρνίσαι, καὶ ὡς θησαυρόν τινα τῷ τάφῳ ἐναποθέσθαι, τήν τε σινδόνα καὶ τὴν σμύρναν τῷ Ἰωσὴφ ἐγχειρίσασα, Σοὶ, φησὶ, τοῦ λοιποῦ μελήσει, ὅπως τοῦτον ἐνειλήσαις, καὶ τῇ ταφῇ παραδῷς, καὶ τ' ἄλλα δὴ ὅσα περὶ τὸν τάφον ἀμφεπονεῖτο· τὰ δεύτερα μετὰ τὴν μητέρα κατά τε λύπην καὶ τὴν λοιπὴν διακειμένη σπουδήν. Ἐπεὶ δὲ καὶ νεκροπρεπῶς ἀνεκέκλιτο, κατὰ νώτου τε ἔκειτο, καὶ ἤδη πρὸς τὴν ταφὴν ἐκφορεῖσθαι ἔμελλε, τίς ἂν ἱκανῶς διηγήσαιτο, ὁπόσον τῇ μακαρίᾳ ταύτῃ τὸ πένθος, καὶ τὸ τῆς λύπης δεινόν; Καὶ κρεῖττον ἔγωγε οἶμαι σιγῇ αὐτὸ παριστᾷν, ἢ διηγεῖσθαι ἐθέλειν· ποῦ γὰρ ἂν καὶ λόγος τοσούτῳ πένθει ἐξισωθείη, Εἶχε μὲν οὕτω ταῦτα, καὶ ὁ πᾶσι τὸ ζῆν ἐμπνέων, τῷ ζωηφόρῳ ἐναποτίθεται μνήματι.

XIV. Deus omnium Creator postquam incarnationis opus perfecisset, septimo die in sepulcro quievit, sic sabbatum per cessationem a creando agendo. Nunc autem sanctæ feminæ ardorem ac zelum mihi considera. Dum enim amici et vicini omnes, ut prophetæ quidem videtur, e longinquo stabant, alii autem fugam capessebant, illa, omni metu deposito, et omnia impedimenta flocci faciens, virili sumpto animo, quod innumeri alii facere non audebant, sola facere est ausa. Hæc autem memoriæ mandare sanctis evangelistis negotium datum fuit.

C ΙΔ'. Ὅ γε μὴν τῶν ὅλων Θεὸς τὸ τῆς οἰκονομίας ἔργον πεπληρωκὼς, τῇ ἑβδόμῃ τῷ τάφῳ κατέπαυσε, καὶ ἦν σαββατίζων ὄντως τὴν τελείαν τῶν ἔργων κατάπαυσιν. Ἀλλ' ἐνταῦθα τῆς μακαρίας ταύτης γυναικὸς τὸ κατεσπουδασμένον καὶ φιλόστοργον ὅρα μοι. Τῶν γὰρ φίλων καὶ πλησίον ἁπάντων, ὡς τῷ προφήτῃ δοκεῖ, τῶν μὲν φόβῳ μακρόθεν ἱσταμένων, τῶν δὲ καὶ φυγῇ χρησαμένων, τῶν δὲ καὶ στάντων ἐξεναντίας, αὕτη πάντα φόβον, καὶ τἄλλα παρ' οὐδὲν θεμένη, ἀνδρισαμένη τε καὶ τὸ φρόνημα ἀῤῥενώσασα, καὶ ὅσ' ἂν οὐδὲ πλῆθος ἔδρασαν, αὕτη μόνη κατατολμᾷ· καὶ δοκῶ μοι παραχωρήσειν τοῖς ἱεροῖς εὐαγγελισταῖς τὰ ταύτης ὡς οἷόν τε διεξελθεῖν.

XV. Quantam autem eidem inde laudem redundasse credis? Non enim semel aut singillatim mentionem de ea fecerunt, sed quatuor omnes de ipsa locuti sunt, idque necessario. Quater namque ad sepulcrum accessisse eam, et cœlestibus visionibus dignam habitam esse legimus. Prima quidem vice sola fuit, secunda autem cum altera Maria, quam Marcus et Matthæus Jose et Jacobi matrem nominant; tertia, cum Petro et Joanne convenerat, auctore Joanne evangelista; quarta, cum Salome et altera Maria, sole oriente, ut Marcus refert. Et certe omnia quæ ad eam spectant, memoratu valde digna sunt. Postquam porro corpus sepultum fuerat, secundum quod dicit divus Mat-

ΙΕ'. Πόσον δ' εἰκάζεις ἐκ τούτων αὐτῇ τὸ ἐγκώμιον; Οὐ γὰρ ἅπαξ εἰπόντες τὰ περὶ αὐτῆς ἀπηλλάγησαν, οὐδ' ὁ μὲν, ὁ δ' οὔ· ἀλλ' ἐκ τεσσάρων οἱ τέσσαρες αὐτῆς ἐμνημόνευσαν· ἐν γὰρ τοῖς ἀναγκαιοτάτοις ξυναραμένην ἀναγκαίως καὶ μνημονεῦσαι ταύτης ἐπῆλθεν αὐτοῖς. Τετράκις καὶ γὰρ εὕρηται παρὰ τὸν τάφον ἐλθοῦσα, καὶ θείων ἐμφορηθεῖσα ὀπτασιῶν· τὸ μὲν πρῶτον, μόνη· δεύτερον δὲ, μετὰ τῆς ἄλλης Μαρίας, ἣν Μάρκος τε καὶ Ματθαῖος Ἰωσῆ τε καὶ Ἰακώβου καλοῦσι μητέρα· καὶ τρίτον, σύναμα Πέτρῳ καὶ Ἰωάννῃ κατὰ τὴν αὐτὴν ὥραν, ὥς φησιν Ἰωάννης· τέταρτον, ἅμα Σαλώμῃ καὶ τῇ ἑτέρᾳ Μαρίᾳ, ἀνατείλαντος τοῦ ἡλίου, ὥς φησι Μάρκος. Καὶ δὴ προσεκτέον ἀκριβῶς τὰ περὶ

αὐτῆς. Μετὰ τὸ ἐνταφιασθῆναι τὸ σῶμα σὺν τῇ ἄλλῃ Μαρίᾳ, ἣ φησιν ὁ θεῖος Ματθαῖος, οὐκ ἀφίστανται τοῦ τάφου, ἀλλ' ἀπεναντίας καθήμενοι ἐθεώρουν, φησί, ποῦ τίθεται· εἶτα εἰκὸς ἦν οἴκαδε ἀναχωρῆσαι, τὸ μὲν διὰ τὸ σάββατον, τὸ δὲ διὰ τὸν τῶν θεοκτόνων φόβον.

A thæus, non abscessit, ut nec altera Maria, a sepulcro, sed e regione sedentes locum observarunt, quo positus erat. Postea domum redire debebant, cum Sabbati celebrandi gratia, tum quia deicidas metuebant.

ΙϚ'. Ὀψὲ δὲ Σαββάτων, οἱονεὶ περὶ ἀλεκτρυόνων ᾠδὰς (βλέπε γὰρ αὐτὸν ἑαυτὸν σαφηνίζοντα) τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, οἱονεὶ τὴν πρώτην τῆς ἑβδομάδος, ἥτις ἐστὶν ἡ Κυριακή, ἦλθε Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον· ἣ δὴ παρὰ τοῖς ἄλλοις Μάρκῳ τε καὶ Λουκᾷ, Ἰακώβου μήτηρ καὶ Ἰωσῆ ἐπιγέγραπται, ἥτις ἀναμφιβόλως ἡ Θεοτόκος εἶναι νομίζεται· « Καὶ ἰδοὺ, φησὶ, σεισμὸς μέγας ἐγένετο· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ, » καὶ ὅσα ἑξῆς. Ἰδοὺ μία τῆς Μαγδαληνῆς ἄφιξις ἐπὶ τὸ μνημεῖον. Ὁδῷ δὲ πορευόμεναι, ἀπήντησεν αὐταῖς ὁ Χριστὸς λέγων, Χαίρετε· ἔδει γὰρ τὸ πρῶτον ἀκοῦσαν φῦλον, Ἐν λύπαις τέξῃ τέκνα, αὐτὸ τοῦτο πρῶτον καὶ τὴν χαρὰν ἐνωτίσασθαι. Αἱ δὲ τῷ πόθῳ τολμῶσί τι καὶ παραβολώτερον, καὶ προσέρχονται, καὶ ποδῶν ἅπτονται καὶ προσκυνοῦσι· καὶ ὃς μὴ φοβεῖσθαι λέγει, ἀλλὰ τοῖς ἀποστόλοις ἀπελθοῦσαι δοῦναι τὰ τῆς ἀναστάσεως εὐαγγέλια, χαρᾶς ἄγγελον ἀνδράσι γυναῖκα γενέσθαι βουλόμενος, τὴν λύπης τῷ Ἀδὰμ γενομένην διάκονον. Αἱ δὲ τοῖς ἀποστόλοις τὰ εὐαγγέλια διαγγέλλουσι· « Καὶ πρῶτος, φησὶν, ὁ Πέτρος ἀναστὰς ἔτι σκοτίας οὔσης, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. » Ὡς δὲ τὸν Πέτρον θερμότατον ὄντα θεάσοιτο ἡ Μαγδαληνὴ μηδὲν περιεργασάμενον, ἐν ἀμηχάνῳ τὰ τῆς θέας ἐτίθει, καὶ φαντασίαν εἶναι τὸ ὁραθὲν ἐνόμιζεν. Ὑποστρέψασα οὖν πάλιν ἀπῄει ἀκριβῶς τὰ ὁραθέντα πιστώσασθαι, καὶ περὶ ὄρθρον, ἅρτι διαγελώσης ἡμέρας, ἔρχεται ἐπὶ τὸ μνημεῖον ἤδη δεύτερον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου, καθ' ἑαυτήν τε συμβαλοῦσα, ὅτι παρὰ τῶν μαθητῶν καὶ αὐτὸς ἀπιστηθήσεται· « Τρέχει, φησὶ, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς· » οὗτοι γὰρ ἦσαν τῶν μαθητῶν οἱ διαπυρώτατοι, ὁ μὲν, ὡς σφόδρα φιλῶν, ὁ δ' ὡς φιλούμενος. Καὶ βλέπε μοι τῆς μακαρίας γυναικὸς τὴν ἐπίνοιαν· ἵνα μὴ αὐτὸς διαπιστηθῇ, οὐ λέγει, ἀνέστη, οὐκ οἶδα γὰρ, εἴτ' ἀληθὲς, εἴτε καὶ μὴ, τοῦτο μόνον οἶδα, ὅτι ἐν τῷ τάφῳ τὸ σῶμα οὐκ ἔστι. Λέγει τοίνυν· « Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. » Διανίστησιν αὐτίκα τοὺς μαθητὰς, συντρέχει προδεδρομηκυῖα τῇ ἐρεύνῃ· τὴν ἔκδασιν. Ἐξάγεται Πέτρος εἰς, τὸ μνημεῖον· εἶτα καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος ἀρτίως εἰς τὸ μνημεῖον, καὶ θεωροῦσι τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον ἐντετυλιγμένον εἰς ἕνα τόπον, καὶ εἶδον, φησὶ, καὶ ἐπίστευσαν, οὐχ ὅτι ἀνέστη, ἀλλ' ὅτι ἤρθη. « Οὐδέπω γὰρ, φησὶν ὁ Ἰωάννης, ᾔδεισαν τὴν Γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι· ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί. »

XVI. Vespere autem Sabbati circa gallicinium (qua cura res referantur vides) quæ lucescit in prima Sabbati, quæ est dies Dominica, venit Maria Magdalena et altera Maria videre sepulcrum; quæ apud Marcum et Lucam mater Jacobi et Jose nominatur; quæ eadem Deipara esse creditur « Et ecce terræmotus factus est magnus. Angelus autem Domini descendit de cœlo, et accedens revolvit lapidem ab aditu, et sedebat super eum [11], » etc. Hæc est prima Magdalenæ apud sepulcrum visitatio. Cum autem in via procederent, Christus eis occurrit dicens: « Gaudete. » Quod enim genus primo audiverat: Cum dolore paries filios tuos, nunc gaudii verba audire debebat. Hæ autem præ desiderio aliud quid audacius faciunt: accedunt enim et pedes tangunt osculanturque. Christus autem metum deponere eas et apostolis resurrectionis nuntium annuntiare jubet. Voluit enim mulierem viris gaudii nuntiam esse quæ Adami infortunii ministra fuerat. Sanctæ igitur feminæ apostolis evangelium pernuntiarunt. « Petrus autem surgens per noctem cucurrit ad monumentum, et procumbens vidit linteamina sola posita, et abiit, secum mirans quod factum fuerat [12]. » Magdalena autem ubi Petri ardorem vidisset, nullam rebus visis fidem habuit, imo phantasma esse credidit. Igitur reversa eadem res visas de novo perscrutatura matutino tempore, cum lucesceret, secundo ad sepulcrum venit, et lapidem ablatum vidit, et cogitans apud se quod neque hac vice apostolis fidem rerum gestarum facturæ foret, « Cucurrit, dicit Evangelista, et venit ad Simonem Petrum et ad alium discipulum, quem amabat Jesus [13]; » hi enim ardentissimi inter discipulos erant, unus amans, alter amatus. Et nunc quidem beatæ mulieris mentem inspice. Quo minus enim suspecta foret, non dixit, Resurrexit; ignoro enim rem; id tantum scio quod in sepulcro non est corpus ejus. Dicit ergo: « Tulerunt Dominum de monumento et nescio quo posuerunt eum [14]. » Suscitat igitur discipulos illico, et rei exitum exspectat. Venit ergo Simon Petrus ad monumentum, et alius discipulus, et introivit in monumentum, et viderunt linteamina posita, et sudarium separatim involutum in unum locum. Et viderunt, et crediderunt. « Nondum enim, dicit Joannes, sciebant Scripturam, quia oportebat eum a mortuis resurgere. Abierunt ergo iterum discipuli ad semetipsos [15]. »

[11] Matth. xxviii, 2. [12] Luc. xxiv, 12. [13] Joan. xx, 2. [14] ibid. [15] ibid. 9, 10.

XVII. Forsitan dubium beatam feminam invasit, ut ista omnia phantasma esse crederet, ita ut hominum more, sibi ipsi dissideret, præsertim cum fama maxima cum velocitate promulgata esset, discipulos noctu corpus ejus furatos esse. Sed nec sic a sepulcro abscessit, sed postquam discipuli abiissent, « Maria, ut legimus in Scripturis, foris stabat plorans, » cum quia de rebus desperasset, tum quia revera ignorabat, utrum furati essent eum, ut fama erat, an sublatum fuerit alio modo. Dum ergo fleret, « inclinavit se, et prospexit in monumentum, ambiguæ mentis, et vidit duos angelos in albis sedentes, unum ad caput, et unum ad pedes, ubi positum fuerat corpus Jesu. Dicunt ei illi : Mulier, quid ploras[15] ? » quem quæris? Verba sane exprobrantia dicentium : Mulier, post talem visum, quid ploras? muliebriter desperas de his omnibus, et magnum quid judicare non vales. Quem quæris? quem vidisti? cujusnam pedes tetigisti? quis te allocutus est? hunc igitur quæris? Dicit iis : « Tulerunt Dominum meum de monumento, et nescio ubi posuerunt eum[16]. » Tum angeli subito surrexerunt, et forte Salvator aderat, et conversa est retrorsum, et vidit Jesum stantem, et non sciebat quia Jesus est, cum quia post resurrectionem in corpore incorruptibili nec prorsus visibilis erat nisi iis, a quibus cerni volebat; tum quia oculi lacrymis obscurati non clare videre poterant; tum quia Christus id ita instituerat. « Dicit ei Jesus : Mulier, quid ploras? quem quæris? Illa, existimans quia hortulanus esset, dicit ei : Domine, si tu sustulisti eum, dicito mihi, ubi posuisti eum, et ego eum tollam[17]. » Quasi diceret : Si tu ex iis es qui eum sustulerunt, dic mihi, et tollam eum. O philtrum muliebre! o desiderium ardens! Nihil sane vera charitate sanctius. Quomodo autem in mentem ei venit pro hortulano eum habere? Certe sepulcrum in horto situm erat; sed forte non absurdum est, primum et verum paradisi cultorem eo nomine designare.

XVIII. Cum igitur Maria ita corpus, hinc inde currens, requireret, et allocutio ipsius cor ac medullam tangeret, una vox beatæ feminæ oculos ad cognitionem veritatis convertit et nominatim eam appellat : Maria! Hac autem voce suavi et assueta audita verbo ocius reversa : Rabbuni, dixit, id est, Magister; et simul pedes speciosos tangere gestivit.

XIX. Postquam enim oculorum atque aurium ope cum cognovisset, et ex tactu certior fieri vellet, quod quidem in Evangelio scribitur, audit, Noli me tangere. Quomodo vero dixisset, nisi contrectaturam se protinus animadvertisset? Noli me tangere. Postquam enim cum altera Maria me tetigisti, et tanto munere digna habita, magni me

ΙΖ'. Ἀμέλει καὶ τὴν θαυμασίαν ταύτην γυναῖκα εἰς ἐνθουσιασμὸν ἐμβάλλουσι, φαντασίαν οἰηθῆναι τὸ πρᾶγμα. Καὶ ἦν εἰκὸς καὶ ταύτην ἀνθρώπινόν τι παθεῖν, καὶ διαπιστεῖν ἑαυτῇ, καὶ ταῦτα τῆς φήμης ταχεῖ τῷ πτερῷ χρησαμένης, ὅτι νυκτὸς οἱ μαθηταὶ αὐτοῦ ἐλθόντες ἔκλεψαν αὐτόν. Ἀλλ' οὕτως ἀμφιβόλως ἔχουσα, ὅμως οὐκ ἀφίστατο τοῦ μνημείου, ἀλλὰ καὶ τῶν μαθητῶν ἐκποδὼν γενομένων, Μαρία, φησὶν, εἱστήκει κλαίουσα ἔξω, τὸ μὲν ὡς τῆς ἐλπίδος διαπεσοῦσα, τὸ δ' ὅτι καὶ μὴ εἰδέναι ἔχουσα, εἴτ' ἐκλάπη, ὡς λόγος, εἴτ' ἤρθη· καὶ κλαίουσα « παρακύπτει πάλιν εἰς τὸ μνημεῖον ἔτι διαπιστοῦσα καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι, Γύναι, τί κλαίεις; τίνα ζητεῖς; » ὡσανεὶ ἐπιτιμώντων εἰσὶ τὰ βήματα· Μετὰ γὰρ τοσοῦτον θέαν, γύναι, τί κλαίεις; ἔτι ἀνάνδρως διάκεισαι, καὶ οὐδὲν μέγα ἐννοῆσαι δύνῃ; τίνα ζητεῖς; ὃν εἶδες; οὗ τῶν ποδῶν ἥψω; ὃς καὶ φωνῆς σοι μετέδωκε; τοῦτον ζητεῖς; Ἡ δὲ λέγει, « Ἦραν τὸν Κύριόν μου ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. » Εἶτα ἐν τῷ τοὺς ἀγγέλους ἀναστῆναι σπουδῇ, ἴσως τοῦ Σωτῆρος ἐκεῖσε παραγενομένου, στραφεῖσα ἐκείνη θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι, τὸ μὲν, ὅτι ἐν ἀφθάρτῳ ἦν σώματι μετὰ τὴν ἀνάστασιν, καὶ οὐ πανταπασιν ὁρατὸς, εἰ μὴ οἷς καὶ ὅτε βεβούλοιτο, τὸ δ' ὅτι καὶ τῇ τῶν δακρύων ἀχλύϊ μὴ δυναμένη καθαρῶς καθορᾷν, ἢ ἴσως καὶ τοῦ Χριστοῦ τοῦτο οἰκονομήσαντος. « Λέγει αὐτῇ ὁ Ἰησοῦς, « Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη, φησὶ, δοκοῦσα, ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ, Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι, κἀγὼ αὐτὸν ἀρῶ· » ὡσανεὶ, Εἰ συνῆρας καὶ σὺ τοῖς ἐπάρασιν, εἰπέ μοι, κἀγὼ αὐτὸν ἀρῶ. Ὦ γυναικείου φίλτρου, ὦ διαπόρου πόθου· ὄντως οὐδὲν τῆς ἀληθοῦς ἀγάπης μακαριώτερον· πόθεν δ' ἐπῆλθε καὶ κηπουρὸν αὐτὸν οἰηθῆναι; ἢ δῆλον, ὅτι ἐν τῷ κήπῳ τὸ μνῆμα· τάχα δὲ οὐκ ἔξω λόγου τὸν ἀληθῆ καὶ πρῶτον τοῦ παραδείσου γεωργὸν οὕτως ὑπολαβεῖν.

ΙΗ'. Ἀλλὰ τῆς Μαρίας οὕτω περὶ τὴν ἔρευναν ἐπτοημένης τοῦ σώματος, ἔνθεν τε κἀκεῖθεν ἀνατρεχούσης, ὁ διϊκνούμενος λόγος ἄχρι καὶ αὐτῶν σαρκῶν καὶ μυελῶν οὕτω βασανιζομένην, φωνῇ μιᾷ τὸ βλέμμα ταύτης ὀξύνει πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ ὀνομαστὶ ταύτην καλεῖ, Μαρία· ἡ δὲ τῆς γλυκείας καὶ συνήθους αἰσθομένη φωνῆς, θᾶττον ἢ λόγος ἐπιστραφεῖσα, Ῥαββουνὶ, φησὶν, ὃ λέγεται, Διδάσκαλε· καὶ αὖθις τῶν ὡραίων αὐτοῦ ἐφάψασθαι ἐζήτει ποδῶν.

ΙΘ'. Ἐπεὶ γὰρ δι' ὄψεως καὶ ἀκοῆς αὐτὸν ἔγνω, καὶ δι' ἁφῆς ἀκριβώσασθαι ἤθελε, καὶ ὁρμῆς εἰς τοῦτ' ἔχουσα, τοῦτο γὰρ τῷ εὐαγγελιστῇ σεσιώπηται, ἀκούει, Μή μου ἅπτου. Πῶς γὰρ ἂν τοῦτο εἶπεν, εἰ μὴ κινουμένην πρὸς τοῦτο ἐώρα; Μή μου ἅπτου· ἐπεὶ γὰρ μετὰ τῆς ἄλλης Μαρίας ἥψω μου, καὶ τηλικαύτη; ἀξιωθεῖσα τῆς δωρεᾶς, οὐδὲν μέγα διε-

[15] Joan. xx, 11 13. [16] ibid. 13. [17] ibid. 15.

νοήθης περὶ ἐμοῦ, ἀλλ' ἔτι ἀτελέστερον διέκεισο, καὶ ἐν τῷ τάφῳ ἐζήτεις ὡς ἄνθρωπον, τὸν μετὰ Πατρὸς συγκαθήμενον, πόρρω στῆθι· μή μου ἅπτου· κατὰ γὰρ τὴν σὴν δόξαν οὔπω πρὸς τὸν Πατέρα μου ἀναβέβηκα. Ἄλλως τε δὲ καὶ τὸ φρόνημα αὐτῆς ἀνυψοῖ, μὴ ἄνθρωπον ὡς τὰ πρῶτα τοῦτον λογίζεσθαι, ἀλλὰ καὶ Θεόν· διὰ τοῦτο γὰρ καὶ τὸ Ἀναβέβηκα, εἶπεν, οἰονεὶ πρὸς τὸν οὐρανὸν, ἔνθα καὶ ὁ ἐμὸς Πατὴρ διαφερόντως οἰκεῖ. « Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς ὅσα δὴ καὶ μεμάθηκας. » Ἔρχεται ἤδη τὸ τρίτον ἡ Μαρία, καὶ οὐ λέγει ὡς πρότερον, ὅτι ἀνέστη, ἢ τόγε μὴν δεύτερον, ὅτι ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου. « Ἀλλ' ἔρχεται, φησὶ, Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. » Ἔχεις ἤδη καὶ τρίτην κάθοδον αὐτῆς ἐπὶ τὸ μνημεῖον, πρωῒ σκοτίας ἔτι οὔσης. Τὴν δὲ τετάρτην ὁ θαυμάσιος ἱστορείτω μοι Μάρκος. « Διαγενομένου, φησὶ, τοῦ Σαββάτου Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν, ἀνατείλαντος τοῦ ἡλίου, λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; » καὶ ὅσα ἑξῆς.

A non æstimasti, sed sicut hominem in sepulcro quæsivisti, me qui a dextris Patris sedeo, foris sta, noli me tangere; nam, secundum te, nondum ad Patrem ascendi. Tum vero spiritus altiores ei indit, ne ipsum ut hominem, sed ut Deum suscipiat. Ideo enim, Ascendi, inquit, in cœlum nempe, ubi Pater meus cum splendore habitat. « Vade autem ad fratres meos, et dic eis, quæ didicisti [18]. » Venit Maria tertia vice; non autem dixit, Resurrexit, aut, Abstulerunt Dominum de monumento; sed « Venit Maria Magdalena annuntians discipulis quia Vidi Dominum, et hæc dixit mihi. » En tertiam visitationem monumenti, mane ante lucem. Quartam porro divus Marcus nobis narrabit. « Et cum transiisset Sabbatum, Maria Magdalena et Maria Jacobi et Salome emerunt aromata, ut venientes ungerent Jesum. Et valde mane una Sabbatorum veniunt ad monumentum, orto jam sole; et dicebant ad invicem : Quis revolvet nobis lapidem ab ostio monumenti [19] ? » etc.

B

XX. At hoc loco quærere aliquis possit, quo pacto Magdalena jam tertio certior de rebus quæ acciderunt facta, denuo ad sepulcrum reversa dixerit : Quis revolvet nobis lapidem? At non incredula accesserat, sed ut cæteris viæ dux esset, et quæ facta erant enarraret, sibique ipsi animum inspiraret. Alioquin non Magdalenam dixisse patet : Quis nobis revolvet lapidem? sed Salomen, quæ nondum monumento antea astiterat, et quæ tantum fando audierat quod lapis ad ostium sepulcri esset. Secundum Marcum enim : « Surgens mane, prima Sabbati, apparuit primo Mariæ Magdalenæ, de qua ejecerat septem dæmonia [20]; » secundum Matthæum autem : « Terræmotus factus est magnus, et prima lapidem amotum conspicata est, et angelum sedentem super lapidem [21]. » Secundum Joannem autem : « Una Sabbati Maria Magdalena venit mane, cum adhuc tenebræ essent, ad monumentum, et vidit lapidem sublatum a monumento [22]. » Quæ nisi a Salome dicta præsumeremus, in abyssum contradictionis caderemus, quod sane absurdum esset.

C

D

Κ'. Ἀλλ' ἐνταῦθα διαπορεῖν ἔστι μοι, πῶς ἡ Μαγδαληνὴ τρίτον ἤδη πιστωθεῖσα, πάλιν ἐπὶ τὸν τάφον χωρεῖ, καὶ Τίς ἀποκυλίσει ἡμῖν, λέγει, τὸν λίθον; σὺν ταῖς λοιπαῖς. Ἢ δῆλον, οὐχ ὡς ἀπιστοῦσα παραγίνεται, ἀλλ' ὡς μᾶλλον κἀκείναις ὁδηγὸς ἐσομένη, καὶ τὰ γενόμενα διηγησομένη, καὶ ὡς θάρσος λαβοῦσα ἐκ τῆς ἀφίξεως· εἰκὸς δὲ μηδὲ ταύτην φάναι τὸ, Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; ἀλλὰ Σαλώμην οὔπω τῷ τάφῳ παραγενομένην, ἀκοῇ δὲ μόνον ἐνηχηθεῖσαν λίθον ἐπιτεθῆναι πρὸς τῇ θύρᾳ τοῦ μνημείου· ὡς γὰρ ἱστορεῖ Μάρκος « Ἀναστὰς πρωῒ, πρώτῃ ἐφάνη Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια· » καὶ ὡς Ματθαῖος, τόν τε σεισμὸν καὶ τὸν λίθον ἀποκυλισθέντα πρώτη τοῦ μνημείου ἐθεάσατο, καὶ ἄγγελον τούτῳ ὑπερκαθήμενον· καὶ ὡς ὁ Ἰωάννης « Τῇ μιᾷ τῶν Σαββάτων, λέγει, Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. » Εἰ μὴ τὴν Σαλώμην ταῦτα φάναι δοίημεν, εἰς βυθὸν ἐναντιώσεως ἂν περισταίημεν· ὅπερ οὐκ εὔλογον.

XX. Ubi igitur lapidem a monumento remotum (erat quippe magnus valde) conspicatæ introivissent (monumenta vero apud Judæos valde spatiosa), corpus Jesu non invenerunt. Qua de re cum mente ambigerent, viros vident astantes, stola candida coopertos; qui « Jesum quæritis Nazarenum, dixerunt, crucifixum? Surrexit, non est hic [23]; » reversæ undecim apostolis et cæteris omnibus hoc retulerunt. Cum autem multitudo esset numerosa, ista verba iis futilia ac vana esse videbantur. Sunt qui Petrum tum leviter commotum solum surrexisse et ad monumentum cucurrisse dicant. Marcus autem scribit : « At ille,

ΚΑ'. Ἰδοῦσαι τοιγαροῦν τὸν λίθον ἀποκεκυλισμένον τοῦ μνήματος· (ἦν γὰρ καὶ μέγας σφόδρα), ἔνδον τε τοῦ τάφου γενόμεναι· (μεγάλα γὰρ παρὰ τοῖς Ἰουδαίοις τὰ μνήματα), οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ, καὶ ἐν ἀπόρῳ οὖσαι, ὁρῶσιν ἄνδρας ἐπιστάντας αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις, καὶ ἐμβριθῶς ἀκούσασαι· « Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε, » ὑποστρέψασαι, φησὶν, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. « Συμμιγὲς δ' οὖσαι πλῆθος διεβλήθησαν· ἐφάνησαν γὰρ, φησὶν, ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν. Ἕτεροι δὲ φασι τότε τὸν Πέτρον ἠρέμα πως διαθορυβηθέντα, μόνον ἀναστῆ-

[18] Joan. xx, 17. ibid. 18. [19] Marc. xvi, 3. [20] Ibid. 9. [21] Matth. xxviii, 2. [22] Joan. xx, 1. [23] Marc. xvi, 6.

Mariæ duæ circa Jesum a Sepulcro celeriter fugerunt de monumento, et nemini quidquam dixerunt : timebant enim [25]. » Ita igitur Magdalena, prima resurrectionis testis, apostolis ejus nuntia fuit, et Evæ auxiliatrix mundo gaudium annuntiat. Et hæc quidem in sanctorum Evangeliorum scriptis de beata Magdalena cum auctoritate memorantur.

XXII. Post resurrectionem Salvator charis discipulis singillatim apparuit, et Spiritus sancti adventum promisit; beata autem Magdalena cum Verbi genitrice conversari perquam amabat Postquam autem opus incarnationis peractum esset, et jam tempus instaret, quo socius a Patre inseparabilis in throno paterno solemniter reponi debebat, ne matri ac discipulis causa mœroris foret, in montem Olivarum eos eduxit, et angelos prope eos sistit, qui ascensionem in cœlos monstrarent. Porro dubium non est quin ea quæ Verbi matri semper adesse satagebat, et quæ optimarum quarumcunque rerum particeps esse volebat, ascensionis Dominicæ testis fuerit.

XXIII. Posthæc feminæ sanctæ cum apostolis in conclavi adunatæ precibus operam dabant. Testis Lucas, qui in Actis post enumerationem apostolorum hæcce adjungit : « Illi omnes erant perseverantes unanimiter in oratione cum mulieribus, et Maria matre Jesu, et fratribus ejus [26]. » De nulla alia muliere, ut patet, evangelistæ dicendi ansam habuerunt, ut de Magdalena. Post passionem enim, ubi mulierum mentionem facere iis obtigit, hanc solam nominatim citant, cæterarum, paucis exceptis, nominibus silentio præteritis; id quod Matthæus quoque confirmat sanctus : « Erant autem ibi mulieres multæ a longe, quæ secutæ erant Jesum a Galilæa, ministrantes ei; inter quas erat Maria Magdalene [27], » etc. Marcus autem : « Erant autem et mulieres de longe aspicientes; inter quas erat Maria Magdalene [28]. » Habes porro testem Lucam : « Subsecutæ autem mulieres, quæ cum eo venerant de Galilæa, viderunt monumentum, et quemadmodum positum erat corpus ejus. Et revertentes paraverunt aromata Maria Magdalene et Joanna et Salome [29]. » Magnum etiam pondus in verbis Tonitru filii qui Magdalenæ solius secundum matrem et alteram Mariam mentionem injicit : « Stabant autem juxta crucem Jesu mater ejus, et soror matris ejus Maria Cleophæ et Maria Magdalene [30]. » Hinc recte et jure dixerim, eam cum matre et apostolis in conclavi donum Spiritus sancti sortitam esse, si non quoad linguam igneam, certe quoad charismata.

σμένον, καὶ κατάπεμψον ἐπ' αὐτοὺς τὰ ἐλέη σου τὰ πλούσια. Φεῖσαι τῆς κληρονομίας σου, φεῖσαι τοῦ λαοῦ σου, φεῖσαι τοῦ ἀμπελῶνος, ὃν ἐφύτευσεν ἡ δεξιά σου. Τὴν ἔμφυτον ἀγαθότητα τὴν σὴν ὑπὲρ ἡμῶν ἔχων ἱκετεύουσαν, μνήσθητι τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου, μνήσθητι τῶν ἁγίων σου θυσιαστηρίων, ἃ βεβήλως ποτὲ ἐπατήθησαν καί γε πυρὶ παρεδόθησαν· μνήσθητι τῆς ἐλεεινῆς ἡλικίας, τῆς εἰς αἰχμαλωσίαν ἀσεβῶν παραδοθείσης, καὶ τὴν μὲν πατρῴαν ἀσέβειαν ἀνοήτῳ γνώμῃ ἐξομωσαμένης, τῷ δὲ διαβόλῳ ἐπιγραψαμένης, καὶ στῆσον ἤδη ῥάβδον ἁμαρτωλῶν κατὰ κλήρου δικαίου ἀφιεμένην· μὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ διὰ ἄφατον ἔλεον τὸν ὑπερεκχυνόμενον ἐκ τῆς σῆς ἀγαθότητος, καὶ δὸς δὴ τῷ φιλοχρίστῳ βασιλεῖ ἡμῶν ἅπασιν τῶν κατεχόντων τούτων ἀνιάρων, καὶ ἀπαλλαγὴν τῶν ἐμφυλίων θορύβων καὶ στάσεων. Ἀνίσχυσον αὐτοῦ τὸν βραχίονα, καὶ τοὺς ἐπανισταμένους αὐτῷ ὑπόταξον, καὶ σύναψον αὐτοῦ τὰ στρατεύματα εἰς μίαν ὁμόνοιαν, καὶ εἰρήνην, καὶ πάσης ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν ἀνώτερον αὐτὸν διατήρησον. Ἄγγελον αὐτῷ ἐξ ἁγίου κατοικητηρίου σου κατάπεμψον φύλακα, σαφῶς προπολεμοῦντα τοῦ σοῦ βασιλέως, ἀστασίαστον ἐν βαθείᾳ γαλήνῃ τὴν βασιλείαν αὐτῷ δώρησαι· ὡς ἂν τὸ σὸν ἅγιον ἔθνος ἐν τῇ γαλήνῃ αὐτοῦ ἡρεμαῖον καὶ ἡσύχιον βίον διάγῃ, καὶ πᾶσαν ἄλλην ἐπεγειρομένην κατ' αὐτοῦ ταραχὴν καὶ ἐπιβουλὴν τῇ ἀμάχῳ δεξιᾷ διασκέδασον, καὶ ἀνεπιβούλευτον, καὶ μακρὰν αὐτῷ τὴν ζωὴν χάρισαι. Προσβείαις τῆς πανυπερενδόξου ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἄλλων λειτουργῶν, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἀμήν.

A misericordiam ad eum mitte. Parce hereditati tuæ, parce populo tuo, parce vineæ a dextera tua plantatæ: et cum innatam tibi bonitatem pro nobis deprecantem habeas, recordare sanguinis servorum tuorum tuorum effusi; recordare sanctorum tuorum altarium pedibus profanis conculcatorum et igni combustorum; recordare miserandæ puerorum ætatis ab impiis in captivitatem traditæ, et stolida sententia paternam religionem abjurantis et diabolo ascriptæ, et jam peccatorum virgam adversus justos motam cohibe. Propter nomen sanctum tuum, et propter ineffabilem misericordiam a tua bonitate profusam, ne in finem nos tradas. Christum amanti regi nostro, a grassanti calamitate requiem, et a civili tumultu, et seditione, securitatem præbe; brachium ejus corrobora, rebelles illi subjice, et in unam concordiam et pacem ejus omnes acies compone: et visibilium invisibiliumque hostium cunctis insidiis superiorem illum redde. Mitte de sancto habitaculo tuo angelum custodem pro rege tuo pugnaturum, compositam et profunda tranquillitate pacatum ei regnum largire: ut in ejus pace sancta tua gens tranquillam quietamque vitam degat, et demum, tumultum insidiisque omnibus adversus imperatorem insurgentibus insuperata tua manu dissipatis, longam ei vitam confer. Precibus gloriosæ et super omnes benedictæ Dominæ nostræ Deiparæ, et ministrorum materiæ expertium, et omnium sanctorum, qui a B C D seculo tibi placuerunt. Amen.

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ, ἐπὶ συμφορᾷ λαοῦ.

Ἄναρχε Βασιλεῦ, ἀόρατε, ἀνεξιχνίαστε, ἀκατάληπτε, καὶ ἀνέκφραστε, ὁ πᾶσαν δρακὶ περιέχων τὴν κτίσιν καὶ διατηρῶν· ὁ διακατέχων καὶ διακυβερνῶν αὐτὴν ἀῤῥήτῳ λόγῳ, ὁ τῶν Νινευϊτῶν τὰς ἀνομίας πρότερον μὲν ἀνεχόμενος, ὕστερον δὲ τὴν μετάνοιαν αὐτῶν καὶ ἐπιστροφὴν προσδεξάμενος, καὶ χαρισάμενος αὐτοῖς δι' ὑπερβάλλουσαν ἀγαθότητα καὶ μακροθυμίαν πάσας τὰς ἀνομίας καὶ τὰ πλημμελήματα, τῇ συνηθείᾳ καὶ ἀφάτῳ σου φιλανθρωπίᾳ δεξάμενος· δέξαι καὶ ἡμῶν τὰς εὐχάς, καθάπερ ὡς εἴρηται τῶν Νινευϊτῶν τὴν ἐπιστροφὴν καὶ μετάνοιαν· δέξαι τὰ δάκρυα καὶ τοὺς στεναγμούς, δέξαι τὴν τεταπεινωμένην ἡμῶν δέησιν· οὐδὲ γὰρ δυνάμεθα ἕως ταῖς ἁμαρτίαις γενόμενοι, πρὸς σὲ τὸν μόνον ἀναμάρτητον ἀτενίζειν δέξαι τας ἐκ βάθους ὡς δίκην καπνοῦ ἀναπεμπομένας σοι τῷ Δεσπότῃ κραυγάς. Δέξαι τοῦ ταλαιπωρουμένου λαοῦ τὴν παράκλησιν· νικησάτω ἡ ἄῤῥυτος τῆς σῆς εὐσπλαγχνίας τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν· καὶ ζῶς τῷ λαῷ σου λύτρωσιν, ἐλευθερίαν τῶν πειρασμῶν, καὶ τῆς τοῦ θανάτου τιμῆς ἄφεσιν. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπάκουσον τοῦ λαοῦ σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· καὶ στῆσον τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπεγειρομένην ἐπὶ τὸν κλῆρον τῶν δικαίων, οὓς σὺ

Alia ejusdem oratio in populi afflictione.

Sine principio Rex, invisibilis, investigabilis, incomprehense et ineffabilis, qui pugillo creaturam omnem contines et conservas, secretaque eam ratione moderaris, qui toleratis prius Ninivitarum iniquitatibus, demum eorum pœnitentiam et conversionem suscepisti, et inenarrata licet solita tibi humanitate omnia illorum delicta et iniquitates condonasti: suscipe etiam vota nostra, sicut Ninivitarum conversionem et pœnitentiam, modo præfato, acceptam habuisti; suscipe lacrymas et suspiria: suscipe et humili corde deprecationem prolatam (neque enim possumus peccatis depressi ad te intendere); suscipe clamores ex imo pectore thuris instar ad te missos, afflicti populi orationem exaudi, peccatorum nostrorum copiam clementiæ tuæ abyssus exsuperet, et populo tuo ab his molestiis exemptionem et libertatem, et a mortis vulnere remissionem præbe. Ita fiat, Domine Deus noster, populum tuum et me peccatorem in hora hac exaudi, et peccatorum virgam adversus justorum a te solo cognitorum, et te quoque agnoscentium sortem, vibratam cohibe: ut et per nos inutiles servos tuos celebretur sanctissimum nomen tuum, Patris, et Filii et sancti Spiritus, nunc et semper, et in secula sæculorum. Amen.

μόνος οἶδας καὶ ἐπίστασαι, παρ' αὐτῶν γινωσκόμενος· ὅπως καὶ δι' ἡμῶν τῶν σῶν ἀχρείων δούλων δοξασθῇ τὸ πανάγιον ὄνομά σου· τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Alia similis ejusdem oratio.

Optime Domine, universi conditor, cujus misericordia immensa et humanitas incomprehensa, qui iniquitates omnes tulisti et cruci affixisti, ut ipse sine peccatis, cunctæque sordis expers, sanctificares nos : tibi confisi suppliciter procidimus, patiens Domine, et inenarratæ et immensæ tuæ humanitatis pelagus contemplati, ad te reconciliatu facilem Dominum clamamus, Salva nos. Non Pharisaico more cantica hymnosque nostros, sed publicani instar proferimus : neque velut nefandus ille latro, sed ut bene affectus et gratus ille alius, vociferamur illud, Memento. Exsuperet itaque investigabilis misericordia tua iniquitates nostras, et licet incongrue convertamur et pœnitentiam agamus, ostende tamen etiam in nobis clementiæ tuæ immensitatem. Compatere et reconciliare ut longanimis populo tuo, falcem mortiferam reprime, ne ultra nos decerpat, celerem et intempestivam ejus aciem retunde, contagiosi morbi luem juste immissam averte, gladium adversum nos vibratum, ne pereamus, contine. Tibi namque soli procidimus. Ita Domine, exaudi nos peccatores et inutiles servos tuos, in hac hora; et ne despicias orationes nostras; neque peccatis nostris spontance aut invite, scienter aut ignoranter commissis attendas; ut glorificetur et in nobis sanctissimum nomen tuum : Patris, et Filii, et sancti Spiritus.

Altera ejusdem similis aliis oratio.

Facilis reconciliatu, Domine, longanimis, et valde misericors, cunctæ creaturæ rationalis et intellectualis auctor, qui rebus omnibus esse ex nihilo concessisti, et bene esse nobis provide contulisti, cum laudibus et canticis gratiarum actiones secum ferentibus tibi nos procidentes ne despicias, neque reconciliationi orationes idoneas, vel supplicationes nostras abjicias; sed adnue de sancto habitaculo tuo, respice et visita vineam istam dextera tua plantatam; et a gravi pestilentialique hoc morbo, mortis videlicet corporis et animæ plaga nos exime. Horrenda namque et inexspectata illa calamitas non solum corpora lethaliter ferit et corrumpit : sed et nos, te læso, reos, et ad pœnitentiam imparatos, etiam quoad animam omnino perdit. Propterea te rogamus et precamur, ut orationem populi tui supplicationesque exaudias, et avertas indignationem tuam a nobis. Ita Domine, ne in æternum irascaris nobis, vel justam tuam iram erga nos conceptam producas; nullus enim coram te consistere potest, aut cum fiducia loqui, neque ullus coram te vivens justificabitur. Omnis enim hominis justitia velut pannus menstruatæ est,

Εὐχὴ ἑτέρα ὁμοία τοῦ αὐτοῦ.

Ὑπεράγαθε Κύριε, δημιουργὲ τοῦ παντὸς, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἀνείκαστος, ὁ τὰς ἀνομίας ἡμῶν πάσας ἀράμενος καὶ τῷ σταυρῷ προσηλώσας, ἵνα καθαγιάσῃς ἡμᾶς ἀναμάρτητος, καὶ παντὸς ῥύπου ἀνεπίδεκτος· σοὶ θαῤῥοῦντες προσπίπτομεν ἱκετικῶς, ἀνεξίκακε Κύριε, καὶ τῆς σῆς ἀφάτου καὶ ἀμετρήτου φιλανθρωπίας τὸ πέλαγος ὑποσκοποῦντες, κράζομεν πρὸς σὲ τὸν εὐδιάλλακτον Κύριον, Σῶσον ἡμᾶς. Οὐ φαρισαϊκῶς ᾠδὰς ἡμῶν καὶ ὑμνῳδίας ἀναφέρομεν· ἀλλὰ τελωνικῶς, οὐδὲ κατὰ τὸν ἀγνώμονα ἐκεῖνον λῃστήν· ἀλλὰ κατ' αὐτὸν τὸν εὐγνώμονα καὶ εὐχάριστον βοῶμεν τὸ Μνήσθητι. Διὰ τοῦτο νικησάτω τὸ ἀνεξερεύνητον ἔλεος τὰς ἀνομίας ἡμῶν, εἰ καὶ μὴ προσηκόντως μετανοοῦμεν καὶ ἐπιστρέφομεν. Δεῖξον καὶ ἐν ἡμῖν τῆς φιλανθρωπίας σου τὸ μέγεθος. Σπλαγχνίσθητι καὶ διαλλάγηθι ὡς μακρόθυμος ἐπὶ τῷ λαῷ σου· στῆσον τὸ δρέπανον τοῦ θανάτου, ὥστε μὴ καθ' ἡμῶν προβῆναι· στῆσον τὴν ταχείαν καὶ ὠμὸν τούτου τομήν. Στῆσον τῆς λοιμώδους νόσου τὴν δικαίαν ταύτην φθοράν· στῆσον τὴν ῥομφαίαν τὴν καθ' ἡμῶν διεγειρομένην, ἵνα μὴ ἀπολώμεθα. Σοὶ γὰρ μόνῳ ἡμάρτομεν. Ἀλλὰ καὶ σοὶ μόνῳ προσπίπτομεν. Ναὶ Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ μὴ ἀπώσῃ τὰς δεήσεις ἡμῶν. Πάριδε τὰ πλημμελήματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει, καὶ ἐν ἀγνοίᾳ ἵνα δοξασθῇ καὶ ἐν ἡμῖν τὸ πανάγιον ὄνομά σου· τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Εὐχὴ ἑτέρα ὁμοία ταῖς ἄλλαις, τοῦ αὐτοῦ.

Εὐδιάλλακτε Κύριε, μακρόθυμε καὶ πολυέλεε, χορηγὲ πάσης κτίσεως λογικῆς τε καὶ νοερᾶς, ὁ τὸ εἶναι ἐξ οὐκ ὄντων τοῖς πᾶσι δωρούμενος, καὶ τὸ εὖ εἶναι πανσόφως ἡμῖν χαρισάμενος δοξολογίαις καὶ ᾠδαῖς εὐχαρίστοις προσπίπτοντας τῇ σῇ ἀνεικάστῳ ἀγαθότητι, μὴ παρίδῃς ἡμᾶς, μηδὲ τὰς ἱλαστηρίους ἡμῶν προσευχὰς καὶ ἱκεσίας ἀπώσῃ, ἀλλ' εὐδόκησον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτὴν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐξελοῦ ἡμᾶς ἀπὸ ταύτης τῆς δεινῆς καὶ λοιμώδους νόσου τῆς τομῆς τοῦ θανάτου, τῆς ψυχικῆς δηλαδὴ καὶ σωματικῆς. Ἡ γὰρ φοβερὰ αὕτη καὶ ἀπροσδόκητος συμφορὰ οὐ μόνον σώματα εἰς τέλος νεκροῖ καὶ διαφθείρει, ἀλλὰ καὶ ψυχὰς τελείως ἀπόλλυσιν, ἀμετανοήτως ἡμῶν διακειμένων, καὶ προσκεκρουκότων ἐντεῦθέν σοι τῷ Θεῷ ἡμῶν. Διὰ τοῦτο, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, ὅπως ἐπακούσῃς τῆς δεήσεως τοῦ λαοῦ σου καὶ ἱκεσίας, καὶ ἀποτρέψῃς τὸν θυμόν σου ἀφ' ἡμῶν. Ναὶ Κύριε, μὴ ὀργισθῇς εἰς τοὺς αἰῶνας ἡμῖν, μηδ' ἐπιτείνῃς τὴν δικαίαν σου καθ' ἡμῶν ἀγανάκτησιν. Οὐδεὶς γὰρ δύναται ἔμπροσθέν σου στῆναι, ἢ παῤῥησιάσασθαι, καὶ

οὐδεὶς ζῶν ἄνθρωπος δίκαιος ἐν σοὶ δικαιωθήσεται. Πᾶσα γὰρ δικαιοσύνη ἀνθρώπου, ὡς βάκχος ἀποκαθημένης, κατὰ τὸν μεγαλοφωνότατον Ἡσαΐαν. Τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ τῷ σῷ φόβῳ συνεχόμενα κλονοῦνται καὶ φρίσσουσι. Κατάπαυσον τοίνυν τὴν ὀργήν σου ἀφ' ἡμῶν, ἀπόστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν ἐκ τῆς δουλείας τῶν ἀσεβῶν· ἀλλὰ δὴ καὶ τὴν κατὰ νοῦν γινομένην αἰχμαλωσίαν τῇ τρικυμίᾳ καὶ ζάλῃ τῶν πειρασμῶν ὑπὸ τοῦ νοητοῦ Φαραώ. Οὐδὲ γὰρ δυνάμεθα κατ' ἄμφω πλημμελοῦντες ᾄδειν σοι ᾠδὴν εὐχαριστήριον ἐπὶ γῆς ἀλλοτρίας. Μνήσθητι ἡμῶν, Κύριε, ἐν ἐλέει καὶ οἰκτιρμοῖς κατάπεμψον ἡμῖν ἄγγελον πιστὸν φύλακα, ᾧ καὶ παρακάθου τὴν ζωὴν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς τῆς φοβερᾶς τοῦ θανάτου ὀργῆς, καὶ τῆς ἀπροσδοκήτου ταύτης ῥομφαίας. Ἵνα διὰ τῆς ἀπαλλαγῆς ταύτης καὶ ἀνέσεως, δοξάσωμέν σε τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὴν μίαν θεότητά τε καὶ βασιλείαν, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας. Ἀμήν.

A juxta grandiloquum Isaiam : et montes collesque timore tuo correpti concutiuntur et contremiscunt. Desine itaque nobis irasci, captivitatem nostram ab impiorum servitute immuta; sed et aliam quam mente subiimus, tempestate et procellis tentationum acti sub spiritualis Pharaonis tyrannide, dissolve ; neque enim in utroque homine actionis gratiarum canticum in terra aliena tibi personare possumus. Memento igitur nostri, Domine, in misericordia et miserationibus, angelum fidelem custodem, cui vita nostra commissa est, ab hoc tremendo lethi flagello, et inexspectata hac calamitate nos eductuum ad nos mitte, ut libertate et vitæ securitate concessa, te Patrem, et Filium, et sanctum Spiritum celebremus, unam divinitatem et regnum; cui convenit omnis gloria, honor et adoratio in sæcula. Amen.

B

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ, ὑπὲρ τοῦ Χριστωνύμου Λαοῦ.

Σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν ἐκτενῶς τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα ἱλέῳ ὄμματι ἐπιβλέψῃς ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου σπλαγχνισθεὶς ἐφ' ἡμῶν καὶ τὴν ἡμετέραν γῆν ἐξερημωθεῖσαν διὰ τὰς ἀνομίας ἡμῶν, καὶ αἰχμάλωτον γεγονυῖαν καὶ δούλην τοῖς πολεμίοις, ἐπευδοκήσῃς ἐπανελθεῖν εἰς τὴν προτέραν ἐλευθερίαν, καθάπερ ποτὲ, καὶ τοῦ παλαιοῦ Ἰακὼβ ἐκείνου τοῦ φέροντος τύπον τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Θεοῦ ἡμῶν εὐδοκίᾳ, καὶ θελήσει τῇ σῇ ὑποστρέψαντος τοὺς οἰκογενεῖς ἅπαντας πρὸς τὰ ἐπηγγελμένα τῶν ὑποσχημένων σου ἀγαθῶν ἐπανήγαγες. Καὶ γὰρ ἐπ' ἐκείνων τῇ συνήθει σου φιλανθρωπίᾳ χρώμενος, ἀφῆκας τὰς ἀνομίας αὐτῶν, κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου, ἐπίστρεψον τοίνυν καὶ ἡμᾶς ὁ Θεὸς, καὶ τῶν σωτηρίων σου ἐντολῶν φροντίζειν ἀξίωσον, ἀπόστρεψον τὸν θυμὸν ἀφ' ἡμῶν, μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν, ἢ διατελνῃς τὴν ὀργήν σου, ἀπὸ γενεᾶς εἰς γενεάν. Ὁ Θεὸς σὺ ἐπιστρέψας ζώωσον ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται. Δεῖξον καὶ ἐν ἡμῖν τὸ ἔλεός σου, καὶ ἀκουσόμεθα εἰρήνην καὶ ἀγαλλίασιν ἐπὶ σέ. Ναὶ, Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου ἐν τῇ ὥρᾳ ταύτῃ, τοῦ κατασκηνῶσαι δόξαν καὶ εἰρήνην ἐν τῇ γῇ ἡμῶν. Τῇ γὰρ σῇ συνάρσει καὶ βοηθείᾳ θαῤῥοῦντες ἡμεῖς οἱ ἀνάξιοι, ἐλπίζομεν ἔλεος καὶ ἀλήθειαν ἔμπροσθεν ἡμῶν προπορεύεσθαι. Ἐκτός σου γὰρ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν, καὶ μὴ ἀποστραφῇς ἡμᾶς εἰς τέλος, ἀλλ' ἐξεγέρθητι, καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ταπεινῶν, καὶ ὡς ἀμνησίκακος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν. Στῆσον τὴν καταιγίδα τῶν συμφορῶν· ἄνες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὅπως τῇ ἀνέσει τῶν συμφορῶν, δοξάσωμέν σε Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν τῷ μονογενεῖ σοῦ Υἱῷ, καὶ τῷ ἁγίῳ σου Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Alia ejusdem oratio pro Christiano populo.

Te rogamus et intense precamur Deum et Patrem Domini nostri Jesu Christi, ut oculo propitio misericordia motus super populum tuum et super hæreditatem tuam respicias, et terram nostram, jam propter iniquitates nostras desolatam, captivam servamque hostibus factam in pristinam asseri libertatem tibi complaceat, sicut antiquo Jacob unigeniti Filii figuram præferenti, placito imperioque tuo in suam patriam reverso, incolas omnes in promissorum sibi bonorum possessione restituisti! Erga illos namque omnes solita tibi humanitate usus cunctas eorum iniquitates remisisti, iram placasti, a furoris tui impetu eos alienos fecisti. Converte nos itaque, Deus noster, et sacutarium mandatorum tuorum satagere nos concede; averte a nobis iram tuam, neque in æternum irascaris nobis, aut iram tuam in generationem et generationem extendas. Deus, tu conversus vivificabis nos, et plebs tua lætabitur in te. Ostende de nobis misericordiam tuam : et pacem exsultationemque in te audiemus. Ita Domine, exaudi nos peccatores et inutiles servos tuos in hac hora, ut gloria et pax in terra nostra inhabitet. Tua enim ope et subsidio freti nos indigni, misericordiam pacemque, faciem nostram præcessuras, speramus. Præter te alium ignoramus, nomen tuum invocamus, ne avertas nos in finem, sed suscitare, et exsurge in nostri peccatorum et humilium occursum : et ut malorum immemor, et pœnitentiam agens super malitiis nostris, converte captivitatem nostram, et calamitatum nostrarum procellam comprime. Dimitte nobis delicta nostra : ut in harum afflictionum relaxatione collaudemus te Patrem Domini Jesu Christi, cum unigenito Filio tuo, et cum sancto Spiritu : nunc et semper, et in sæcula, etc.

C

D

Alia ejusdem oratio in imperatorem, et in ejus exercitum.

Domine Deus noster, qui solo sapientiæ tuæ verbo cuncta condidisti, et e nihilo ad esse illa adducta inflexibili tua virtute conjungis et componis : cuncta enim tibi facilia sunt, et tibi impossibile nihil est : propterea que momenta, tempora et annos in unum conferens et coordinans, visibilem hunc mundum imperio tuo exornas : qui cœlum expandis, et velut tabernaculum illud sub Moyse coloribus distinguis; qui prius multitudinem illam, et numerosam in millia Judæorum gentem in ordine et concordia continuisti, et Moysem ipsum dextera tua et brachio robusto populi ducem constituisti; una illis potestate tradita, et protectione fortique manu illis semper intactis, servatis : qui solem in diei lucem, et lunam in noctis potestatem posuisti, qui numerum astrorum in firmamento nexu solido condensasti, illisque ordine dispositis, terminoque eorum præfixo, ne ulla ratione nos lædant, sed ut cursu et motu ad nutum tuum impigre rotentur, perpetuum injunxisti motum, qui terram prius occultam et obscuram mox in lucem eductam propter hominum genus multiformi venustate depinxisti; qui virtute tua, te Abrahæ comitem, subactis eis cunctis hostibus, in itinere

Εὐχὴ εἰς βασιλέα καὶ εἰς στρατόν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα μόνῳ τῷ λόγῳ δημιουργήσας, καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι ταῦτα παραγαγών, καὶ εἰς ἓν συνάψας καὶ συναθροίσας τῇ ἀῤῥήτῳ σου δυνάμει καὶ ἐνεργείᾳ. Πάντα γὰρ δυνατά σοι· ἀδύνατεῖ δέ σοι οὐδέν. Καὶ διὰ τοῦτο καιροὺς καὶ χρόνους καὶ ἐνιαυτοὺς συνάψας καὶ συναρμόσας τῷ σῷ βουλήματι, καὶ κατακοσμήσας τοῦτον τὸν ὁρώμενον καὶ βλεπόμενον, ὁ τὸν οὐρανὸν ἐξαπλώσας, καὶ χρωματίσας καθὰ καὶ τὴν σκηνὴν ἐκείνην διὰ Μωσέως, καὶ τὸ πλῆθος ἐκεῖνο καὶ μυριάριθμον γένος τῶν Ἰουδαίων καταστείλας ἐν τάξει καὶ ὁμονοίᾳ, καὶ τὸν Μωσῆν ἐπ' αὐτοῖς διὰ τῆς σῆς δεξιᾶς καὶ βραχίονος ἰσχυροῦ δημαγωγὸν καταστήσας. Καὶ μίαν ἀρχὴν αὐτοῖς δούς, καὶ διατηρήσας αὐτοὺς ἀβλαβεῖς ἐν τῇ σῇ σκέπῃ καὶ κραταιᾷ χειρί, ὁ τὸν ἥλιον θέμενος εἰς φῶς τῆς ἡμέρας, καὶ τὴν σελήνην εἰς ὀρχὰς τῆς νυκτὸς, ὁ τὴν πληθὺν τῶν ἀστέρων ἐπὶ τοῦ στερεώματος καταπυκνώσας τῇ στεγανότητι, καὶ τὴν ἀεικίνητον δοὺς αὐτοῖς κίνησιν, καὶ ἐν τάξει θέμενος τούτους τῷ σῷ προστάγματι φυλάσσειν τὸν ὅρον αὐτῶν, ὡς μὴ καὶ σύνολον ἡμᾶς περιβλάψαι, ἀλλὰ τῷ δρόμῳ καὶ τῇ κινήσει τρέφειν ἀσχνὸς κατὰ τὸ σὸν βούλημα, ὁ τὴν γῆν ἀόρατον οὖσαν τῷ πρὸ-

(1) *Εὐχὴ εἰς βασιλέα καὶ εἰς στρατόν.* Orationem non minus quam arma capessere, aciem educturi, et cum hostibus signa collaturi, Christiani principes censuerunt. Hoc pietatis exemplum, et subjectionis erga Deum, cujus prosper bellorum successus, numus est, cunctis Christiano nomine regibus insignitus, primus inter principes Christianos Constantinus reliquit, qui referente Eusebio Vitæ ejus lib. II. cap. 4, Συνήθως ἐφ' ἑαυτῷ πρὸ τῆς μάχης σκηνοποιούμενος ταῖς πρὸς Θεὸν εὐχαῖς τὴν σχολὴν ἀνετίθει· *De more suo ante initum prælium in tabernaculo separato* (e monte nimirum ad hunc ecclesiæ exstructo a sacerdotibus et diaconis custodito) *tempus precibus ad Deum fundendis libenter addixit.* Non enim oportere arbitrabatur, hastis uti et rerum suarum spem in armis, aut corporum viribus ponere : sed universitatis Deum rerum omnium bonarum, et ipsius vitæ auctorem agnoscere, cui convenit expansis in cœlum manibus, et subditis in altum mentis oculis, constitutas preces reddere. Κἀκεῖνον ταῖς εὐχαῖς νίκης θυτῆρα, καὶ σωτῆρα, φύλακά τε, καὶ βοηθὸν ἐπιοῦσιν, *ut illum victoriæ largitorem, et conservatorem, custodem nobis adjutoremque precibus imploremus.* Καὶ τῆς εὐχῆς τοῖς στρατιώταις ἅπασι διδάσκαλος ἦν, αὐτὸ Ῥωμαϊκὰ γλώττῃ τοὺς πάντας ὧδε λέγειν ἐκέλευεν. *Formulam vero precandi ipse omnibus militibus præscripsit, mandavitque ut Latina lingua illa omnes precarentur :* Te solum Deum agnoscimus, te legem profitemur, te adjutorem invocamus, per te victorias consecuti sumus, per te hostes superamus, ab te et præsentem felicitatem consecutos fatemur, et futurum auctoros speramus : tui omnes supplices sumus, ab te petimus ut Constantinum imperatorem nostrum, una cum prole ejus liberis diutissime nobis salvum et victorem conservet. Τοιαῦτα κατὰ τὴν τοῦ φωτὸς ἡμέραν πράττειν τὰ στρατιωτικὰ σώματα, καὶ τοιαῦτα ἐοίκασιν ἐν ταῖς πρὸς Θεὸν εὐχαῖς ἀφιέναι φωνάς· *Ejusmodi fere sanciebat, a militibus luciana die dominica peri : talesque ab eis voces in divinis precibus adhiberi.* His rudimentis [illegible] Orientis imperatores edocti, vix aut nunquam prætermissa oratione ad expeditionem profecti sunt, quam eorum pietatem celebrant Zonaras, Gregoras, lib. V, Nicetas lib. VI, et alii. Ut eorum in hostes esset τελεσιουργὸς ὁρμή, *Ecclesiasticis benedictionibus consecrata in hostes irruptio et omnium sacer impetus,* juxta Gregoræ verba lib. III. Et ad Constantini exemplum Mauricium imp. jam ab antiquo lib. V, cap. ult. describsit Simocatta, Ἐπὶ τὸ μέγα τῆς Ὀρησκείας καταπανυχιζόμενον τέμενος, καὶ λιτάζόμενον ἅμα τῷ λαῷ εἰς τὴν πρὸ τοῦ ἄστεος τῆς Θεομήτορος οἰκίαν δημιρεύοντα μυσταγωγούμενον, καὶ τῆς Θεανδρικῆς μεταλαγχάνοντα παιδαίας· *In amplo Christianæ religionis templo nocte integra preces fundentem, et die sequente toto ad Dei matris ædem supplicationes cum populo peragentem cœlestisque convivii cibo sese pascentem,* ut robustior in hostes irrueret. Byzantium idem reversus et lato nuntio accepto : Ἐπὶ τὸ τοῦ Θεοῦ μέγιστον ἀνὰ τὴν πόλιν ἐπανύχιζε τέμενος, εἶτα μετὰ τοῦ λεῴ τὰς ἱκετηρίας ἐχαῖς ποιησάμενος ἤδιον τὸ θεῖον ἐπισημότερα δοῦναι τὰ τρόπαια· *In amplissimo urbis templo pervigilium egit, deinde ad supplicationem cum populo abiens, Deum precatur ut illustriora tropæa largiretur.* Et quod de Constantino Leonis filioso, hi filio, ad pugnam ituro scripsit Cedrenus ne omni alio dictum putes. Ἔξεισι Κωνσταντῖνος ὁ βασιλεὺς ἐν τῷ τοῦ Ὀλύμπου ὄρει ταῖς τῶν ἐκεῖσε Πατέρων εὐχαῖς, καὶ μετ' αὐτῶν κατὰ Σαρακηνῶν ἐκστρατεύσας· *Exit imperator Constantinus ad Olympum montem, ut Patrum qui ibi vivebant comprecationibus armatus, contra Saracenos expeditionem susciperet.* Quia vero, quod de Mauricio scriptum reliquit Simocatta : Τὸ ξύλον τοῦ σταυροῦ τοῦ Χριστοῦ ἐς ὕψος ἐπὶ δόρατος Χρυσοῦ ἀπῃωρεῖτο καὶ προηγεῖτο τοῦ τε βασιλέως καὶ τῆς περιπόλου δυνάμεως· *Lignum crucis Christi super hastili aureo sublime portabatur, imperatoremque et circumfusum militem antecedit :* orationem in hujusmodi signo cauto et accipiendo rectam schiam subnecutus.

τον καὶ σκοτεινὴν ἀνακαλύψας, καὶ εἰς κάλλος αὐτὴν ἀναμορφώσας διὰ τὴν τῶν ἀνθρώπων φύσιν, ὁ τῷ Ἀβραὰμ ἐκείνῳ ποτὲ συνοδεύσας θείᾳ σου δυνάμει, καὶ τοὺς ἐχθροὺς αὐτοῦ παραδοὺς ὑποχειρίους αὐτοῦ, ὁ τὸν Γεδεὼν ἐνισχύσας τοὺς ὑπεναντίους πανολεθρίᾳ συντρίψας καὶ ἀφανίσας, ὁ τῷ βασιλεῖ καὶ προφήτῃ Δαβὶδ τὸ κράτος δοὺς κατὰ τοῦ παλαμναίου ἐκείνου Γολιὰθ, καὶ εἰς τέλος αὐτὸν ἀφανίσας, ὁ διὰ τοῦ θεράποντός σου Μωσέως τὸ γένος τῶν Ἑβραίων ἐλευθερώσας τῆς πικρᾶς δουλείας, καὶ τὸν Φαραὼ τῇ ἁμάχῳ σου δυνάμει καὶ κραταιᾷ σου χειρὶ παντστρατὶ καταποντίσας, καὶ παραπέμψας αὐτὸν τῷ βυθῷ τῆς θαλάσσης καὶ τὸν στύλον τοῦ φωτὸς ὁδηγὸν αὐτοῖς ἐπιδείξας, ἵνα μὴ προσκόψωσιν οἱ πόδες αὐτῶν· αὐτὸς καὶ νῦν, ἅγιε Βασιλεῦ τῆς δόξης, ἐξαπόστειλον ἐξ ἁγίου κατοικητηρίου σου ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου στύλον φωτοειδῆ καὶ ὑπέρλαμπρον, εἰς ὁδηγίαν κατ' ἐχθρῶν ὁρωμένων καὶ ἀοράτων νίκην, τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ἐνίσχυσον αὐτὸν τῇ δεξιᾷ σου χειρὶ, καὶ τοὺς σὺν αὐτῷ πορευομένους πιστοὺς δούλους σου καὶ οἰκέτας, καὶ παράσχου αὐτῷ εἰρηνικὸν καὶ ἀτάραχον τὸ βασίλειον καὶ πάσης στάσεως καὶ ἐμφυλίου πολέμου ἀνώτερον. Ναὶ, Κύριε ὁ Θεὸς τοῦ ἐλέους, ἐπάκουσόν μου τοῦ ταπεινοῦ καὶ ἀναξίου δούλου σου, ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ κραταίωσον μὲν αὐτὸν τῇ ἁμάχῳ σου καὶ ἀηττήτῳ δυνάμει, τὰ δὲ τούτου στρατεύματα ἐνίσχυσον παντοχοῦ, καὶ διάλυσον τὰς ἐχθρὰς ἐπαναστάσεις τῶν ἐπανισταμένων τῷ κράτει αὐτοῦ. Σύναψον αὐτοὺς ἐν ὁμονοίᾳ καὶ ὑποταγῇ δικαίᾳ, καὶ εἰρήνην βαθεῖαν καὶ ἀστασίαστον ἔν τε γῇ καὶ θαλάσσῃ αὐτῷ βράβευσον, καὶ πάντα πρὸς τὸ συμφέρον ἐπιχορήγησον· ἵνα τὰς ἐπεγειρομένας μάχας καὶ θορύβους ἀποσεισάμενοι, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάσωμέν σε τὸν τῶν θαυμασίων Θεόν. Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A præbuisti, qui profligandis et delendis adversariis Gedeonem in prælio animasti, qui regi et prophetæ David adversus veteratorem illum Goliath, robore viribusque collatis, victoriam etiam præbuisti; qui Hebræorum gentem amara servitute per Moysem famulum tuum in libertatem asseruisti, et inexpugnata tua virtute validaque manu Pharaonem cum toto ejus exercitu in maris profundo demersisti, columnaque lucis viæ duce præmonstrata, ne pedibus offenderet, Israelem eripuisti. Ipse nunc rex gloriæ sancte, de sancto habitaculo tuo, de throno gloriæ regni tui, lucidam splendidamque columnam in ducem et victoriam adversus hostes visibiles et invisibiles potentis et sancti mei imperatoris mitte : et dextra tua manu illum, fidelesque tuos B servos et famulos cum eo progressos, corrobora; pacificumque et a tumultu securum omnique seditione et civili bello, regnum superius confer. Fiat, Domine Deus misericordiæ, me humilem et indignum famulum tuum in hora hac exaudi : animum illi inexpugnatæ et invictæ virtutis præbe, cunctasque ejus acies confirma, et aversarios insultus ejus potentiæ obsistentes dissolve. In concordia et æqua subjectione cunctos ei subditos compone, profundaque et omni motu aliena pace in terra et in mari illi concessa, cuncta ad utilitatem conferentia subministra : ut præliis et tumultibus depulsis, uno ore et uno corde te mirabilium patratorem Deum glorificemus. Tu enim es Rex pacis, et C Salvator animarum nostrarum, et tibi gloriam referimus Patri, et Filio, et sancto Spiritui : nunc et semper, et in sæcula sæculorum. Amen.

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ εἰς τὴν ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ (2).

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστεῖλαι καταδεξάμενος καταδεξάμενον πάντα παθεῖν διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν, καὶ σταυρὸν καὶ θάνατον ὑπομεῖναι ἐποίησας, ἵνα τῆς τοῦ θανάτου πικρᾶς ἡμᾶς τυραννίδος ἐλευθερώσῃ, ὑψώσῃ δὲ πάντας εἰς ἑαυτὸν διὰ τοῦ τιμίου καὶ ζωοποιοῦ D σταυροῦ προσκυνήσεως, τοῦ ἁμάχου ὅπλου καὶ ἀηττήτου· σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν τὸν Πατέρα τοῦ ἐνυποστάτου, καὶ συναϊδίου καὶ συνδεδοξα-

Aliera ejusdem oratio in pretiosæ et vivificæ crucis elevationem.

Domine Deus noster, qui Filium tuum unigenitum cuncta pro generis nostri salute perpeti paratum in mundum mittere, crucemque et mortem subire voluisti, ut nos amara mortis tyrannide eriperet, cunctosque ad se per pretiosa et vivificæ crucis, insuperatæ et invictæ armaturæ adorationem allieeret : te rogamus et precamur Patrem subsistentis in te coæterni et glorificandi tecum Verbi, ut per hujusmodi vivificam crucem Christia-

(2) *Εἰς ὕψωσιν τοῦ*, etc. Huic orationi faciendæ causam dedit imperii Græci decidens in dies gloria, et imperatorum in venerandam crucem devotio summa, et concepta de illa in bellorum periculis fiducia, qua plurimæ cœlitus illis concessæ fuere victoriæ. Apparente namque illa sublimi in aere, postquam ejus signo labarum Romanum Constantinus insignivit, et de Licinio tyranno triumphum egit, illud in veneratione habitum in bellis semper prætulerunt imperatores Romani. Hinc celebres illæ victoriæ crucis auxilio comparatæ, hinc ei cum imagine Virginis Nicopœæ curru regio vectæ, triumphales honores delati, hinc et tropæa, et laudes epiniciæ decantatæ : hinc tandem inter alia tria sacra flammula, medius ei digniorque locus in exercitu deputatus : de quo Codinus, *De off. curiæ Constant.* Ἄλλο Φλάμουλόν ἐστι σταυρὸς ἔχων εἰκόνας τῶν ἁγίων τεσσάρων μεγάλων μαρτύρων Δημητρίου, Προκοπίου, καὶ τῶν Θεοδώρων. *Aliud Flamulum crux est, habens imagines* (in quatuor extremis brachiis) *qua nor sanctorum magnorum martyrum, Demetrii, Procopii, et utriusque Theodori* : στρατηλάτου videlicet et τύρωνος. Educto vero exercitu cum imperator hostes aggressurus procederet, in altum oratione præmissa erigebatur, et in conflictu pontifici, vel præcellenti Ecclesiæ ministro committebatur gestandum.

norum gentem in unum concilies consensum; piisque et Christum amantibus imperatoribus non adversus invisibiles modo, sed et visibiles eorumque potestati oppositos hostes, tropæa victoriasque impertiaris. Per crucem siquidem direptus est infernus, portæ paradisi sunt reseratæ, ad cœlum via facta est libera, et altissimi ad dexteram consessum consequi exspectamus. Per eam sanctus factus est aer, renovata est creatura, cœlestia cuncta et terrestria in unam compacta sunt Ecclesiam. Per eam reges imperant, per eam martyrum chorus, pontificum caterva, monachorum gloria, sacerdotum decor, mulierum honestas, cuncta denique per eam ejusque venerationem diriguntur. Ita Domine Deus noster, misericordiarum Pater, pietatis fons, clementiæ abyssus investiganda, exaudi me peccatorem et indignum servum tuum in hac hora, virgamque peccatorum adversus justorum sortem, et desideratæ hæreditatis partem, extensam comprime : et ne tradas nos in finem propter nomen tuum sanctum : sed amanti Christum imperatori nostro calamitatum eum detinentium relaxationem, et angustiarum, tumultuum et seditionum in eum ingruentium liberationem concede : brachium ejus corrobora, regnum ejus confirma, fines imperii expande, et sub ejus pedibus insurgentes in eum substerne. Angelicis castris circumvalla illum, profundam securamque pacem illi concede, ut et nos præliis tumultibusque cunctis excussis, quietam et tranquillam vitam agamus, in omni pietate et honestate, uno corde et ore uno laudantes et celebrantes te solum verum Deum nostrum; virtute pretiosæ et vivificæ crucis, intercessionibus super omnes benedictæ Deiparæ et omnium sanctorum. Amen.

A σμένου Λόγου, ὡς ὃν διὰ τοῦ τοῦ ζωοποιοῦ σταυροῦ εἰς μίαν συνάψῃς ὁμόνοιαν τὸ τῶν Χριστιανῶν γένος, διωρούμενος τοῖς εὐσεβέσι καὶ φιλοχρίστοις βασιλεῦσι τρόπαια καὶ νίκας, οὐ μόνον κατὰ τῶν ἀοράτων ἐχθρῶν, ἀλλὰ καὶ κατὰ τῶν ὁρωμένων καὶ ἀντικαθισταμένων τῷ κράτει τῆς βασιλείας αὐτῶν. Δι' αὐτοῦ γὰρ ὁ ᾅδης ἐσκύλευται, πύλαι τοῦ παραδείσου ἠνοίχθησαν, ἡ πρὸς οὐρανοὺς ἄνοδος ἡμῖν γέγονε. Δι' αὐτοῦ τῆς δεξιᾶς τοῦ Ὑψίστου παραστάσεως τυχεῖν ἐλπίζομεν. Δι' αὐτοῦ ὁ αἰθὴρ ἡγιάσθη, ἡ κτίσις ἀνεκαινίσθη, τὰ οὐράνια πάντα καὶ ἐπίγεια εἰς μίαν συνήφθησαν Ἐκκλησίαν. Δι' αὐτοῦ βασιλεῖς βασιλεύουσι, δι' αὐτοῦ μαρτύρων χορὸς, ἀρχιερέων ὁμήγυρις, μοναζόντων δόξα, ἱερέων εὐπρέπεια, γυναικῶν σεμνότης, καὶ πάνθ' ὅσα τοιαῦτα B δι' αὐτοῦ κατορθοῦνται, καὶ τῆς αὐτοῦ προσκυνήσεως. Ναὶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, ἡ τοῦ ἐλέους πηγὴ, καὶ τῆς φιλανθρωπίας ἀνεξιχνίαστος ἄβυσσος, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ στῆσον ἐπεκτεινομένην ἤδη ῥάβδον τῶν ἁμαρτωλῶν κατὰ τοῦ κλήρου τῶν δικαίων, καὶ τῆς μερίδος τῆς ἐπιθυμητῆς κληρονομίας σου, καὶ μὴ παρδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ ἅγιον· ἀλλὰ δώρησαι τῷ φιλοχρίστῳ βασιλεῖ ἡμῶν ἄνεσιν τῶν κατεχόντων αὐτὸν ἀνιαρῶν, καὶ ἀπαλλαγὴν τῶν ἐπεχουσῶν συμφορῶν, καὶ θορύβων, καὶ στάσεων. Ἐνίσχυσον αὐτοῦ τὸν βραχίονα, κράτυνον τῆς γῆς αὐτοῦ τὰ σχοινίσματα, καὶ τοὺς ἐπανισταμένους αὐτῷ ὑπόταξον ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἀγγελικαῖς C παρεμβολαῖς αὐτὸν περιφρούρησον, χάρισον αὐτῷ τὴν βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· ἵνα καὶ ἡμεῖς τὰς ἐπιγινομένας μάχας καὶ θορύβους ἀποσεισάμενοι, ἥρεμον καὶ ἥσυχον βίον διάγωμεν ἐν πάσῃ εὐλαβείᾳ καὶ σεμνότητι, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζοντες καὶ εὐλογοῦντές σε τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, πρεσβείαις τῆς ὑπερευλογημένης Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

Alia ejusdem oratio in sacri templi dedicatione.

Domine Deus noster, qui creaturam omnem solo verbo conditam ad esse perduxisti, inenarrata vero ratione varie illam exornasti; qui expansum super eam Spiritum tuum contraxisti, et solare lumen in ejus initiationem super eam effudisti; qui famulo tuo Moysi, ut præcipuam laudem aliquam opificio tuo excellentissimo adjungeret inspirasti, ita ut diceret vidisse te lucem, quod esset bona, eamque diem vocasse : quam etiam nos contemplati, lucidissimumque hunc solem cunctam creaturam diebus singulis initiantem, te tunc diei veri solem, lucemque occasum nescientem celebramus, qui per Filium tuum naturam nostram consecrati sancto tuo Spiritu voluisti, ita ut ejus dono plusquam sol ipse, justi effulgeant : te rogamus, et te precamur Patrem Verbi, et Dominum Deum nostrum, ut postquam ineffabili tua humanitate et immensa misericordia, creatura cuncta initiationem suscepit, et vetus lex in novi Testamenti

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ εἰς τὰ ἐγκαίνια τοῦ θείου ναοῦ.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν κτίσιν μόνῳ τῷ λόγῳ δημιουργήσας, καὶ εἰς τὸ εἶναι παραγαγὼν, ἀῤῥήτοις δὲ λόγοις ποικίλως ταύτην διαμορφώσας, ὁ τὸ ἐπιφερόμενον ἐπ' αὐτῇ σὸν Πνεῦμα συστείλας, καὶ τὸ ἡλιακὸν τοῦτο φῶς ἐπ' αὐτὸν ἐκχέας, εἰς τοῦτον τὸν ἐγκαινισμὸν, ὁ τῷ θεράποντί σου Μωσεῖ ἐμπνεύσας ἔπαινόν τινα ἐξαίρετον προσθεῖναι τῇ ἀρίστῃ σου δημιουργίᾳ, καὶ εἰπεῖν· ἰδεῖν σε τὸ φῶς, ὅτι καλὸν, καὶ ἡμέραν τοῦτο καλέσαι· ὅπερ δὴ καὶ ἡμεῖς ὁρῶντες, καὶ τὸν φανότατον τοῦτον ἥλιον ἐγκαινίζοντα καθ' ἑκάστην τὴν κτίσιν, σὲ τὸν τῇ ὄντως ἡμέρας δοξάζομεν ἥλιον, καὶ τὸ φῶς σου τὸ ἀνέσπερον. Ὁ διὰ τοῦ Υἱοῦ σου ἡμῖν ἐντειλάμενος ἐγκαινισθῆναι τὴν ἡμετέραν φύσιν τῷ ἁγίῳ σου Πνεύματι, ὥστε καὶ διὰ τῆς δωρεᾶς ταύτης τοὺς δικαίους ἐκλάμψειν κατὰ τὸν ἥλιον, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, τὸν Πατέρα τοῦ Λόγου, τὸν Κύριον καὶ Θεὸν ἡμῶν, ἐπειδὴ τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ, καὶ τῷ ἀμετρήτῳ σου ἐλέει, ἡ κτίσις τὸν

ἐγκαινισμὸν ἐδέξατο καὶ ὁ παλαιὸς νόμος εἰς τύπον τῆς νέας Διαθήκης ἐν τῇ παρὰ τῷ Σινᾷ ὄρει σῇ Θεοπτείᾳ, καὶ ἐν τῇ βάτῳ ἐκείνῃ τῇ θαυμαστῇ, καὶ ἐν τῇ τοῦ μαρτυρίου σκηνῇ, καὶ ἐν τῷ τοῦ Σολομῶντος ἐκείνου περικαλλεστάτῳ ναῷ, ἴδε ὄμματι ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς κατοικοῦντας τοῦτον τὸν οἶκον τὸν οὐρανομήκη, τὸ τῆς οἰκουμένης καύχημα, τὸ θυσιαστήριον τὸ ἀληθινὸν τῆς σῆς ἀῤῥήτου δόξης, καὶ κατάπεμψον τὸ πανάγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν κληρονομίαν σου, καὶ κατὰ τὸν θεῖον Δαβὶδ, ἐγκαίνισον ἐν ταῖς καρδίαις ἡμῶν πνεῦμα εὐθὲς, καὶ πνεύματι ἡγεμονικῷ στήριξον ἡμᾶς. Καὶ τοῖς μὲν βασιλεῦσι ἡμῶν τρόπαια καὶ νίκας κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν δώρησαι· ἡμῖν δὲ, ὁμόνοιαν καὶ εἰρήνην, τοῖς δὲ τὴν οἰκοδομὴν ταύτην καὶ τὸν τοῦ ναοῦ ἐγκαινισμὸν ἔρωτι θείῳ ποιησαμένοις διὰ σπουδῆς, ἄφεσιν τῶν πλημμελημάτων παράσχου· δώρησαι αὐτοῖς τὰ πρὸς σωτηρίαν αἰτήματα, ἔγειρον αὐτοὺς εἰς τὴν ἐργασίαν τῶν ἐντολῶν σου, χάρισαι αὐτοῖς τὸν ἐγκαινισμὸν τῆς δωρεᾶς τοῦ ἁγίου σου Πνεύματος· ἵνα ἀκατακρίτως προσκυνῶσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων ἁγίων σου. Ἀμήν.

figuram, tua divina apparitione in monte Sina, et in mirando illo rubo, et in testimonii tabernaculo, et in speciosissimo Salomonis templo consecrata est; ita nos peccatores et indignos famulos tuos domum hanc velut cœlum protensam, terræ decus, et ineffabilis tuæ gloriæ altare verum incolentes oculo propitio respicias: et sanctissimo tuo Spiritu super nos et super hæreditatem tuam juxta divinum David demisso, innova in cordibus nostris rectum spiritum, et spiritu principali nos confirma. Et imperatoribus quidem nostris tropæa victoriasque adversus visibiles atque invisibiles hostes concede, nobis autem summo divini amoris studio fabricam hanc ejusque consecrationem celebrantibus, concordiam et pacem, et delictorum indulgentiam præbe: saluti postulata conducentia præbe, ad mandatorum tuorum exsecutionem cunctos excita, doni sancti tui Spiritus initiationem largire, ut incondemnate te Deum verum, et quem misisti Jesum Christum colant; precibus Deiparæ et omnium sanctorum. Amen.

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ εἰς ἐγκαίνια ναοῦ.

Προαιώνιε Λόγε, καὶ Υἱὲ μονογενὲς τοῦ Θεοῦ, Θεὲ ἀληθινὲ, δημιουργὲ πάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς, ὁ ταύτην τὴν κτίσιν πανσόφως καθωραΐσας, ὁ τὴν ἐπάνω τῆς γῆς ὑγρὰν καὶ διαλελυμένην τῶν ὑδάτων φύσιν εἰς μίαν συναγωγὴν καὶ συνάθροισιν ἀγαγών, καὶ τῷ θείῳ σου Πνεύματι τῷ ἐπάνω τοῦ ὕδατος ἐπιφερομένῳ τὴν γῆν πᾶσαν κατακοσμήσας, καὶ τὸν κόσμον ἅπαντα ἐγκαινίσας, ὁ τὴν σκηνὴν τοῦ μαρτυρίου ἐκείνην τεχνικῶς κατασκευάσας διὰ Μωσέως, καὶ Πνεύματί σου ἁγίῳ ἐγκαινίσας αὐτὴν, ὁ τῷ σοφῷ Σολομῶντι προστάξας οἰκοδομῆσαι οἶκον ἅγιον καὶ περιφανῆ τῆς σῆς ἀφράστου καὶ ἀνεκδιηγήτου δόξης, καὶ τοῦτον ἐγκαινίσας τῷ Πνεύματί σου τῷ ἁγίῳ, καὶ τῆς ἐπικαλυψάσης αὐτὸν τότε δόξης, καὶ χάριτος τοῦ ἁγίου σου Πνεύματος, πάντας τοὺς τῆς γερουσίας ἐκείνης τῶν Ἰουδαίων θεατὰς γενέσθαι παρασκευάσας· σοῦ δεόμεθα καὶ παρακαλοῦμεν, ἄναρχε Λόγε, καὶ Υἱὲ τοῦ ἀνάρχου Πατρὸς, ἵνα καὶ ἡμῖν ἐν τῇ ὥρᾳ ταύτῃ καταπέμψῃς τὴν χάριν τοῦ παναγίου σου Πνεύματος, καὶ τὸν νῦν ἐγερθέντα ναὸν εἰς σὴν δοξολογίαν καὶ ἔπαινον στηρίξῃς καὶ ἐνδυναμώσῃς φυλάττων αὐτὸν ἕως τῆς τῶν αἰώνων συντελείας, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ τοῦτον ἐγκαινίσῃς, ὡς ἂν ἐν αὐτῷ τὰς ἀναιμάκτους θυσίας προσφέροντές σοι, μέτοχοι γενώμεθα τοῦ ἁγίου Πνεύματος, ἐγκαινισθέντος ἐν τοῖς ἐγκάτοις ἡμῶν, καὶ τὸ τῆς διανοίας ἡμῶν ἡγεμονικὸν στηρίζοντος, καὶ παρέχοντος μυστικῶς τὰς νοερὰς θυσίας διὰ τῆς καθάρσεως τοῦ νοὸς, προσφέρειν σοι τῷ Δεσπότῃ Θεῷ εἰς δόξαν καὶ τιμὴν τοῦ ἀνάρχου καὶ ἀθανάτου Πατρός σου, καὶ σοῦ, τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου, καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ Πνεύματος· νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Alia ejusdem oratio in templi dedicatione.

Verbum æternum, Fili unigenite Dei, Deus vere, creaturæ cunctæ sensibilis et intellectualis opifex, qui mundi fabricam sapientissime exornasti, qui humidam fluxamque aquarum naturam super tellurem expansam in acervum et quasi cumulum unum adduxisti, et divino tuo Spiritu super aquas delato terram omnem decorasti, unaque totum mundum consecrasti, qui etiam testimonii tabernaculum arte summa a Moyse elaboratum initiasti, qui Salomoni et domum sanctam et magnificam ineffabilis et incnarratæ gloriæ tuæ construeret præcepisti, eamque denuo Spiritu tuo sancto gloriaque illam totam obtegente, et sancti Spiritus gratia (Judæorum senatu circumspectante) dedicari mandasti: te rogamus et precamur, Verbum causæ expers et æternum Patris principium nescientis Fili, ut nobis etiam in hac hora sancti Spiritus gratia missa, constructum in laudem et gloriam tuam templum stabilias et confirmes, illudque ad mundi usque consummationem conservandum sancto tuo Spiritu consecratum esse jubeas: ut incruentas in eo hostias tibi offerentes, Spiritus sancti in præcordiis nostris innovandi, et mentis nostræ principem partem confirmaturi, et spirituales hostias per mentis elevationem tibi Deo Domino, in gloriam et honorem principii expertis et immortalis tui Patris, tuique, unigeniti ejus Filii, et sanctissimi, et boni et vivifici Spiritus, offerre largientis, participes esse possimus, nunc et semper, et in sæcula sæculorum. Amen.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΥΧΗ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ ΠΡΟΣ ΤΟΝ ΠΟΙΗΤΗΝ ΚΑΙ ΠΛΑΣΤΗΝ ΗΜΩΝ ΘΕΟΝ

Περιέχουσα πάντα τὰ ἀνθρώπινα πάθη καὶ ἐκφαυλίζουσα.

—

NICEPHORI CALLISTI

XANTHOPULI

PRECATIO CONFESSORIA AD CREATOREM AC PLASMATOREM NOSTRUM

In qua notantur pravi omnes humani affectus (1).

(Opp. Theod. Prodromi, Basil. 1545, 8°.)

—

Ἐξομολογοῦμαι σοι, Πάτερ, Κύριε, ποιητὰ οὐρανοῦ καὶ γῆς, εὔσπλαγχνε μακρόθυμε, φιλάνθρωπε, ὑπεράγαθε, ἀνεξίκακε, πολυέλεε, φιλάγαθε, εὐσυμπάθητε, οἰκτίρμων καὶ ἐλεήμων Θεὲ, σὺ οἶδας, σὺ γινώσκεις τὴν ἡμετέραν ἀσθένειαν, καὶ μᾶλλον ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου οὐρανοῦ καὶ γῆς, ὅτι εἰμὶ ὅλος ῥύπος καὶ μίασμα, παραβαίνων καθ' ἡμέραν καὶ ὥραν τὰς ἁγίας σου ἐντολὰς καὶ τὰ θεῖά σου παραγγέλματα, καὶ πρὸ τοῦ ἀδεκάστου καὶ φοβεροῦ σου βήματος τὸ συνειδός με ἐλέγχει, ὅτι οὐκ ἔστιν ἁμαρτία, ἣν οὐκ ἐποίησα, ἐν λόγῳ, ἐν πράξει, ἐν διανοίᾳ μελέτῃ, ἐν περιέργῳ τῇ θεωρίᾳ, διὰ πάντων μου τῶν αἰσθήσεων, καὶ ἁπλῶς εἰπεῖν τὸν ὅλον μου βίον κατεδαπάνησα, αἰσχρῶς καὶ ἀσώτως διάγων. Καὶ τόσον ἠνέσχετό σου τὸ ὑπεράγαθον ἔλεος, ὅτι οὐδεμίαν ὥραν εἰμὶ ἱκανὸς ἰδεῖν τὸ φῶς σου, καὶ τῶν ποιημάτων σου ἀπολαῦσαι τῶν σοφῶς δημιουργηθέντων δι' ἐμὲ τὸν ἀνάξιον, ὅθεν παρεκίκρανα καὶ παρώργισα τὸ πανάγιον καὶ σωτήριον ὄνομά σου. Τί γάρ ἐστι τῶν ἐν τῷ βίῳ δεινῶν, ὃ διὰ πάντων οὐκ ἔπραξα τῶν μελῶν; Ἀλλ' ἐπεὶ ἄπειρόν σου τὸ ἔλεος, καὶ ἀνεξιχνίαστός σου ἡ ἀγαθότης, καὶ ἡ διὰ τὸν ἁμαρτωλὸν ἐμὲ ἀνοχὴ καὶ μακροθυμία σου, καὶ ἠνέσχου μου ἄχρι καὶ σήμερον, μὴ εἰς τέλος ἐγκαταλίπῃς με. Σὺ γὰρ εἶ ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν τῶν πεπραγμένων ἐλθεῖν, δι' οὓς καὶ ὁ μονογενής σου Υἱὸς, ὁ Κύριος ἡμῶν καὶ Θεὸς, δι' ἄφατον ἔλεος

Coram te animum revelo meum, Pater Domine, creator cœli et terræ, misericors, magnanime, hominum amice, optime, patientissime, misericordiæ auctor, tu cognitam habes debilitatem nostram, magis autem meam peccatoris, qui indignus sum cœlo et terra; qui homo nequam omnibus diebus atque horis mandata tua transgredior cœlestia. Ecce, coram tribunali tuo horrendo conscientia me mea accusat, quod non est peccatum quod non commisi, verbo, actu, cogitationibus, consiliis, per omnes sensus; ut uno verbo dicam, totam vitam quam turpiter et sceleste transegi, et sine summa tua indulgentia per non easem rebus contemplandis quas in sapientia tua creasti ad meam peccatoris indigni utilitatem, qui nomen tuum salutare ac sanctum sæpe sæpius offendi. Quod crimen, ut humane loquar, ego uno aliove membro non patravi? Sed tu, pro infinita tua misericordia et bonitate inexhausta, mihi ad hunc usque diem indulsisti, nec ad finem usque dereliquisti. Tu enim omnes homines salvari et ad tui cognitionem vis pervenire; quare etiam unigenitus tuus Filius ac Dominus noster et Deus, qui pro

(1) Nemo crediderit Nicephorum, in hac Confessione deprecatoria, sua peccata personalia enumerare. Vix enim fieri potest, ut mortalis unus tot sceleris, tot crimina, tot nefanda facinora unquam committat. Voluit nempe auctor, ut ex titulo patet, omnia fere vitia et scelera quibus humana vita, universim accepta, aliquando inquinari potest, recensere. Hæc itaque precatio non ita intelligenda est acsi Nicephorus, vel quispiam alius hujus horrendis peccatis omnibus aliquando fuisset obnoxius, sed ita ut auctor exponere voluerit peccata omnia quibus peccatores etiam maxime rei esse possunt. Habetur videlicet, in hac Confessione deprecatoria, veluti *Examen generale conscientiæ humanæ*, ut aiunt, in forma actus contritionis, ac sinceræ detestationis commissorum peccatorum institutum. Hæc in gratiam auctoris observanda esse putavimus. Textum excudit Basil. expressimus quæ inter mendosiores mendosissima est. Pro posse tamen nostro sanare conati sumus. J.-B. M.

εὐδοκίας σου κλίνας τοὺς οὐρανοὺς κατεβίβηκε, καὶ γυναικὸς ὑπέδυ νηδύν, καὶ ῥάπισμα κατεδέξατο, καὶ σταυρὸν ἤνεγκε, καὶ ταφὴν ἠνέσχετο.

Ἐγὼ γοῦν ὑπὲρ ἅπαντας ἥμαρτον, καὶ πάντας ὑπερέβην ἐν ἀνομίαις. Δι' ἐμὲ γοῦν τὸ πλέον γεγένηται, ὅθεν καὶ ἐν ἐμοί γε γενέσθω σου τὸ ἔλεος θαυμαστόν. Ὑπὲρ γὰρ ἁμαρτωλῶν ἡ εὐδοκία καὶ οἰκονομία σου, καὶ ἡ ἀῤῥήτως αὐτοῦ συγκατάβασις. Σὺ οἶδας, σὺ γινώσκεις τὰ κρύφια τῆς καρδίας μου. Μὴ τοίνυν στήσῃς κατὰ πρόσωπόν μου τὰς ἁμαρτίας μου, ἃς ἔπραξα ἐν λόγῳ, ἐν ἔργῳ, ἐν διανοίᾳ, ἐνθυμήσει, ἐν νυκτὶ, ἐν ἡμέρᾳ, ἑκουσίως, ἀκουσίως, ἐμφανῶς, ἀφανῶς, ἐκ συναρπαγῆς, ἐκ μελέτης, ἐκ συνηθείας μακρᾶς καὶ προσκαίρου, ἐν πάσῃ ἡμέρᾳ τε καὶ ὥρᾳ καὶ στιγμῇ καὶ ῥοπῇ, καὶ ἁπλῶς εἰπεῖν, πάσῃ κινήσει καὶ διαθέσει μου σωματικῇ τε καὶ νοερᾷ. Οἶδας, οἶδας, Κύριε, ὅτι οὐκ ἔστιν ἐπὶ τῆς γῆς ὡς ἐγὼ ἄλλος ἐν ἁμαρτίαις, καὶ ἀσωτίαις, καὶ αἰσχρουργίαις, καὶ οὐκ ἔστιν ἕτερόν τινα εὑρεῖν κατὰ τὰ ἐμὰ ἔργα πολιτευσάμενον, ἀφ' οὗ τόδε τὸ πᾶν παρήγαγες, καὶ ἐκ τοῦ μὴ ὄντος συνέστησας τῷ σῷ τῆς ἐξουσίας θελήματι. Γέγονα παρόμοιος τῷ ἀρχεκάκῳ Σατὰν ὑπὲρ τοὺς προπάτοράς μου, παρέβην τας ἀθανάτους καὶ ἁγίας σου ἐντολὰς, καὶ τῆς τρυφῆς ἐμαυτὸν ἐξέωσα. Ἀδελφοκτόνος ἐγενόμην ὑπὲρ τὸν Κάϊν, τὴν ψυχήν μου θανατώσας· διὰ τοῦ σώματος, ὑπερῆλασα τὸν Λάμεχ, τὸν νοῦν τε καὶ ἐμαυτοῦ τὰς αἰσθήσεις ἀποκτείνας διὰ τῶν αἰσχρῶν ἡδονῶν, ὑπὲρ τοὺς ἐν τῷ κατακλυσμῷ παρηνόμησα. Οὐδὲν πρὸς τὴν ὑπερβολὴν τῶν κακῶν μου οἱ Σοδομῖται, Αἰγύπτιος ἐγενόμην καὶ σκληροκάρδιος πρὸς τοὺς λόγους σου Φαραὼ, ὑπὲρ τοὺς γογγύσαντας ἐν ἐρήμῳ καὶ παραβεβηκότας τὸν νόμον σου ὑπὲρ τοὺς Νινευῖτας ἐνόμησα. Τί πρὸς τὰς ἐμὰς ἐκ διαθέσεως πράξεις ἡ παρανομία τοῦ Μανασσῆ, ἢ ἡ τοῦ Δαυὶδ ἁμαρτία; Ὑπὲρ τὸν λῃστὴν ἥμαρτον, ὑπὲρ τὸν τελώνην, ὑπὲρ τὸν ἄσωτον υἱὸν ἐβίωσα, ὑπὲρ τὸν Πέτρον, ἠρνησάμην σε, ὑπὲρ τὸν ἀμεταμέλητον ἁπλῶς εἰπεῖν ὑπὲρ ἅπαντας, καὶ τοῖς ἀρχηγοῖς τῆς κακίας ἐξωμοιώθην, τοῖς αἰσχροῖς καὶ πονηροῖς δαίμοσιν ἐν πᾶσι τοῖς αὐτῶν θελήμασι κατακολουθῶν. Ἀλλὰ σὺ δεῖξον ἐπ' ἐμὲ τὰ ἐλέη σου· καιρὸς φανῆναί σου τὸ πέλαγος τῆς χρηστότητος. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν ἀνεξικακίας καὶ ἀγαθότητος ὄφθησον. Ἥμαρτον ὡς οὐδεὶς, παρηνόμησα ὡς οὐχ ἕτερος. Μετανοῆσαι ἐφίεμαι, καὶ μίαν ὥραν οὐ δύναμαι στέργειν τὰς ἐμὰς συνθήκας. Ἥμαρτον ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου. Σὺ μακρόθυμος μόνος, σὺ πολυέλεος, καὶ ἡ φιλανθρωπία σου ὑπερέβλυσε. Καὶ νῦν δεῖξον τὸ ἔλεός σου εἰς τὸν πλεῖστα ἐξαμαρτήσαντα. Διὰ τοῦτο γὰρ ὑπὲρ φύσιν ἡ συμπάθειά σου καὶ ἡ χρηστότης σου, ὅτι τὸν ὑπὲρ φύσιν ἁμαρτήσαντα σώσεις. Οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὸ ἔλεός σου. Μᾶλλον δέ τι φημὶ, ἀπεριόριστόν σου τῇ φιλανθρωπίᾳ τὸ πέλαγος, ἀνείκαστός σε καὶ ἀπαρινόητος ἡ ἀνεξικακία καὶ ἀγαθότης σου. Τὰ δ' ἐμὰ πταίσματα, εἰ καὶ μέγιστά εἰσι καὶ ἀσύγκριτα, ἀλλὰ πρὸς τὸ τῆς συμπαθείας σου ἀδιεξίτητον καὶ ἀπεριόριστον πέλαγος ῥανίδος πολλοστημόριον εἴκασται, οὐ τὰ ἐμὰ δὲ μόνον, ἀλλὰ καὶ τῶν ἀπ' αἰῶνος ἁπάντων ἁμαρτησάντων καὶ ὑπὲρ ἐμὲ, εἰ τέως τίς ἐστι νικήσας ἐμὲ τοῖς κακοῖς.

Διὰ τοῦτο προστρέχω σοι τῷ ἀγαθῷ μου Δεσπότῃ,

ineffabili sua misericordia de cœlo descendit, Virginis uterum intravit, dein alapis cæsus crucifixionem ac sepulturam subiit.

Ego plura quam quivis alius peccata commisi, ac leges tuas transgressus sum; a me peccata cumulata sunt; in me igitur miram tuam manifesta misericordiam. Peccatoribus enim benevolentiam, gratiam et liberalitatem tuam reservas. Tu cordis mei abyssos novisti. Quare e facie mea amove peccata quæ commisi verbo, re, cogitatione, voluntate, noctu, diu, volens, nolens, raptim, meditatione, ex veteri aut temporanea consuetudine, singulis diebus, omni temporis momento, ut uno verbo dicam, sensuum externorum aut internorum adjutorio, perfeci. Probe nosti, Domine, quod homo æque peccaminosus atque ego non est in terris, non invenies qui libidinum et flagitiorum spurcitia ut ego contaminatus sit, ex quo universum e nihilo ad esse jussu tuo evocasti. Similis factus sum sceleratissimo Satanæ magis quam majores mei: immortalia tua et sancta mandata transgressus sum. Fratricida super Cain evasi, quod animam per corpus occidi; Lamech superavi, quod mentem et animum voluptatum diluvio immersi; plus quam interempti illi miseri peccavi. Turpiora quam ego non fecerunt ipsi Sodomitæ; Ægyptius factus sum et dura cervice, alter Pharao, mandata tua conspui. Plura ego crimina patravi quam qui in deserto murmuraverunt et leges tuas pedibus calcarunt; plus quam Ninevitæ in peccatis jaceo. Quid Manassis crimina ad mea comparata? quid ipsius Davidis peccata? Majorem ego injuriam feci quam latro, quam publicanus, quam filius prodigus, quam Petrus qui magistrum suum negavit, ut paucis dicam, quam omnes; idcirco perversissimis, imo dæmonibus, quorum exemplum imitatus assimilatus sum. Tu autem misericordiam ostende, et bonitatis tuæ pelago animam meam irriga. In me patientiæ ac indulgentiæ exsere indicia. Peccavi ut nemo alius, super capillos capitis mei. Tu solus longanimis, misericors; magnitudo tua infinita est. Nunc igitur maxime misericordiam effunde in maximum peccatorem; idcirco enim indulgentia tua atque bonitas transcendit omnia, quia eum qui summa crimina perpetravit, salvas pro immensa tua mansuetudine. Quid plura? misericordiæ tuæ pelagus infinitum, patientia tua inexhausta; peccata autem mea quantumvis maxima præ misericordiæ tuæ pelago gutta apparent, nec mea solum, sed omnium qui a mundi creatione peccaverint, si forte invenitur qui me criminosior sit.

Hanc ob causam ad te refugio, Domine egregie,

καὶ ποιητῇ, καὶ χορηγῷ τῆς ζωῆς μου, καὶ ἐξομολογοῦμαί σοι τῷ εὐσπλάγχνῳ Θεῷ μου, ἃ ἔπραξα· σὺ δὲ τὸ σύνηθές σου ἔλεος προβαλλόμενος δεῖξον ἐπ' ἐμοὶ τὰ ἀρχαῖα ἐλέη σου, καὶ συμπάθησόν με τὸν ὑπὲρ ἅπαντας κατὰ πρᾶξιν καὶ διάθεσιν ἁμαρτήσαντα, τὸν ἀλαζόνα, τὸν ὑπερήφανον, τὸν κενόδοξον, τὸν ὑψηλόφρονα, τὸν ὑπέροφρυν, τὸν μετέωρον, τὸν ὑπερόπτην, τὸν αὐθάδη, τὸν φίλαρχον, τὸν ἀγνώμονα, τὸν ἀχάριστον, τὸν φιλόκοσμον, τὸν μαλακὸν, τὸν μοιχὸν, τὸν πόρνον, τὸν βέβηλον, τὸν ἄσωτον, τὸν αἰσχρὸν, τὸν ῥυπαρὸν, τὸν λάγνον, τὸν φθορέα, τὸν ἡδυπαθῆ, τὸν ἀσελγῆ, τὸν ἐμπαθῆ, τὸν παράνομον, τὸν φιλοχρήματον, τὸν τοκιστὴν, τὸν φιλήδονον, τὸν γαστρίμαργον, τὸν λαίμαργον, τὸν σπάταλον, τὸν τρυφητὴν, τὸν ἀδηφάγον, τὸν μέθυσον, τὸν συκοφάντην, τὸν ἀνηδιαστὴν, τὸν ῥάθυμον, τὸν ὑπνητὸν, τὸν ἀμελῆ, τὸν καταφρόνητον, τὸν δόλιον, τὸν περίεργον, τὸν φθονερὸν, τὸν βάσκανον, τὸν διαβολέα, τὸν φονέα, τὸν λῃστὴν, τὸν κλέπτην, τὸν ἄδικον, τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν ὀργίλον, τὸν σκληροκάρδιον, τὸν ἀκαμπῆ, τὸν ψεύστην, τὸν αἰσχροκερδῆ, τὸν φειδωλὸν, τὸν μνησίκακον, τὸν ἀνυποτάκτην, τὸν ἀνήκοον, τὸν κατάλαλον, τὸν φλύαρον, τὸν λοίδορον, τὸν ψιθυριστὴν, τὸν γελοιαστὴν, τὸν αἰσχρολόγον, τὸν ἐπίορκον, τὸν εἴρωνα, τὸν ἀπατεῶνα, τὸν ὑβριστὴν, τὸν θυμώδη, τὸν ἀμυντικὸν, τὸν ἰταμὸν, τὸν πικρὸν, τὸν ἀσυμπαθῆ, τὸν ἀνελεήμονα, τὸν ἀνάλγητον, τὸν κακὸν, τὸν τιμωρητικὸν, τὸν ἀφιλόπτωχον, τὸν ἀφιλόξενον, τὸν ἄσπονδον, τὸν ἄφιλον, τὸν ἐριστικὸν, τὸν μάχιμον, τὸν φιλόνεικον, τὸν ὀνειδιστικὸν, τὸν πάροινον, τὸν πλέκτην, τὸν ὀχλητὸν, τὸν φιλόψογον, τὸν φαυλιστὴν, τὸν ἀργολόγον, τὸν ῥεμβαστὴν, τὸν μάταιον, τὸν ἄφρονα, τὸν ὑποκριτὴν, τὸν καταφρονητὸν, τὸν ἄφοβον, τὸν μισόκαλον, τὸν μισάδελφον, τὸν μισάρετον, τὸν ἀτελῆ, τὸν ῥῖπον, τὸν βλάσφημον, τὸν ἀκάθαρτον, τὸν ἀπειθῆ, τὸν αὐτοκατάδικον, τὸν ἀμετανόητον, τὸν κατακεκριμένον, τὸν ἀνεξαγόρευτον, τὸν ἀναπολόγητον, τὸν πᾶν εἶδος ἀσελγείας καὶ ἀνομίας διαπραξάμενον, ψυχῇ τε ἅμα καὶ σώματι, καὶ πάσης διὰ τοῦτο φιλανθρωπίας καὶ συμπαθείας ἀνάξιον. Δίκαιος μὲν εἶ, Κύριε, καὶ διατόρφ ἀνακηρύττω τῇ γλώσσῃ· ἀλλ' ἀεί σου νικᾷ τὸ φιλάνθρωπον, καὶ κλίνειν ἐκ τούτου εἰς τοῦτο. Μὴ τῷ θυμῷ σου τοίνυν ἐλέγξῃς με. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, τί; ὑποστήσεται; Οὐπ' ἀγνοοῦμεν οὖν ὡς μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με, ὅτι ὑπὲρ ἅπαντας ἐπλημμέλησα, καὶ αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, καὶ ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου τὰ ἐπταισμένα μοι ἐπληθύνησαν, μᾶλλον δὲ καὶ ψάμμου αὐτῆς ἐστιβωσά μου τὸ κατ' εἰκόνα, ἠχρείωσα τὸν χιτῶνά μου τῆς ψυχῆς, ἐσθέσθη μου τῆς χάριτος ἡ λαμπὰς, τὰ χεῖλη μου κατερύπωσα, τὸ φῶς ἐκιβδήλευσα ταῖς ἀτόποις καὶ παραλόγοις ὁράσεσι ζητῶν τὸ ψεῦδος καὶ ματαιότητα. Ὢ ποσάκις μετανοήσας συνεταξάμην, καὶ ψευδόμενος ὤφθην τοῦ πλούτου τῆς περὶ ἐμὲ χρηστότητός σου καταφρονῶν! Ὢ ποσάκις ἐν ἐκκλησίαις ἀποθέσθαι τὰ φαῦλά σοι ὑπισχνοῦμαι, καὶ ἐξελθὼν τοῖς αὐτοῖς καὶ χείροσιν ἐμπίπτω κακοῖς, ὥσπερ τῶν συνθηκῶν ἐκλανθανόμενος ἀπὸ τῆς κακῆς μου καὶ μυσαρᾶς ἕξεως. Διὸ χρῆσαι, Δέσποτα,

creator et dux vitæ meæ, ac tibi, Deus plene misericordiarum, confiteor quæ mala commisi: tu vero, ut soles, misericordiam effunde in me qui plus quam quisquam alius peccavi, in me vaniloquum, superbum, inanem, gloriosum, impudentem, contemptorem, ingratum, voluptuosum, mundi sectatorem, mœchum, carnalem, infamem, prodigum, scelestum, nebulonem, lenonem, seductorem, epicureum, sybaritam, exlegem, avarum, usurarium, helluonem, gulosum, mollitiei deditum, delicatulum, voracem, ebriosum, delatorem, indolentem, somnolentum, negligentem, dolosum, otiosum, invidiosum, calumniatorem, sicarium, latronem, furem, injustum, raptorem, ambitiosum, superbientem, durum, inflexibilem, mendacem, turpis lucri cupidum, parcum, vindicativum, indocilem, inobedientem, rebellem, blasphemum, sycophantam, susurrum, risibilem, obscœnum, perjurum, ironicum, impostorem, elatum, iracundum, ultionis studiosum, temerarium, amarum, inhumanum, crudelem, malum, ultioni addictum, pauperibus inimicum, hospitibus infestum, irreconciliabilem, hominum osorem, sophistam, pugnacem, litigiosum, insolentem, vindolentum, insidiosum, importunum, detrectatorem, insultatorem, loquacem, errabundum, vanum, imprudentem, simulatorem, *contemnibilem*, temerarium, virtutis oso-

rem, fratribus infensum, iniquum, hominem sequam: blasphemum, impurum, inobsequiosum, me ipsius condemnatorem, incorrigibilem, damnatum, inexcusabilem, qui omnimodam exercui luxuriem corpore et animo, et qui propterea indignus est misericordia et indulgentia tua. Tu enim, Domine, justus es: quod equidem clara voce declaro: semper autem Patris misericordis partes agis, nec unquam sententiam mutas. Ne igitur in ira tua reprehendas me. Si enim, Domine, in peccatores inveheris, quis sustinebit? Nunquam obliviscar culpam meam majorem esse quam quæ remittatur, quia magis quam quisquis alius peccavi, et peccata mea caput superegressa capitis, crinibus numerosiora facta sunt: divinam, quæ mea est, imaginem contaminavi, animæ vestimentum pollui: quare gratiæ lampas mihi exstincta est, labia mea inquinavi; lumen obscuravi spectaculis insipidis absurdisque, mendacium et vanitatem sectando. Quoties pœnitentia tactus mores volui corrigere et nihilominus potentiæ ac bonitati in me tuæ irrisi! Quoties in ecclesia vitia me depositurum promisi et promitto, et inde exiens in eadem, imo pejora recido, plane oblitus in quam miseram undiquaque conditionem delapsus sum! Ideo, Domine, misericordiæ tuæ inexhaustæ da indicia; bonitas namque tua, ut mare, immensa fluit; longa-

τῷ ἐμφύτῳ ἐλέει σου, τῷ πελάγει τῆς ἀβύσσου καὶ ἀνεξιχνιάστου φιλανθρωπίας σου, καὶ αὖθις μακροθύμησον ἐπ' ἐμοί, καὶ μὴ πρόωρον μετανοίας ἁρπάσῃς με, ὡς τὸ δένδρον ἐκεῖνο τὸ ἄκαρπον, μὴ γένωμαι θέατρον ἀγγέλοις καὶ ἀνθρώποις, καὶ εἰς κακίαν στήλη τις καὶ παράδειγμα ἑτέρων διὰ τὴν εἰς ἐμὲ ἀπότομον κατάδικην καὶ ἐκκοπὴν σωφρονιζομένων· ἄνοιξόν μοι τὴν θύραν σου κρούοντι, δρεξόν μοι τὴν χεῖρά σου καταπονιζομένῳ· βυθὸς γὰρ χειμάζει με ἡδονῶν. Εἰ μὴ γὰρ ἡ σὴ φιλανθρωπία προφθάσει, ὅσα ἐγὼ πράζω οὐδέν εἰσι. Τύραννός μοι μέγας ἐφίσταται ὁ ἐχθρὸς, ἡ φύσις αὐτὴ, ἡ κακή μου προαίρεσις καὶ συνήθεια. Ἤδη μου ὁ χρόνος ἐξέλιπε τῆς ζωῆς, τὸ θέριστρον τοῦ θανάτου ἐγγὺς, τὸ δρέπανον ἐξηκόνηται, ἡ ἀξίνη πρὸς τὴν ῥίζαν μου ἔφθασε, κἀγὼ πρὸς τὸ χεῖρον ἔχω τὴν προκοπήν, ὁ κλέπτης τὸν τοῖχόν μου τῆς ψυχῆς διορύσσει, ὁ κοινὸς ἐχθρὸς ὡς λέων καταπιεῖν με ἁρπὴν ζητῶν. Ἡ ὁδὸς ἑτοίμη, ἡ προθεσμία πεπλήρωται, τὸ χειρόγραφον ἀνὰ χεῖρας, οἱ κατήγοροι ὡς δήμιοι ἀπαραίτητοι, ὁ ζυγὸς ἀπηώρηται, κἀγὼ ὁ ἄθλιος ταλαντεύομαι, καὶ οὐδὲ οὕτως αἰσθάνομαι. Οἴμοι! τίς γένωμαι; ποῖ τράπωμαι; Δώρησαί μοι μετάνοιαν, Δέσποτα, καὶ τῶν πεπραγμένων συναίσθησιν καὶ ἀνάλογον τῷ ῥύπῳ τῶν ἡδονῶν μου, καὶ δάκρυα. Μὴ ἀνέτοιμον ἁρπάσῃς με, μὴ ἀνεξαγόρευτον. Ὁρᾷς τὴν ἐπίθεσιν τῆς ἀθλίας σαρκός μου τὴν τῶν λογισμῶν ὑπερημένην καὶ φλεγμαίνουσαν κάμινον, τὴν ἕξιν τὴν πονηράν, τὴν πρὸς τὰ χείρω ῥοπήν. Σῶσόν με διὰ μόνον τὸ ἄπειρον ἔλεός σου, ἐλέησόν με διὰ τὴν μεγάλην καὶ ἀνεκδιήγητόν σου χρηστότητα. Ὅσπερ γὰρ τὰ ἐμὰ πταίσματα ἀριθμηθῆναι οὐ δυνατὸν, οὕτως ἄπειρον καὶ ὑπερέξοχον καθ' ὑπερβολὴν τὸ ἔλεός σου καὶ ἡ φιλανθρωπία σου. Διὰ τοῦτο ἀναλόγως τοῖς ἐμοῖς πταίσμασιν ἐπίχεον δωρεὰν ἐπ' ἐμὲ τὴν ἀνεξάντλητόν σου ἀγαθότητά σου, ὅτι ἐπιμελῶς ἀεὶ ἡ διάνοιά μου ἔγκειται ἐπὶ τὰ πονηρά. Μνήσθητι, τίς μου ἡ ὑπόστασις, ὅτι νοῦς εἰμι, καὶ ὡμοιώθην τῇ ματαιότητι· ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου. Μνήσθητι ὅτι ἐν ἁμαρτίαις γεγέννημαι· ἀλλὰ παρὰ σοὶ ὁ ἱλασμός ἐστι, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὑπίσω γὰρ τῶν ἐπιθυμιῶν μου τῆς σαρκὸς πορευθείς, ὅλος ἐπίχαρμα τοῖς δαίμοσι γέγονα, διὰ παντὸς τοῦ βίου ἐγκυλινδούμενος τῷ βορβόρῳ τῶν σωματικῶν ἡδονῶν, ὑφ' ὧν τυφλωθείς ἔρημος τῆς σῆς φιλανθρωπίας γεγένημαι ἐκ βρέφους, μέχρι τοῦ νῦν ἀπατώμενος, καὶ δελεαζόμενος οὐδέποτε τοῖς σοῖς θελήμασι κατακολουθῆσαι ἠθέλησα, μὴ λογιζόμενος ὅτι ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, μηδὲ τῇ τομῇ τοῦ θανάτου καὶ τῷ φόβῳ τοῦ ἀδεκάστου σου κριτηρίου σωφρονιζόμενος. Ποίαν γὰρ πρᾶξιν αἰσχρὰν οὐ μεθ' ὑπερβολῆς καὶ σπουδῆς ὅτι πλείστης ἐτέλεσα προφάσεις ἐν ἁμαρτίαις προφασιζόμενος, τὸν νοῦν μου δι' ἐνθυμήσεων αἰσχρῶν κατερρύπωσα, τὸ σῶμα διὰ μίξεων ῥυπαρῶν κατεσπίλωσα, τὸ πνεῦμα διὰ συγκαταθέσεων φαύλων ἠχρείωσα; Ἐγὼ μόνος τὸν θυμόν σου παρώργισα, καὶ τὴν ὀργήν σου ἐξέκαυσα. Τίς λοιπὸν θρηνήσει με, τίς πενθήσει με τὸν ταλαίπωρον; Σὺ συμπαθὴς εὐδιάλλακτος Θεὸς ἐλέους καὶ οἰκτιρμῶν, ἔμφυτον ἔχων τῆς φιλανθρωπίας τὸ πέλαγος καὶ ma-

ulmitatem tuam ostende, ne me impœnitentem proripe et arborem illam sterilem, ne spectaculo sim angelis et hominibus et malitiæ columna et exemplum stem iis qui condemnationis et perniciei meæ testes circumsistunt. Aperi pulsanti mihi januam tuam: porrige manum in mare voluptatum immerso. Quæcumque enim, indulgentia tua absente, facio, nihili sunt. Crudelis me tyrannus vexat, natura ipsa, prava mea indoles ac consuetudo. Jam me flos ætatis deficit; mortis messis appropinquat, falx arcuta prope est, securis radici meæ imminet: nihil jam proficio: fur parietem animæ meæ suffodit: inimicus communis sicut leo quomodo me devoret quærit. Via præceps, dies ad solvenda debita præstitutus illucescit, creditores chirographum in manibus tenentes sicut carnifices minantur; jugum in altum erectum cerno, et ego miser suspensus inter spem metumque hæreo. O me miserum! quid de me fiet? quo confugiam? Domine, pœnitentiam da cordi meo: fac ut factorum memoria mihi præsens sit, fastidium affer vitæ meæ in voluptatibus anteactæ; da lacrymas; ne inopinatum me abjice indicta causa. Vides onus in sentina meæ carnis: mentis turbas vides, et ut caminum flagrantem tristem animi mei habitum in vetitum nitentem nosti. Salva me pro infinita tua misericordia, et pro bonitate tua ineffabili miserere mei. Quemadmodum enim peccata mea innumerabilia sunt, ita misericordia tua infinita et bonitas nullis circumscripta terminis criminibus meis ignoscat: semper enim mens et animus ad malignitatem tendunt. Memento quod substantia mea fragilis, quod de limo formatus inanitati assimilatus sum. Recordare quod in peccatis conceptus sum: sed penes te est propitiatus: salva me in bonitate tua. A cupiditatibus carnis meæ abreptus, dæmonibus ludibrio sum factus, per omnem vitam in luto lascivitatis volutus, et sic, oculis captus, bonitate tua destitutus ab adolescentia, hucusque deceptus et irretitus malis artibus, nunquam voluntati tuæ obtemperare volui, immemor quod ira tua adversus peccatores est irresistibilis. Vides quare nec mortis meditatione, nec metu judicii tui extremi ad sanam mentem reversus sim. Quid enim facinus sub specioso, peccata velante, prætextu non perpetravi? Quoties animum pravis cogitationibus inquinavi, corpus incestu pollui, spiritum lascivæ indulgendo indoli commaculavi! Ego solus iram tuam excitavi, inflammavi. Quis postmodum me miserum flebit, lugebit? Tu, misericordiarum immutabilis Pater, bonitatis et longanimitatis mare inexhaustum in te habes. Humilitatem igitur meam respice: auxilium tuum implorantem recipe, brachio tuo forti me amplectere. Ignosce animæ meæ iniquitati et in judicio tuo me-

κροθυμίας τὴν ἄβυσσον. Ἐπικάμφθητι οὖν τῇ ταλαιπωρίᾳ μου, παρακαλοῦντά με δέξαι, ἐπιστρέφοντα ἐναγκάλισαι, ἴασαι τὸ ἀδιόρθωτον τῆς ἐμῆς ψυχῆς, καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με. Οὐκ ἔχω δάκρυον ἐκτενές, οὐκ ἔχω ἐξομολόγησιν ἀληθινήν, οὐδέ τι ἄλλο τῶν ὅσα τὴν σὴν συμπάθειαν ἐκκαλέσασθαι ἱκανά. Οὐδὲν τὸ παράδοξον, εἰ τὸν δίκαιον σώσεις, εἰ τὸν ἀρεταῖνοντα ἐλεήσεις. Ἀλλ' εἰς ἐμὲ τὸν ἄμετρα πταίσαντα θαυμάστωσον τὰ ἐλέη σου. Σὺ ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν οἶδας· ταύτην γὰρ εὐσπλάγχνως ἐφόρησας· μὴ νικήσῃ τὸ πλῆθος τῶν κακῶν μου τὴν ἄμετρον εὐσπλαγχνίαν σου. Παῤῥησίᾳ μου τὰς ἀνομίας, καὶ ὡς ἰατρὸς θεράπευσον τὰ τῆς ψυχῆς μου ἀνίατα τραύματα. Ὀργὴ τοὺς μώλωπας ὅσοι, μᾶλλον δὲ ὁλοσώματος ἡ πληγή μου, καὶ οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὐδὲ ἔλαιον, οὐδὲ καταδέσμους. Παρὰ σοὶ μόνῳ τῷ ἀριστοτέχνῃ Θεῷ μου, ᾧ πάντα ῥᾴδια, καὶ τὰ μήπω γενόμενα, τὸ ταῦτα ἰάσασθαι, καὶ μηδ' ὁπωσοῦν τραῦμα κακίας ὑπολιπέσθαι. Σῶσόν με, καὶ αὖθις κράζω, ἕνεκεν τοῦ ἐλέους σου, δι' οὗ τὸ πᾶν παρήγαγες, δι' οὗ πρὸς ἡμᾶς τοὺς μυρία σοὶ πταίσαντας καὶ παροργίσαντας κατεβέβηκας. Μυρίων ταλάντων χρεωφειλέτης εἰμὶ, ἄφες μοι τὰ πλείω, ἵνα πλείον καὶ ἀγαπήσω. Ἥμαρτηκα, ὦ Θεός, ἡμάρτηκά σοι, ὁμολογῶ, ἀλλὰ μὴ καταδικάσῃς με πρὸς τὰς ἀνομίας μου, μηδὲ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἀλλ' ἀκουστόν μοι γενέσθω τὸ ἔλεός σου, μᾶλλον δὲ ἐξάκουστον καὶ διάδηλον

A διὰ τῆς πρὸς ἐμὲ τὸν ὑπεράπειρα πταίσαντα συμπαθείας σου. Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων, μακρύνων τὰς ἀνομίας ἡμῶν ἀφ' ἡμῶν, καθ' ὅσον αἱ ἀνατολαὶ ἀποδίστανται τῶν δυσμῶν, καὶ λευκαίνων διὰ μετανοίας τὰς ἁμαρτίας ἡμῶν ὡς χιόνα τε καὶ ὡς ἔριον. Ὅσα τοίνυν ἥμαρτον ἐκ νεότητος ἄχρι τοῦ νῦν, καὶ ἃ μέλλω πρᾶξαι ἕως τέλους ζωῆς μου, συγχώρησόν μοι, ὡς ὑπεράγαθος καὶ πολυέλεος. Καὶ παράσχου μοι μετανοίας καιρόν· δώρησαί μοι δάκρυα κατανύξεως· φαίδρυνον τὴν τῆς ψυχῆς μου, λαμπάδα δι' ἐξομολογήσεως, ἣν ἐζόφωσα καὶ ἐμαύρωσα ταῖς τῶν ἀνομιῶν ὑποθέσεσι. Καὶ τὸ πρότερον ἔνδυμα τὸ καθαρὸν καὶ ἀῤῥύπωτον, ὃ ἐνεδυσάμην ἀπὸ τοῦ βαπτίσματος, πάλιν ἀμφίασόν με, τῇ ἐπισκέψει σου παῤῥησίαν καὶ ἀῤῥαβῶνά μοι σωτηρίας· ἀπὸ τῶν ἐντεῦθεν ἐμβραβεύων, ἀποκαταστάσει καὶ ἀσπόρως· καὶ ὑπερφυῶς τεκούσης Μητρὸς τὸν ἄνευ ἀρχὴν σου Λόγον καὶ προαιώνιον, προστασίας τῶν ἀΰλων καὶ ἀσωμάτων σου λειτουργῶν, τοῦ τῆς μετανοίας κήρυκος τιμίου, ἐνδόξου, προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν τε ἁγίων καὶ ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, εἶτα τοῦ δευτέρου τῆς μετανοίας κήρυκος Ἰωάννου τοῦ περσόφου καὶ χρυσορρήμονος, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι εὐλογητὸς εἶ σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ ζωοποιῷ καὶ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

B

C

D

fac salvum. Lacrymæ meæ continuæ, confessio mea verax nil possunt ad te placandum, ad favorem tuum reconciliandum. Tu autem nil mirum facis, si justum salvas, si probum respicis. In me, quæso, qui plurimum peccavi, misericordiæ tuæ fontem effunde, qui naturæ humanæ fragilitatem optime cognitam habes.

Ne scelerum meorum multitudo infinitam tuam misericordiam superet! Ignosce meis peccatis, et, sicut medicus, vulnera animæ meæ profunda sana. Plagas in me vides, aut potius corpus unam in plagam misere decompositum, cui nil prodest unguentum impositum, oleum superinfusum. Tu solus, mi Deus, architectus es, cui omnia facilia sunt facta, vel ea quæ nondum exstiterunt; tu solus istis malis mederi potes, adeo ut nullum morbi vestigium relinquatur. Salva me, iterum imploro misericordiam tuam, qua omnia restaurasti, quæ ad nos, qui innumeris te peccatis offendimus, descendit. Mille debeo talenta; remitte mihi, ut plus amori meo addam. Peccavi, Deus, peccavi in te, confiteor; sed ne me damnes ob crimina, nec faciem avertas a me, sed miserere mei, et exaudi deprecationem meam præ immensa tua vel in maximos peccatores bonitate. Tu enim Deus es pœnitentium, et peccata a nobis removes, quantum Oriens ab Occidente distat: tu peccata nostra ut nivem ac lanam dealbas. Quæcunque igitur ab adolescentia hucusque peccavi, et quæ usque ad vitæ terminum peccabo, mihi ignosce pro bonitate et indulgentia tua. Tempus mihi dona ad pœnitentiam: da mihi lacrymas contritionis: exhilara animæ meæ lampadem quam obscuraveram et sceleribus meis exstinxi. Vestem puram et ininquinatam, qua per baptismum indutus fueram, de novo mihi circumpone; libertatem et salutis arrhabonem mihi expende gratia Matris quæ sine semine concepit et enixa est Verbum principio carens atque æternum; sacrificiorum spiritualium beneficio, prænconis pœnitentiæ venerandi, illustris prophetæ, præcursoris Joannis Baptistæ, sanctorum et illustrium apostolorum et secundi pœnitentiæ præconis, doctissimi Joannis Chrysostomi et omnium qui inde a sæculis tibi complacuerunt, nomine. Benedictus autem sis cum unigenito tuo Filio atque vivifico et sancto Spiritu nunc et semper, et per infinita sæcula sæculorum. Amen.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΑΛΩΣΙΣ ΙΕΡΟΥΣΑΛΗΜ ΩΣ Ο ΙΩΣΗΠΠΟΣ ΙΣΤΟΡΕΙ

NICEPHORI CALLISTI

XANTHOPULI

DE EXCIDIO HIEROSOLYMITANO

CARMEN IAMBICUM TRIMETRUM (1).

Εἰς πρῶτον δ' οὕτω συρραγείσης τῆς μάχης,
Οὐεσπασιανὸς ἔσταλτο πρὸς Ἰουδαίων,
Καὶ πρῶτον αἱρεῖ τὰς περιξ ὅλας πόλεις,
Μεθ' ὧν Ἰωτάπατα σὺν τῇ Ἰόππῃ.
Μέλλων δὲ βάλλειν καὶ πρὸς αὐτὴν τὴν πόλιν,
Τῷ θανάτῳ Νέρωνος ἀργεῖ τὴν μάχην·
Στέλλει τὸ λοιπὸν τὸν Τίτον πρὸς τὸν Γάλβαν.
Πυνθάνεται γοῦν καθ' ὁδὸν τούτου μόρος.
Ὄθων μετ' αὐτὸν, Οὐιτέλλιος πάλιν.
Οὐεσπασιανὸς δ' ἐντεῦθεν ἀρχὴν ὑπέδυ,
Πρὸς τὴν Ῥώμην ἄπεισιν ἀφεὶς τὸν Τίτον.
Ὁ δ' αὖ παρελθὼν τὴν πόλιν ἐπεσκόπει
Τὰς μυρίας ἔχουσαν ἔνδον, φεῦ! μάχας,
Καὶ τὸν Σίμωνα τὸν φθόρον δεδεγμένην,
Τῶν σικαρίων καὶ κακῶν ἄλλων χάριν.
Κατέσχεν οὐκοῦν ἱεροῦ τὸ πᾶν κράτος.
Ἐνέδρα πάλιν Ῥωμαίων Ἰουδαίοις.
Τίτος καθαίρει τοὺς τόπους ἐξωτέρω,
Χῶμα συνάγει καὶ κλάδους πρὸς τῇ πόλει
Ὑπουπιρ ἦν τὸ τεῖχος ὑπτιον μάλα,
Ἐνταῦθα κριῶν προσβολὴ μεταρσία·

Α Οἱ δ' Ἑβραῖοι πῦρ ἐφιᾶσι τοῖς ξύλοις,
Πῦρ γὰρ ξύλινον πρὸς Τίτου πεπραγμένον,
Καὶ τεῖχος οὐκ ἤνεγκεν, ἀλλ' ὑπερράγη·
Πάλιν ὁ κρὸς καὶ κατὰ τοῦ δευτέρου
Ἅλωσις αὐτοῦ, καὶ φυγὴ τούτου πάλιν,
Αἱμὰς πιέζων, τοῦ λαοῦ φθορὰ ξένη·
Τοῦ δευτέρου τείχους δὲ λῆψις ἐνθάδε·
Οἱ στασιασταὶ δυσμενεῖς ἦσαν λίαν,
Τὰ πᾶν κακοῦντες τοῦ λιμοῦ πολλοῦ χάριν.
Αὖθις ὁ Τίτος χώμασιν ἐπηρμένοις,
Διωρυγαὶ πάλιν δὲ τῶν Ἰουδαίων.
Στῦλός τε καὶ πῦρ ὑπὸ κάτω τῆς ὕλης.
Τίτος δ' ἀγείρει τεῖχος ἔξωθεν μέγα,
Κλείων πᾶσαν κίνησιν ἐκτὸς Ἑβραίων.
Τὰ τοῦ λιμοῦ δὲ τίς ἂν ἐκφράσῃ λόγῳ;
Β Νεκρῶν ὅσων πέπληστο σύμπασα πόλις;
Ὅσον ἰχώρων καὶ κακῆς ὀσμοβμίας;
Ὅσοι πάλιν φεύγοντες εἰς ἐναντίους
Φθορὰν καθυφίσταντο τῷ ξένῳ μόρῳ!
Χρυσόν τε κατέπινον, εἴτ' ἐν σκυβάλοις,
Αὐτὸν ἀνεξίκριτον ἐκ τῶν ἐγκάτων.

Sic excitatis belli aperte præliis
Vespasianus Isacidas adoritur:
Capitque primo omnes in orbem urbes sitas:
Atque inter has Jotapata et Joppe erat.
Et jam paratis obsidere æternum oppidum
Nex attulit moram Neronis principis.
Proinde delegavit ad Galbam Titum:
Sed mors modo Galbæ per iter agnoscitur.
Otho secutus est Vitelliusque obit.
Vespasianus principatum dein tenet,
Romam petit, Titumque bello præficit.
Is illico profectus urbem conspicit,

Quæ mille pugnas civium conceperat,
Ac perditissimum Simonem admiserat;
Propter scelestos, impios, sicarios.
Ergo occupavit ædis hic robur sacræ
Dolosque in Hebræos Latinorum virum:
Dux firma dejicit Titus pomœria
Struit aggeres, crates et admovet oppido,
Qua parte erant excelsiora mœnia,
C Ibi arietum impetus fuit sublimior.
Judæi at ignes jactitabant trabeculis:
Nam ligneæ faces erant structæ a Tito:
Nec sustinebant mœnia, at lapsa irruunt,

(1) Ex libro inscripto: *Expositio thematum Dominicorum et memorabilium quæ Hierosolymis sunt. Auctoribus poeta Græco anonymo et Epiphanio etc.* 1620. (Lutetiæ). Interpretatio est Fed. Morelli, quam delibationem textus Græci potius dixeris; at elegans est et digna quæ lucem iterum videat.

Φρούρια πολλὰ τῇ μάχῃ συλλαμβάνει,
Μεθ' ὧν Μαχαιροῦς, καρτερὰ πόλις λίαν,
Ἁλοῦσα ταῖς μάστιξιν Ἐλεαζάρου.
Ἐκεῖσε καὶ πήγανον ὑπῆρχε μέγα,
Καὶ ῥίζα νυκτὸς ἀπαστράπτουσα σέλας,
Οὖρῳ γυναικὸς, ἡ κυνὸς οὐρᾷ πάλιν,
Ἀκινδύνως πρόρριζος ἀνασπωμένη.
Βάσος ἐν ἄστει τοῦ δρυμοῦ τῆς Ἰλάρσης
Ποθεῖ τὸ σύμπαν εἰς τέλος καταστρέφειν,
Αὐτῶν πεσόντων καὶ στρατοῦ τῶν Ῥωμαίων.
Εἶτ' ἀφίησιν ἐντελῆ πᾶσαν χθόνα,
Καθώσπερ ἦν τὰ πρῶτα τοῖς Ἰουδαίοις,
Νέμειν τε ζασμοὺς Καπιτωλίῳ Ῥώμης.
Βάσου τελευτήσαντος στρατηγὸς Σίλας,
Ὅστις παρεστήσατο Μασάδα πόλιν
Χώμασι πολλοῖς καὶ κριοῖς καὶ λαμπάσι,
Τῶν σικαρίων μᾶλλον Ἐλεαζάρου
Βουλὴν διδόντος ἐν πυρὶ πρῆσαι πόλιν,
Εἶτα κτανεῖν σύμπαντας τῷ Ῥώμης ξίφει.
Καὶ πράσσεται δὴ τὸ παράδοξον τέρας,
Πλὴν γὰρ γυναικὸς καὶ νέων βραχυτάτων

A Ἅπαντες ἐφθάρησαν αὐτῶν τῷ ξίφει.
Ὁ δ' αὖ στρατηγὸς εἷσι, θαυμάζει μέγα
Τὸ καρτερικὸν τῆς ψυχῆς τῶν Ἑβραίων
Ἀλλ' ἡ φθορὰ πάλιν δὲ τοῖς Ἰουδαίοις
Εἰς τὴν Ἀλεξάνδρειαν ἐκ σικαρίων
Στασιαζόντων τὰ στίφη τῶν Ἑβραίων
Μὴ δεσπότην Καίσαρα μηδ' ὅλως λέγειν
Οὐκοῦν φόνος κέχυτο πλεῖστος ἐνθάδε·
Φθάνει τὸ δεινὸν τῶν κακῶν σικαρίων,
Καὶ μέχρις αὐτῶν τῶν τόπων τῆς Κυρ
Ἰωνάθαν δείσαντος ἀγροίκῳ στίφει
Αὐτῷ προσελθεῖν καὶ τεράστια βλέπειν,
Ἀλλὰ σχεθεὶς πέπαυτο ῥάπτων τοὺς δ'
Ταῦτα μὲν ὧδε τῆς Ἰουδαίας πάθη,
Τὴν ἐσχάτην ἅλωσιν ὑπὸ Ῥωμαίων
B Ὑποστάσης μάλιστα τοῖς Χριστοῦ δίκαις·
Ἐς ὕστερον δὲ στασιάζουσι πάλιν
Ἀδριανοῦ κρατοῦντος ἐν Ῥώμῃ κράτει.
Κατακράτος δ' ἤττητο τῷ ξίφει πάλιν,
Πολλῶν φθαρεισῶν ἐμφανῶς μυριάδων,
Ὡς βραχυτάτους ὑπολειφθῆναι βίῳ.

Crinita stella similis ensi acerrimo.
Eximia lux affulserat sub vesperam.
Ad victimam vitulus et agnus visi erant.
Porta ad orientalem plagam recluditur·
Exercitus heu curruum per aerem!

Et vir vagans vicos per urbis fleverat
Eheu! male omnibus ominatus incolis.
Judæa clades has tulit gravissimas
A Romuli expugnata tandem posteris,
Ad vindicandam Messiæ illatam necem.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΣΥΝΟΨΙΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ [1].

Περὶ ἁγίας Τριάδος.

Θεὸς Πατὴρ νοῦς ἐστιν, ἄναρχος φύσις,
Ἀληπτος, ἀπρόσιτος, ἄῤῥητος λόγοις,
Ἀμυδρῶς εἰς νοῦν ἐντυπούμενος μόλις.
Οὕτις ὑπὲρ νοῦν ὑπὲρ ἅπαντα λόγον,
Ὡς νοῦς μέγας ἤνεγκεν ἐκ γαστρὸς τόκον,
Γεννήσας υἱὸν αὐθυπόστατον Λόγον
Πρὸ τῶν χρόνων μάλιστα καὶ τοῦ φωσφόρου,
Ταυτὸν Πατρὶ σύμπασι, πλὴν τῆς αἰτίας
Ὃς ἐκπορεύει καὶ τὸ Πνεῦμα σὺν Λόγῳ·
Ὅσον Θεὸν, τέλειον αὐτῷ καὶ Λόγῳ,
Ὑποστάσεις τρεῖς, εἷς Θεὸς φύσιν μέγας,
Νοῦς, καὶ Λόγος, Πνεῦμά τε Πατρὸς ἐκ μόνου.

Περὶ ἀγγέλων.

Οὗτος κινηθεὶς, αὐτάγαθος τυγχάνων,
Ὡς νοῦς νοεῖ πρώτιστα τάξεις τῶν νόων,
Θρόνους, Χερουβὶμ, καὶ Σεραφὶμ ἀθλως,
Κυριότητας, δυνάμεις, ἐξουσίας.
Μεθ' οὓς, τὰς ἀρχὰς, ἀρχαγγέλους, ἀγγέλους,
Ὡς ἐν ῥιπῇ δ' ἔστησαν ἀῤῥητοτρόπως.

C ### *Περὶ δημιουργίας.*

Ἔπειτα τὴν γῆν, οὐρανοῦ μέγα πλάτος,
Καὶ τὰν μέσῳ σύμπαντα παντόφως ἄγει,
Τὸν αἰθέρα, πῦρ, δεύτερον τὸν ἀέρα,
Τρίτον ὕδωρ τε, καὶ τὸ βάρος μέγα,
Πλὴν τάξιν ἐντέθεικε ταῖς κοσμουργίαις,
Κἂν σύμπαν ἐξήνεγκεν ἀθρόῳ λόγῳ.
Ἐν ἡμέρᾳ πρώτῃ γὰρ ἐκχέει φάος,
Τὸ τῆς ἀβύσσου παντελῶς λύσας σκότος.
Τῇ δευτέρᾳ δὲ τὸ στερέωμα φέρει.
Ὕδωρ συνάγει, δένδρα καὶ χλόην τρίτῃ.
Φωστῆρες, ἄστρα τῇ τετάρτῃ τὸ κλέος.
Ἔργον δὲ πέμπτης ἰχθύων, πτηνῶν γένη.
Ἕκτῃ δὲ τῆς γῆς ἕρπετὰ καὶ θηρία.
Καὶ πάντα καλὰ, καὶ Θεὸς κυροῖ λέγων,
D Μεθ' ὧν ἀριθμεῖ καὶ τὸν ἄνθρωπον τέλος
Πλασθέντα χειρὶ τοῦ Θεοῦ καὶ στόματος.
Ἔργων δὲ πάντων κατάπαυσις ἑβδόμη
Ἣν εὐλογήσας ἡγίασεν ἐνθέως.

Περὶ παραδείσου καὶ παραβάσεως.

Εἶτα φυτουργεῖ τὴν παράδεισον χάριν,

(1) Iterum ex edit. Basil. Opp. Prodromi, de qua supra diximus.

Φυτὰ, ποταμοὶ, καὶ θεωρία ξύλφ,
Δίδωσιν Ἀδὰμ εἰς τρυφὴν τὸ χωρίον.
Κλῆσις ἁπάντων ἑρπετῶν καὶ θηρίων,
Ἔκστασις, ὕπνος, γυναικὸς Εὔας πλάσις.
Ἀδὰμ γινώσκει, καὶ παλαιᾷ φίλτρου σχέσιν.
Ἐνταῦθα κανὼν πλὴν ἑνὸς πᾶν ἐσθίειν.
Γύμνωσις ἀναισχύντος αὐτῶν ἐν τόπῳ.
Αἰδὼς, τὰ φύλλα, καὶ Θεοῦ ποδῶν κτύπος.
Ἀδὰμ κρυγή τε, καὶ Θεοῦ πάλιν λόγος,
Ἔβα πρόφασις, ὄφις, ἐνθάδε κρίσις,
Ὄφις λαχὼν χοῦν, ὠδῖνες Εὔας, κόποι.
Ἱδρῶτες Ἀδὰμ, τριβόλων πλῆρες πέδον,
Καὶ πάντα δεινὰ, καὶ χιτῶν ἐκ δερμάτων,
Ἀρὰ, τέλος θάνατος, ἔκπτωσις τόπου,
Στρεπτὸς Χερουβὶμ τῆς Ἐδὲμ φρουρὸς θύρας.

Περὶ τοῦ Κάϊν καὶ Ἄβελ, Σὴθ καὶ Ἐνώς.

Κάϊν, Ἄβελ γέννησις, εἶτα θυσία,
Θεοῦ κόραι βλέπουσιν ἐν ὄρεσι Ἄβελ,
Ἄβελ φθόνος, φόνος τε καὶ ψευδεῖς λόγοι,
Αἷμα βοᾶν ἐντρανὲν ἀδίκου φόνου.
Ἐπτὰ Κάϊν δίκαια, κατάρα, τρόμος.
Κάϊν δ' Ἐνὼχ ἐξῆς ἐγεννήθη μόνος·
Τούτου Ταϋϊὰδ, Μουσὴλ, Μαθουσάλα,
Λάμεχ. Ἰουβὰλ κιθαριστὴς εἰς γένος.
Μεθ' οὓς Ἰωβὴλ, καὶ Θόβελ σφυροκτύπος,
Κάϊν θάνατος ἐκ Λάμεχ τοῦ τοξότου.
Ἐνταῦθα καὶ Σὴθ, καὶ κατάλογος πάλιν,
Ἐν οἷς Ἐνὼχ ἤρπασεν εἰς Θεὸν μόνος,
Ἐξ οὗ Καϊνὰν, Μαλαλεὴλ, Ἰάρεδ,
Ἔπειτα δ' Ἐνὼχ εὐάρεστος ἡρπάγη.
Μέμψις κακίας τοῦ βροτῶν παντὸς γένους
Εἰς πᾶσαν ἀσέλγειαν ἐκδιδωκότος.

Περὶ τοῦ Νῶε καὶ κατακλυσμοῦ.

Νῶε, κιβωτὸς, κατακλυσμὸς ἐνθάδε,
Κόσμου νέου σπέρματα χωροῦντα ξένον,
Καλὰ τὰ φαῦλα καὶ γένος σου Νῶε μόνον.
Θραῦσις βραχεῖα, καὶ σταλεὶς κόραξ μένει,
Περιστερᾶς τὸ κάρφος ἐλπίδας ξέναι.
Ἡ λύσις ἰδοὺ καὶ τὰ τοῦ τόξου πάλιν,
Καὶ διαθῆκαι τοῦ Θεοῦ πρὸς τὸν Νῶε.
Κατάλογός τε τῶν Νῶε γόνων μόνων,
Οἵου τόπου κύριος ὤφθη καὶ πόσου.
Κλῆσις δὲ παίδων ὁ Σὴμ, ὁ Χὰμ, Ἰάφεθ,
Οἶνος ἐνθάδε, καὶ πιὼν γυμνὸς Νῶε,
Παροινία Χὰμ τοῦ πατρὸς πρὸς αἰσχύνην,
Γρήγορσις αὖθις Χὰμ, ἀρὰ παισὶ Νῶε,
Ὁ Σὴμ, Ἀρφαξὰθ, Καϊνὰν τε καὶ Σάλα,
Ἔβερ, ὁ Φαλὲκ, καὶ κακὴ βουλὴ πάλιν,
Καὶ μέχρι Νεβρὼδ τοῦ γίγαντος οἱ λόγοι,
Πύργος Χαλάρης, καὶ λαλίδων συγχύσεις.
Ἐκ τοῦ Φαλὲκ γένους δὲ σειρὰ πρὸς Θάρρα,
Φαλὲκ, ὁ Ῥαγαῦ, ὁ Σερούχ. Ναχὼρ, Θάρρα,
Ὃς Ἀβραὰμ ἤνεγκε τὸν πατριάρχην.

Περὶ Ἀβραὰμ καὶ Σάρρας.

Οὗτος Σάρραν ἔγημε τὴν στείραν πάλαι,
Εἴδωλα λιπὼν πατρικὰ ξενοτρόπως,
Ἔπειτα πρὸς Αἴγυπτον ἐκ λιμοῦ τρέχει.

A Ὑπὲρ τοῦ Λὼτ μάχη δὲ Χολλογοδόμορ,
Καὶ Μελχισεδὲκ τὰς δεκάτας λαμβάνων,
Ἐπαγγελίας Ἰσαὰκ ἰδοὺ λόγοι,
Ὁ δ' Ἰσμαὴλ πέφυκεν ἐξ Ἄγαρ πάλιν.
Ἐκ γῆς Χαρράνδε πρὸς ὄρυϊ Μαμβρῆ μένει,
Φιλοξενία τῆς Τριάδος ἐνθάδε,
Καταστροφή τε τῶν Σοδόμων εἰς τέλος,
Καὶ Λὼτ γυναικὸς εἰς ἁλὸς στήλην τύπος,
Συγγίνεται Λὼτ ταῖς δυσὶ θυγατράσιν.
Ἐν Γεράροις δὲ τὴν Σάρραν Ἀβιμέλεχ
Πρὸς βίαν ἕλκει, καὶ θεῷ πεισθεὶς λύει.
Ἐνταῦθα γεννᾷ τὸν Ἰσαὰκ εἰς φάος,
Πειρασμὸς Ἀβραὰμ, καὶ δοκιμὴ πρὸς γόνον,
Ἄθυτον ὄντως Ἰσαὰκ θεῷ θῦμα.
Σάρρας θάνατος, Χεττούρας συνοικία,
B Ὄρκια, μηρὸς, Ἀβραὰμ ἰδοὺ μόρος.

Περὶ Ἰσαὰκ καὶ Ῥεβέκκας.

Συνέρχεται δ' αὖ Ἰσαὰκ τῇ Ῥεβέκκᾳ,
Τίκτει διδύμους Ἰακὼβ, Ἠσαῦ γόνους.
Πρὸς Ἀβιμέλεχ Γεράρων βασιλέα
Ὑπὲρ γυναικὸς καὶ φρεάτων ἡ μάχη.
Γῆρας Ἰσαὰκ, καὶ θέλησις βρωμάτων
Κλέπτων Ἰακὼβ ἐκ τριχῶν εὐχὴν ξένην,
Ἠσαῦ ὁ θυμὸς, Ἰακὼβ τε δραπέτης.

Περὶ Ἰακὼβ καὶ τῶν πατριαρχῶν.

Ὅπου βλέπει κλίμακα τὴν μετάρσιαν,
Ῥαχὴλ Λείαν τε λαμβάνει παῖδας Λάβαν,
Δι' ὧν κτίσκει δωδεκάφυλον γένος,
Ῥουβὶμ, Συμεὼν, καὶ Λευΐ τούτους τρίτους,
C Ἰοῦδαν, τὸν Δάν, Νεφθαλὶμ, Γὰδ, Ἀσὴρ τε
Ἔπειτ' Ἰσάχαρ, Ζαβουλὼν, Ἰωσὴφ τε,
Καὶ Βενιαμὶν ἔσχατον πάντων γόνον.
Μετοικία τούτου δὲ, καὶ Λάβαν δρόμος,
Χωρισμὸς αὐτοῦ, καὶ πάλη μετ' ἀγγέλου
Ἠσαῦ ὑπαντὴ, καὶ Ῥαχὴλ ἰδοὺ μόρος,
Τὰ κατὰ Συχὲμ καὶ τὴν Δίναν ἐνθάδε,
Ἐντεῦθεν εἰς γῆν πατρικὴν ἀνατρίχει
Υἱῶν ἀριθμὸς Ἰακὼβ τε καὶ Ἠσαῦ.

Περὶ ἐνυπνίου ἀποδόσεως τοῦ Ἰωσὴφ.

Ὄναρ τὸ καινὸν Ἰωσὴφ τοῦ παγκάλου,
Φθόνος τ' ἀδελφῶν, καὶ δόλος, εἶτα πρᾶσις,
Ὀψὶς χιτῶνος ῥήξεσιν ἡμαγμένου,
Καὶ πατρικὸν ἄδηλον ἐκ πόθου δάκρυ.
D Ἐνταῦθα κατάλογος Ἰούδα γόνων,
Νύμφης κλοπή τε Θάμαρ εἰς γόνου δόσιν,
Φαρὲς, Ζαρὰ, κόκκινον ἰδοὺ σπάρτον.
Ἰωσὴφ εἰς Αἴγυπτον ἐξωνημένος,
Οἶκος Πεντεφρῆ, κυρίας ἀκρασία,
Ἰωσὴφ ἐγκράτεια, χιτὼν, δόλος,
Εἶτα φυλακὴ, δεσμοφύλακος χάρις,
Ἐν τῇ φυλακῇ τῶν ἐνυπνίων κρίσις.

Περὶ τοῦ Φαραώ.

Ἐνύπνια δὴ Φαραὼ βασιλέως
Παχεῖς, κάτισχνοι, καὶ στάχυες καὶ βόες,
Κρίσις ὀνείρων, Ἰωσὴφ ἀρχῆς κράτος,
Λιμός τε πικρὸς, σιτομετρίας δόσις,
Καὶ τῶν ἀδελφῶν ἐκ λιμοῦ παρουσία,
Γνώρισμα τούτων, Συμεὼν αὖθις σχέσις,

Βενιαμὶν κάτεισι σὺν ὁμογνίοις,
Ἐπηρεασμὸς τῶν ἀδελφῶν ἐνθάδε,
Σκεύους κρυβέντος εὐφυῶς τῷ μαρσίππῳ,
Δίωξις αὐτῶν, ταραχὴ, φρικτοὶ λόγοι,
Ἀνακάλυψις Ἰωσὴφ σὺν δακρύοις,
Ἀγωγὴ πατρὸς, χαρμονὴ τεραστία
Γῆρας Ἰακὼβ, ἐντολὴ ταφῆς πάλιν,
Σφραγὶς Ἰωσὴφ ἐναλλὰξ τῶν τεκνίων,
Θάνατος αὐτοῦ, πένθος Αἰγύπτου μέγα,
Λύσις Ἰωσὴφ τῶν ἀδελφῶν ἐκ φόβου,
Τῶν ὀστέων ἔπαρσις ἐντεταλμένη.
Εἶτα τελευτῶν Ἰωσὴφ ἐν Αἰγύπτῳ.

ΕΞΟΔΟΣ.

Περὶ Φαραὼ καὶ Μωσέως.

Ἄλλος Φαραὼ βασιλεὺς Αἰγυπτίων,
Οὐκοῦν κατασεῖδος Ἰσραὴλ τοὺς ἐκγόνους,
Ὅστις ἐκάκου τοὺς λαοὺς τῶν Ἑβραίων,
Πλινθείᾳ, πηλῷ, μαστίγων ἀτιμίαις,
Τούτων δὲ ῥιπτεῖν ἐγκελεύεται βρέφη.
Ὁ Μωϋσῆς ἔκκλητος εἰς ἅλα θίβη,
Καὶ παῖς Φαραὼ τοῦτον ἀξίως τρέφει.
Κτείνει τὸν Αἰγύπτιον, εἶτα καὶ κρίνει
Ὄνειδος αὐτοῦ, καὶ φυγή τε καὶ φόβος.
Ἰωθὸρ οἰκείωσις, Σαπφόρας γάμος,
Ἡ τῆς βάτου φλὸξ, ἀγγέλου παρουσία,
Ἀποστολή τε, καὶ τεράστια ξένα.
Σὺν Ἀαρὼν κάτεισιν εἰς Αἰγυπτίους,
Περιτομὴ τέκνου δὲ πρὸς τοῦ ἀγγέλου,
Καὶ πρὸς Φαραὼ σὺν Θεῷ παῤῥησία.
Τῶν Ἑβραίων κάκωσις αὖθις ἐκ λόγων.

Περὶ τῶν δέκα πληγῶν.

Γογγυσμὸς αὐτων, ἡ δεκάπληγος βία,
Ὕδωρ ἐρυθρὸν, βατράχων πλῆθος μέγα
Σκνῖπες τὸ τρίτον, καὶ κυνόμυια πάλιν.
Τετραπόδων ὄλεθρος, ἕκτον φλυκτίδες,
Χάλαζα καὶ πῦρ, καὶ βροῦχος σὺν ἀκρίδι,
Τὸ ψηλαφητὸν, καὶ πρωτοτόκων μόρος.
Ἀμνοῦ σφαγή τε, καὶ χρίσις ἐξ αἱμάτων,
Σκευῶν χρυσῶν σκύλευσις ἐξ Αἰγυπτίων,
Ἑβραίων φυγὴ, σὺν Ἰωσὴφ ὀστέοις,
Στῦλος πυρός τε καὶ νέφους κινουμένοις,
Μεταμέλεια Φαραὼ στρατηγίᾳ.

Περὶ Ἐρυθρᾶς.

Ῥῆξις Ἐρυθρᾶς, διάβασις ξένη,
Αἰγυπτίων σύμπασα πανωλεθρία,
ὨΙδὴ Μαριὰμ ᾀσματιζούσης μέγα.
Νάματα Μεῤῥᾶς καὶ γλυκασμὸς ἐν ξύλῳ,
Εἶτα γογγυσμὸς τῶν κακίστων Ἑβραίων,
Δίων τὸ μάννα, καὶ βροχὴ πτηνῶν πάλιν,
Αὖθις τὸ δίψος, ῥάβδος, ἐκ πέτρας ὕδωρ.
Ἔπειτ' Ἰησοῦς Ἀμαλὴκ καταστρέφει
Τοῦ Μωσέως αἴροντος ἐκτάδην χεῖρας,
Ὑπαντᾷ Μωσῇ πενθερὸς, λαλεῖ πρέπον.
Ἁγνισμὸς ἄκρος, καὶ πλακῶν θεία δόσις,
Μόσχου κεφαλὴ, συντριβὴ πλακῶν πάλιν,
Ὀργὴ θεϊκὴ, Μωσέως παῤῥησία,
A Νηστεία πάλιν, καὶ πλακῶν ἄλλων δόσις,
Σκηνῆς ἐργασία τε τοῦ μαρτυρίου.

Περὶ νόμου.

Τούτοις δ' ὑπῆρχεν ἡ γραφὴ πλακῶν νόμου,
Κύριος εἷς ἐστιν Ἰσραὴλ Θεὸς μόνος,
Εἴδωλον οὐδὲν ἐργάσῃ τὸ παράπαν.
Οὔκουν δὲ λήψῃ τοῦ Θεοῦ κλῆσιν μάτην.
Μνείαν δὲ ποίει τῶν Σαββάτων ἡμέρας.
Σὺν πατέρα τίμα δὲ καὶ τὴν μητέρα.
Ταῦτα μία πλάξ· ἡ δὲ θατέρα πάλιν·
Ἥκιστα μοιχίδιον ἐργάσῃ γάμον·
Ἀλλ' οὐδὲ κλέψεις ἐμφανῶς, κεκρυμμένος.
Οὐδ' αὖ φονεύσεις ἐκ θυμοῦ σου τὸν πέλα·
Ψευδῆ τε μακρὰν ἀπόθου μαρτυρίαν,
B Μηδ' ἀγαπήσεις εἴ τι τῷ πέλας φίλον.

ΛΕΥΙΤΙΚΟΝ.

Τὰ κατ' Ἀαρὼν καὶ γόνους τούτου δύο,
Διαφοραί τε, προσφοραὶ, καὶ θυσίαι,
Τάξεις λατρείας, καὶ θυτῶν πάλιν χρίσις,
Λεπρῶν κάθαρσις, οἰκίας, ἱματίων,
Γάμοι νόμιμοι, καθαρῶν κτηνῶν κρίσις,
Νηστεία, καὶ σάλπιγγες, ἡ νουμηνία,
Τάξεις ἑορτῶν, καὶ χρεῶν εὐταξία,
Γῆς ἀνάπαυσις, προσταγαὶ, μαρτυρίαι,
Ὁ μηρυκισμὸς, καὶ διχηλοῦντα πάλιν,
Τὰ θνησιμαῖα, πνιγμονὴν, σφαγῆς χύσιν
Περὶ γυναικῶν ἔνθεν ἀκαθαρσίας,
Περιτομή τε τῶν ἐν ἀφέδρῳ πάλιν,
C Περὶ γονοῤῥοιῶν τε καὶ συζυγίας,
Καὶ ποία γυνὴ προσφυὴς πρεσβυτέρῳ.
Ἔπειθ' ἑορτῶν τὴν διάταξιν γράφει,
Τοῦ φωτὸς, ἄρτων, καὶ χρόνου λελυμένου
Περί τε δούλων, καὶ γλυφῆς θεῶν ξένον,
Ἐφ' οἷς ἀπειλαὶ πρὸς Θεοῦ λελεγμέναι,
Τοῖς ταῦτα φυλάξασι πάντα μηδόλως.

ΑΡΙΘΜΟΙ.

Ἔνθεν ἀριθμὸν τοῦ παντὸς λαοῦ σκόπει,
Εἰς χιλιάδας πάσας ἑξακοσίας,
Καὶ τρεῖς σαφῶς φθάνοντα καὶ περαιτέρω,
Τῆς Λευϊτικῆς δίχα φυλῆς ἐνθάδε
Τάττει Μωϋσῆς ἱερεῖς καὶ Λευΐτας.
Εἶτ' ἀκάθαρτον ἐκτίθησι τοῦ μέσου,
Περὶ γυναικῶν, τῆς ἐλέγξεως ὕδωρ,
D Ἀφαγνισμός τε, καὶ σφραγὶς ἱερέως,
Σκηνῆς τὰ δῶρα, καὶ περὶ λειτουργίας·
Πρώτη κάταρξις τῆς ἑορτῆς τοῦ Πάσχα,
Ἐξ ἀργύρου σάλπιγγες ἐσκευασμέναι,
Γογγυσμὸς, ᾠδὴ, καὶ τὸ πῦρ κατεσθίον·
Αἰγυπτίων μνεία τε πολλῶν βρωμάτων,
Ὀρτυγομήτρας ὑετὸς οὐρανόθεν·
Λέπρα Μαριὰμ συγγόνου Μωϋσέως·
Σκοποὶ Χαναὰν, τεράστιον βότρυς,
Χάλεβ, Ἰησοῦς θαῤῥύνων τοὺς Ἑβραίους.
Γογγυσμὸς, ὀργὴ πρὸς Παλαιστίνης ὄρους.
Δαθὰν, Ἀβειρὼν κατάδυσις εἰς χθόνα,
Καί τις ξυλεύων ἐφθάρη τῷ Σαββάτῳ·
Ἀνθεῖ τε ῥάβδος Ἀαρὼν ὑπὲρ φύσιν·
Θύται Λευῖται, καὶ σποδὸς σὺν ῥανίδι,

Ὕβρις γυναικὸς, δυσκλεὴς ἀκρασία,
Ἐξ ὕβρεως μόρος τε παννύχου βίας.
Ταύτης μερισμὸς εἰς φυλὰς δεκαδύο,
Ἔνθεν ταραχὴ τῶν φυλῶν πασῶν ξένη.
Λεῖψις γυναικῶν ἐκ φυλῆς ὑβρισάσης
Ἅρπαγμα σεμνῶν παρθένων ἀλλοσπόρων.
Ἐν Ἰσραὴλ δὲ βασιλεὺς οὐκ ἦν τότε
Πράττων ἀγαθὰ, καὶ Θεῷ πεφιλμένος.

Η ΡΟΥΘ.

Γυνὴ Νοεμὶν πρὸς Μωὰβ γῆν ἐκτρέχει
Σὺν Ἀβιμέλεχ συζύγῳ τε καὶ γόνοις,
Φεύγουσα λιμοῦ τὴν βίην τὴν παμφάγον.
Ἐνὶ γόνων δὲ πρὸς γάμου κοινωνίας
Συνέρχεται Ῥοὺθ ἡ καλὴ Μωαβῖτις.
Χηρεύσασα δὲ πρὸς Βηθλεὲμ ἐκτρέχει,
Ἥτινι Βοὸζ πρὸς λέχος τετραμένος
Θέρους ἐν ὥρᾳ συλλεγούσῃ τὸν στάχυν
Γεννᾷ τὸν Ὠβὴδ Ἰεσσαὶ φυτοσπόρον
Ὃς τὸν προφητάνακτα Δαυῒδ βλαστάνει.

Βασιλειῶν πρώτη.

Μετὰ κριτὰς δὲ τοὺς προηριθμημένους,
Ἠλεὶ θύτης ἔκρινεν Ἰσραὴλ μόνος,
Ὅστις μόρον δέδωκε τῶν παίδων χάριν.
Ἀνὴρ Ἐλκανᾶ, καὶ Φενάννα σὺν Ἄννῃ,
Εὐχῆς Σαμουὴλ ἱερεὺς, Ἄννη χάρις.
Θεοῦ λαλιὰ πρὸς Σαμουὴλ τὸν νέον.
Πρόῤῥησις Ἠλεὶ, Φινεὲς, Ὀφνεὶ χάριν·
Ἔθνους ταραχὴ, καὶ κατὰ κράτος νίκη,
Λεῖψις κιβωτοῦ, Φινεὲς, Ὀφνεὶ μόρος·
Θάνατος Ἠλεὶ συμπεσόντος ὑψόθεν,
Πτῶσίς τε Δαγὼν, ἕδρα, μῦς Ἀζωτίοις·
Ἐξαποστολὴ τῆς κιβωτοῦ, καὶ χάρις
Εὐχὴ Σαμουὴλ, ἧττα τῶν ἐναντίων,
Γῆρας Σαμουὴλ, τῶν γόνων ἀταξία.
Βασιλέως ζήτησις ἐκ τῶν Ἑβραίων,
Ὄνοι παραπώλοντο τοῦ Κὶς ἐνθάδε,
Ζήτησις αὐτῶν πρὸς Σαοὺλ ἐν ἡμέραις
Ταύταις, χρίσις τούτου δὲ πρὸς βασιλέα.
Ἀμᾶν ἐπανίσταται τοῖς Γαλαδίταις,
Σαοὺλ βοηθεῖ, καὶ τροποῦται σὺν τάχει,
Δημηγορία τοῦ Σαοὺλ πρὸς τοὺς πέλας,
Φέρει θυσίαν τῷ Θεῷ μόνος μόνῳ,
Καὶ Σαμουὴλ πρόῤῥησις ἀρχῆς εἰς λύσιν.
Ἰωνάθαν παῖς τοῦ Σαοὺλ τραπεὶς μάχαις
Πρὸς τοῦ πατρὸς ἔῤῥωτο τῇ στρατηγίᾳ,
Ἄχρι δὲ νυκτὸς μὴ φαγεῖν Σαοὺλ νόμος,
Παρακοῆς γλύκασμα τοῦ Ἰωνάθαν,
Ψῆφος κατ' αὐτοῦ, καὶ λαοῦ λύσις πάλιν·
Σαοὺλ θανατοῖ τὸν Ἀμαλὴκ εἰς τέλος,
Ἀγὰγ περιποίησις, ὀργὴ Κυρίου,
Ὅνπερ Σαμουὴλ τῇ μαχαίρᾳ κτιννύει.
Χρίει Σαμουὴλ τὸν Δαυῒδ Θεοῦ λόγοις,
Ψάλλων ὁ Δαυῒδ τὸ Σαοὺλ πνεῦμα λύει
Καὶ τοῦ Γολιὰθ εὐστοχεῖ τῇ σφενδόνῃ.
Αἶνός τε Δαυῒδ πρὸς γυναικῶν τῷ κράτει,
Νίκαι τε Δαυῒδ, καὶ Σαοὺλ φθόνος πάλιν,
Συνέρχεται δὲ τῇ Μελχὸλ Σαοὺλ κόρῃ,
Ἰωνάθαν ἕνωσις ἀκραιφνεστάτη.

A Φεύγει τε Δαυῒδ συζύγου συμβουλίᾳ.
Ἐνοῖ τῷ Σαοὺλ τὸν Δαυῒδ Ἰωνάθαν.
Φυγὴ Δαυῒδ πάλιν δὲ, καὶ πεῖρα τρόπου
Πρὸς Ἀβιμέλεχ ὁ Δαυῒδ ὑπεκτρέχει,
Τοὺς μυστικοὺς ἄρτους δὲ πεινῶν ἐσθίει,
Ἥκει πρὸς Ἀχοῦς τὸν καὶ Γὲθ βασιλέα,
Καὶ σκήπτεται δ' ἔκστασιν ἐν περιστάσει,
Κτείνει Σαοὺλ δὲ πρὸς Δωὴκ πρεσβυτέρους.
Λυπεῖ τὸ πραχθὲν τὸν Δαυῒδ ὑπὲρ φύσιν.
Σαοὺλ διώκει, καὶ Δαυῒδ φεύγει πάλιν.
Σπήλαιον ἰδοὺ, καὶ Σαοὺλ Δαυῒδ ἔσω,
Τὸ κράσπεδον σκόπει δὲ Σαοὺλ ἐνθάδε,
Καὶ τὸ δρᾶμα δείκνυσι καὶ ἀδικίας.
Θνήσκει Σαμουὴλ μὴ βλέπων ὁ προβλέπων,
B Ὕβρις τοῦ Ναβὰλ, καὶ λύσις ἐκ συζύγου,
Αὖθις ὁ Σαοὺλ καὶ Δαυῒδ στρατοῦ μέσου
Δόρυ λαβὼν, ἤνεγκε Σαοὺλ ἐκ κλίνης.
Δαυῒδ πρὸς Ἀγχοῦς τὴν Σικελὰγ λαμβάνει
Κατὰ Σαοὺλ στράτευμα τῶν ἐναντίων.
Ἐγγαστρίμυθος, καὶ Δαυῒδ νικῶν ξένους,
Ὄρη Γελβουὲ, καὶ Σαοὺλ οἰκτρὸς μόρος,
Σὺν Ἰωνάθαν, καὶ Δαυῒδ θρῆνος μέγας.

ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑ.

Μόρος κτανόντος τὸν Σαοὺλ καὶ τὸν γόνον
Δαυῒδ χρίσις, αὖθις δὲ φυλῆς Ἰούδα
Ὁ Μεμφιβοσθὲ τοῦ Σαοὺλ ἄλλος γόνος
Σὺν Ἀβενὴρ ἤρατο τοῦ Σαοὺλ κράτος.
Μάχη κραταιὰ τῶν βασιλέων δύο,
C Ὁ Μεμφιβοσθὲ πρὸς Ἀβενὴρ εἰς μάχας,
Ὑπὲρ γυναικὸς πατρικῆς παλλακίδος.
Ἥκει δ' Ἀβενὴρ πρὸς Δαυῒδ θαρσαλέος,
Καὶ κτείνεται δὲ πρὸς Ἰωὰβ ἐνθάδε.
Θλίψις μεγίστη τῷ Δαυῒδ τούτου χάριν,
Μεμφιβοσθὲ θάνατος, αἰτίων μόρος,
Δαυῒδ βασιλεὺς ἁπασῶν φυλῶν μόνος.
Πρὸς Ἰεβουσσαὶ καὶ Χρὰμ ἄναξ Γύρου.
Πρὸς ἀλλοεθνεῖς καὶ Δαυῒδ ποιεῖ μάχας,
Ἄγει κιβωτὸν σὺν μέλει καὶ κιθάρᾳ.
Θάνατος Ὀζᾶν, κώλυσις θείου δόμου,
Δαυῒδ ἀναθήματα τῇ Θεοῦ πόλει,
Τιμᾷ δὲ Δαυῒδ τὸν Ἰωνάθαν γόνον.
Πέμπει πρὸς Ἀννὼν· ἀτιμάζεται λίαν,
D Καὶ ῥήγνυται μάχη τις ὡς ἐξαισία.
Ἡ Βερσαβεὲ, καὶ θάνατος Οὐρίου,
Καὶ παῖς Σολομὼν ἐξ ἀθεμίτων γάμων.
Κρατεῖ δὲ Ῥαμὰθ Ἰωὰβ Δαυῒδ νέμων.
Ἔρως Ἀμνών τε, σύγγονος Θάμαρ πάλιν,
Ἀβεσσαλὼν ἄριστον Ἀμνὼν εἰς φόνον,
Δαυῒδ πρὸς ὀργὴν Ἀβεσαλὼν δραπέται,
Καταλλαγὴ τούτων δὲ πολλῷ τῷ χρόνῳ,
Φυγή τε Δαυῒδ, Ἀβεσαλὼν ἡ στάσις
Τὰ κατὰ Χουσῆ καὶ πάλιν Ἀχιτόφελ,
Κατηγορεῖ Σιβᾶ δὲ τὸν Μεμφιβάαλ,
Ὕβρις Σεμεεὶ, καὶ Δαβὶδ στοργὴ ξένη,
Κοίτην πατρικὴν Ἀβεσαλὼν αἰσχύνει,
Βουλὴν ὁ Χουσῆ τὴν Ἀχιτόφελ τρέπει,
Ἀπάγχεται δὲ καὶ μανεὶς Ἀχιτόφελ,
Λόγοι τε Δαυῒδ, κρατερὰ μάχης βία,

Ὕβρις γυναικὸς, δυσκλεὴς ἀκρασία,
Ἐξ ὕβρεως μόρος τε παννύχου βίας.
Ταύτης μερισμὸς εἰς φυλὰς δεκαδύο,
Ἔνθεν ταραχὴ τῶν φυλῶν πασῶν ξένη.
Λεῖψις γυναικῶν ἐκ φυλῆς ὑβρισάσης
Ἅρπαγμα σεμνῶν παρθένων ἀλλοσπόρων.
Ἐν Ἰσραὴλ δὲ βασιλεὺς οὐκ ἦν τότε
Πράττων ἀγαθὰ, καὶ Θεῷ πεφιλμένος.

Η ΡΟΥΘ.

Γυνὴ Νοεμὶν πρὸς Μωὰβ γῆν ἐκτρέχει
Σὺν Ἀβιμέλεχ συζύγῳ τε καὶ γόνοις,
Φεύγουσα λιμοῦ τὴν βίην τὴν παμφάγον.
Ἐνὶ γόνων δὲ πρὸς γάμου κοινωνίας
Συνέρχεται Ῥοὺθ ἡ καλὴ Μωαβῖτις.
Χηρεύσασα δὲ πρὸς Βηθλεὲμ ἐκτρέχει,
Ἤτινι Βοὸζ πρὸς λέχος τετραμένος
Θέρους ἐν ὥρᾳ συλλεγούσῃ τὸν στάχυν
Γεννᾷ τὸν Ὠβὴδ Ἰεσσαὶ φυτοσπόρον
Ὃς τὸν προφητάνακτα Δαυῒδ βλαστάνει.

Βασιλειῶν πρώτη.

Μετὰ κριτὰς δὲ τοὺς προηριθμημένους,
Ἠλεὶ θύτης ἔκρινεν Ἰσραὴλ μόνος,
Ὅστις μόρον δέδωκε τῶν παίδων χάριν.
Ἀνὴρ Ἐλκανᾶ, καὶ Φενάννα σὺν Ἄννῃ,
Εὐχῆς Σαμουὴλ ἱερεὺς, Ἄννη χάρις.
Θεοῦ λαλιὰ πρὸς Σαμουὴλ τὸν νέον.
Πρόῤῥησις Ἠλεὶ, Φινεὲς, Ὀφνεὶ χάριν·
Ἔθνους ταραχὴ, καὶ κατὰ κράτος νίκη,
Λεῖψις κιβωτοῦ, Φινεὲς, Ὀφνεὶ μόρος·
Θάνατος Ἠλεὶ συμπεσόντος ὑψόθεν,
Πτῶσίς τε Δαγὼν, ἕδρα, μῦς Ἀζωτίοις·
Ἐξαποστολὴ τῆς κιβωτοῦ, καὶ χάρις
Εὐχὴ Σαμουὴλ, ἧττα τῶν ἐναντίων,
Γῆρας Σαμουὴλ, τῶν γόνων ἀταξία.
Βασιλέως ζήτησις ἐκ τῶν Ἑβραίων,
Ὄνοι παραπώλοντο τοῦ Κὶς ἐνθάδε,
Ζήτησις αὐτῶν πρὸς Σαοὺλ ἐν ἡμέραις
Ταύταις, χρίσις τούτου δὲ πρὸς βασιλέα.
Ἀμᾶν ἐπανίσταται τοῖς Γαλαδίταις,
Σαοὺλ βοηθεῖ, καὶ τροποῦται σὺν τάχει,
Δημηγορία τοῦ Σαοὺλ πρὸς τοὺς πέλας,
Φέρει θυσίαν τῷ Θεῷ μόνος μόνῳ.
Καὶ Σαμουὴλ πρόῤῥησις ἀρχῆς εἰς λύσιν.
Ἰωνάθαν παῖς τοῦ Σαοὺλ τραπεὶς μάχαις
Πρὸς τοῦ πατρὸς ἔῤῥωτο τῇ στρατηγίᾳ,
Ἄχρι δὲ νυκτὸς μὴ φαγεῖν Σαοὺλ νόμος,
Παρακοῆς γλύκασμα τοῦ Ἰωνάθαν,
Ψῆφος κατ' αὐτοῦ, καὶ λαοῦ λύσις πάλιν·
Σαοὺλ θανατοῖ τὸν Ἀμαλὴκ εἰς τέλος,
Ἀγὰγ περιποίησις, ὀργὴ Κυρίου,
Ὅνπερ Σαμουὴλ τῇ μαχαίρᾳ κτιννύει.
Χρίει Σαμουὴλ τὸν Δαυῒδ Θεοῦ λόγοις,
Ψάλλων ὁ Δαυῒδ τὸ Σαοὺλ πνεῦμα λύει
Καὶ τοῦ Γολιὰθ εὐστοχεῖ τῇ σφενδόνῃ.
Αἶνός τε Δαυῒδ πρὸς γυναικῶν τῷ κράτει,
Νίκαι τε Δαυῒδ, καὶ Σαοὺλ φθόνος πάλιν,
Συνέρχεται δὲ τῇ Μελχὸλ Σαοὺλ κόρῃ,
Ἰωνάθαν ἕνωσις ἀκραιφνεστάτη.

A Φεύγει τε Δαυῒδ συζύγου συμβουλίᾳ.
Ἐνοῖ τῷ Σαοὺλ τὸν Δαυῒδ Ἰωνάθαν.
Φυγὴ Δαυῒδ πάλιν δὲ, καὶ πεῖρα τρόπου
Πρὸς Ἀβιμέλεχ ὁ Δαυῒδ ὑπεκτρέχει,
Τοὺς μυστικοὺς ἄρτους δὲ πεινῶν ἐσθίει,
Ἥκει πρὸς Ἀχοῦς τὸν καὶ Γὲθ βασιλέα,
Καὶ σκήπτεται δ' ἔκστασιν ἐν περιστάσει,
Κτείνει Σαοὺλ δὲ πρὸς Δωὴκ πρεσβυτέρους.
Λυπεῖ τὸ πραχθὲν τὸν Δαυῒδ ὑπὲρ φύσιν.
Σαοὺλ διώκει, καὶ Δαυῒδ φεύγει πάλιν.
Σπήλαιον ἰδοὺ, κοὶ Σαοὺλ Δαυῒδ ἔσω,
Τὸ κράσπεδον σκόπει δὲ Σαοὺλ ἐνθάδε,
Καὶ τὸ δρᾶμα δείκνυσι καὶ ἀδικίας.
Θνήσκει Σαμουὴλ μὴ βλέπων ὁ προβλέπων,
B Ὕβρις τοῦ Ναβὰλ, καὶ λύσις ἐκ συζύγου,
Αὖθις ὁ Σαοὺλ καὶ Δαυῒδ στρατοῦ μέσου
Δόρυ λαβὼν, ἤνεγκε Σαοὺλ ἐκ κλίνης.
Δαυῒδ πρὸς Ἀγχοῦς τὴν Σικελὰγ λαμβάνει
Κατὰ Σαοὺλ στράτευμα τῶν ἐναντίων.
Ἐγγαστρίμυθος, καὶ Δαυῒδ νικῶν ξένους,
Ὄρη Γελβουὲ, καὶ Σαοὺλ οἰκτρὸς μόρος,
Σὺν Ἰωνάθαν, καὶ Δαυῒδ θρῆνος μέγας.

ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑ.

Μόρος κτανόντος τὸν Σαοὺλ καὶ τὸν γόνον
Δαυῒδ χρίσις, αὖθις δὲ φυλῆς Ἰούδα
Ὁ Μεμφιβοσθὲ τοῦ Σαοὺλ ἄλλος γόνος
Σὺν Ἀβενὴρ ἤρατο τοῦ Σαοὺλ κράτος.
Μάχη κραταιὰ τῶν βασιλέων δύο,
C Ὁ Μεμφιβοσθὲ πρὸς Ἀβενὴρ εἰς μάχας,
Ὑπὲρ γυναικὸς πατρικῆς παλλακίδος.
Ἥκει δ' Ἀβενὴρ πρὸς Δαυῒδ θαρσαλέος,
Καὶ κτείνεται δὲ πρὸς Ἰωὰβ ἐνθάδε.
Θλίψις μεγίστη τῷ Δαυῒδ τούτου χάριν,
Μεμφιβοσθὲ θάνατος, αἰτίων μόρος,
Δαυῒδ βασιλεὺς ἁπασῶν φυλῶν μόνος.
Πρὸς Ἰεβουσσαὶ καὶ Χρὰμ ἄναξ Γύρου.
Πρὸς ἀλλοεθνεῖς καὶ Δαυῒδ ποιεῖ μάχας,
Ἄγει κιβωτὸν σὺν μέλει καὶ κιθάρᾳ.
Θάνατος Ὀζᾶν, κώλυσις θείου δόμου,
Δαυῒδ ἀναθήματα τῇ Θεοῦ πόλει,
Τιμᾷ δὲ Δαυῒδ τὸν Ἰωνάθαν γόνον.
Πέμπει πρὸς Ἀννὼν· ἀτιμάζεται λίαν,
D Καὶ ῥήγνυται μάχη τις ὡς ἐξαισία.
Ἡ Βερσαβεὲ, καὶ θάνατος Οὐρίου,
Καὶ παῖς Σολομὼν ἐξ ἀθεμίτων γάμων.
Κρατεῖ δὲ Ῥαμὰθ Ἰωὰβ Δαυῒδ νέμων.
Ἔρως Ἀμνών τε, σύγγονος Θάμαρ πάλιν,
Ἀβεσσαλὼν ἄριστον Ἀμνὼν εἰς φόνον,
Δαυῒδ πρὸς ὀργὴν Ἀβεσαλὼν δραπέται,
Καταλλαγὴ τούτων δὲ πολλῷ τῷ χρόνῳ,
Φυγή τε Δαυῒδ, Ἀβεσαλὼν ἡ στάσις
Τὰ κατὰ Χουσῆ καὶ πάλιν Ἀχιτόφελ,
Κατηγορεῖ Σιβᾶ δὲ τὸν Μεμφιβάαλ,
Ὕβρις Σεμεεὶ, καὶ Δαβὶδ στοργὴ ξένη,
Κοίτην πατρικὴν Ἀβεσαλὼν αἰσχύνει,
Βουλὴν ὁ Χουσῆ τὴν Ἀχιτόφελ τρέπει,
Ἀπάγχεται δὲ καὶ μανεὶς Ἀχιτόφελ,
Λόγοι τε Δαυῒδ, κρατερὰ μάχης βία,

Ἀδιεσελὼν θάνατος ἐκ κόμης ξύλῳ
Θρηνῶν ὁ Δαυὶδ Ἰωὰβ ἐκπνάγων,
Σπορᾷ Σεμεεὶ, καὶ ῥυπῶν Μεμφιβάαλ
Ἀφεὶς τὸν υἱὸν τῷ Δαυὶδ Σιβᾶ χάριν,
Φόνος δ' Ἀμεσὰ, καὶ Σαβεὶ πρὸς πόλιν,
Αἱμός τ' ἐπὶ γῆς, καὶ Σαοὺλ παίδων δόσις,
Καὶ συνεχεῖς μάχαι τε, καὶ Δαυὶδ νέμων
Ἀριθμεῖ λαοὺς Ἰωὰβ τῶν ἁρμάτων,
Ἐννακόσιαι θ' ἦσαν αἱ χιλιάδες.
Ὃν Γὰδ προφήτης αἱρεσιν νέμων μίαν,
Τριῶν τῷ Δαυὶδ πρὸς Θεοῦ κεκλημένων,
Πτῶσις στήθους ἄπειρος ἐκ θανάτου,
Δαυὶδ ταπεινὸς ἐν θυσιαστηρίῳ.

ΒΑΣΙΛΕΙΩΝ ΤΡΙΤΗ.

Ἀδωνία; πας, Ἰωὰβ, παιδαγία,
Δαυὶδ γεραρὸς, Ἀβισὰκ ἡ παρθένος,
Ἡ Βηρσαβεὲ, καὶ προφήτης ὁ Νάθαν,
Ἄναξ Σολομῶν· καὶ Σαδὼκ αὐτὸν χρίων.
Ἀδωνία; πρόσεισι καὶ κλίνει κάρα,
Δαυὶδ τελευτῇ, καὶ παραινεῖ τῷ γόνῳ
Θεοῦ τιμάς τε, καί τινων τιμωρίας,
Ἀδωνία μόρος δὲ σὺν Ἀβιάθαρ.
Σαδὼκ ὁ Θύτης, Σεμεεὶ κρίσις, μόρος,
Αἰτεῖ σοφίαν ἐκ Θεοῦ καὶ Σολομῶν,
Κρίνει γυναιξὶν ἀκριβῶς ἐν νηπίῳ,
Περὶ σοφίας καὶ τραπέζης καὶ κλίνης·
Τοῦ Σολομῶντος, ὡς ὑπέρλαμπρος λίαν
Χειρὰμ βασιλεὺς, ὕλη, δρυτόμοι, στίφη,
Ἔγερσις οἴκου Σολομῶν, αὐχὴ πάλιν,
Ἐγκαίνιά τε, καὶ Θεοῦ φρικτοὶ λόγοι.
Καὶ ναῦς χρυσὸν φέρουσα τῷ Σολομῶντι,
Νότου βασιλὶς ὑπερεκπεπληγμένη,
Πλοῦτος μέγας τε, καὶ χρυσῶν ὅπλων κλέος,
Ἀρχῆς ὁρισμὸς ὑπερεκτεταμένος.
Εἰδωλολατρεῖ καὶ Σολομὼν τὸ ξένον,
Πταίει θεὸν μάλιστα, καὶ πάσχει πλέον,
Θόρυβος ἔνθεν, ταραχῆς πολλῆς βία
Ἐπαναστάσεις Ἄδερ, Ἑσρὼν ἐνθάδε,
Ἱεροβοὰμ καὶ Τελαμὼνες δέκα,
Θνήσκει Σολομὼν, καὶ Ῥοβοὰμ ἐκράτει,
Λαοῦ τε παράκλησις, ἀπειλαὶ ξέναι,
Φυλῶν μερισμὸς τῶν δέκα, μαστιγία·
Ἱεροβοὰμ, Ἰσραὴλ ἀποστάτης.
Νόσημα παιδὸς Ἀχιᾶ θανεῖν λέγει,
Χρυσαῖ δαμάλεις ἐν Βεθὴλ, καὶ θυσίαι.
Προφήτου ἀνδρὸς τῶν περὶ Ἰωσίαν,
Τὸ θυσιαστήριον ἐξερρίγμένον,
Σηρὰ δὲ καὶ χεὶρ ἐν θυμῷ βασιλέως,
Πάλιν ὑγιὴς καὶ τροπὴ ἐν πρὸς λόγον,
Καὶ τὸν προφήτην θηρίον κατεσθίει.
Εἰδωλολατρεῖ καὶ Ῥοβοὰμ εἰς τέλος,
Ἧκει Σουσακεὶμ βασιλεὺς Αἰγυπτίων.
Ἱερουσαλὴμ ἐκκενοῖ τῶν χρημάτων.
Νοσῶν Ἀβιὰ καὶ πρὸς Ἀχίαν δρόμος.
Θνήσκει Ῥοβοὰμ, Ἀβιὰ κρατεῖ πάλιν,
Μάχη ὅπερ Ἀσὰ πρὸς Θεὸν τὸν νοῦν στρέφων
Καὶ τῶν ξοάνων τοὺς λαοὺς μεταστρέφει,
Ἰεροβοὰμ ἐκψύχει δ' ἀποστάτης.

A Ἔπειτα Ναβὰτ ὃν Βασὰκ κτιννύει,
Τούτου μάχη τις πρὸς Ἀσὰμ μετὰ Σύρων,
Ὄνειδος Ἀσᾶ τῶν θείκων χρημάτων.
Μετὰ Βασᾶ Ὀλᾶ κρατεῖ γόνος,
Τοῦτον δὲ Ζαβρῆς ἐκτίθησι τοῦ μέσου,
Καὶ σύμπαν αὐτῷ τοῦ κράτους ἀνατρέπει
Ἐμπρήσας αὐτὸν σύναμα ταῖς οἰκίαις.
Κρατεῖ μετ' αὐτὸν πάλιν Ἀμβρῆ παιδίον
Οὗ παῖς Ἀχαὰβ ὁ κάκιστος ἁπάντων,
Ἰωσαφὰτ ἄρχει δὲ φυλῆς Ἰούδα.

Περὶ τοῦ Ἠλίου προφήτου.

Στέρησιν ὄμβρων Ἠλίας προμηνύει,
Τρέφει κόραξ δὲ τὸν προφήτην ἐνθέως,
Καὶ χήρα φιλόξενος ἡ Σαραφθία,
B Ὁ καμψάκης ἔλαιον, καὶ δρὰξ ἀλεύρου.
Παιδὸς τελευτὴ, καὶ πνοὴ πάλιν ξένη.
Πρὸς Ἀχαὰβ κάτεισιν Ἠλίας μέγας
Τὴν θυσίαν ὕδατι τὸ ξένον φλέγει,
Τοὺς ἱερεῖς θύει δὲ τοὺς καὶ αἰσχύνης.
Ἄνεισιν εἰς Κάρμηλον, ὑετὸν χέει,
Φεύγει τε μακρὰν ἐξ Ἰεζάβελ φόβου
Τεσσαράκοντα δ' ἀσιτεῖ πρὸς ἡμέρας
Πρὸς τὸν Θεὸν κράζει τε τοῦ ζήλου λόγους.
Ἐλισσαῖος πρόσεισιν ἀρὰς τοὺς βόας
Μόρος Νάβουσθαι, φεῦ! χάριν τῆς ἀμπέλου.
Φόβος, ἀπειλαὶ, καὶ κατάνυξις πάλιν.
Ἦν στρατεύει βασιλεὺς Σύρων Ἄδερ.
Κατὰ κράτος ἡττητο, δουλοῦνται ξένοι.
C Τιμῆς Ἀχαὰβ ἔλεγχος ἀνδρὸς γεννάδου.
Ὁ Μιχαΐας δὲ συμφορὰς αὐτῶν λέγει,
Δεσμὰ φυλακὴ τῷ προφήτῃ πρὸς τέλος,
Συρρήγνυται πόλεμος, Ἀχαὰβ νέμει
Τῷ Ἰωσαφὰτ τὴν στολὴν τῶν ἁρμάτων.
Αὐτὸς ἐκείνου τὴν στολὴν ὑποδύεις,
Στολὴ δ' ἐναλλὰξ τὸν στρατὸν μεταστρέφει,
Καὶ πλήττεται μὲν Ἀχαὰβ ἐν τῇ μάχῃ.
Τῶν αἱμάτων σπῶσι δὲ τὴν ῥοὴν κύνες.
Μετὰ δὲ τοῦτον ἐγκρατὴς παῖς Χοζίας,
Ἰωσαφὰτ φίλος δὲ φυλῆς Ἰούδα.

ΒΑΣΙΛΕΙΩΝ ΤΕΤΑΡΤΗ.

Ὁ Χοζίας ἔπεμψεν ἀσθενῶν τότε,
Εἰς ἀνακωχὴν καὶ νόσου πρὸς τὸν Βαὰλ
D Ὅτ' Ἠλίας εἴρηκεν αὐτὸν τεθνάναι.
Ἡ πυρπόλησις τῶν σταλέντων εἰς ὄρος.
Ἄναξ Ἰωρὰμ σύγγονος ὁ Χοζίου.
Εἰς οὐρανὸν ἄνεισιν Ἠλίας τρέχων.

Περὶ τοῦ Ἐλισσαίου.

Διπλασιάζει τὴν χάριν Ἐλισσαίῳ,
Ποσὶ περῶντι τὰς ῥοὰς Ἰορδάνου.
Οὗτος γόνιμα καὶ τὰ ῥεῖθρα δεικνύει
Καὶ Ἱεριχὼ προσβαλὼν ἅλας μέσους.
Ὑπὲρ φαλάκρας καταρᾶται παιδία,
Ἄρκτοι δὲ κατέδουσιν αὐτὰ συντόμως
Τριτοὶ βασιλεῖς πρὸς Μωὰβ ἀνυδρίαν,
Ἐλισσαίου πρόρρησις ὕδατος, νίκης,
Μωὰβ βασιλεὺς κτιννύει τὸ παιδίον.
Ἔλαιον ἰδοὺ καὶ γυναικὸς πλημμυρὲν,

Ἡ Σωμανῖτις σὺν γόνῳ περιλιμένῳ,
Τὴν πικρίαν λέβητος εὐκόλως λύει.
Ἐν κριθίνοις ἄρτοις δὲ πολλοὺς ἐκτρέφει,
Λεπρὰν Νεαιμὰν ἐν Ἰορδάνῃ ξέει.
Λεπρὰ Γιεζῆ τοῦ χρυσοῦ δώρων χάριν,
Ἕλκει τὸ σιδήριον ἐξ Ἰορδάνου,
Τυφλεῖ στρατὸν, Σύρων δὲ τοῖς ἐχθροῖς νέμει.
Λιμὸς κραταιὸς, καὶ γυνή τις εἰς κρίσιν
Παῖδα φαγεῖν ἔχουσα συντεθειμένον,
Λιμοῦ λύσις σύντομος ἐξ Ἐλισσαίου,
Λεπρῶν δέκα κίνησις, ἡ φυγὴ πάλιν,
Σῖτος διαρκὴς, τοῦ δ' ἀπιστοῦντος μόρος.
Ἄλλος λιμὸς, πάλιν δὲ πρὸς Σωμανιτῖν,
Καὶ θανάτου πρόρρησις ἄνακτι Σύρῳ,
Οὗ δῆτα Ζαὴλ διεδέξατο θρόνον,
Θανὼν δ' Ἰωρὰμ κατέλιπε Χοζίαν,
Κτείνει τοῦτον δὲ πάλιν βασιλεὺς Ἰηοῦ,
Τὴν δ' Ἰεζάβελ ὁ κρυφεῖσαν κτινύει.
Οἶκόν τ' Ἀχαὰβ καὶ τὸν Βαὰλ συντρίβει,
Ἰηοῦ θανόντος Ἰωάχαζ εἰς μέσον.
Μετὰ Χοζίαν δ' ἡ κακὴ Γοθολία,
Ἰωδαῒ θύτης τε Χοζίου γόνον
Τὸν Ἰωὰς ἔχρισεν εἰς βασιλέα.
Ἄλλος Ἰωὰς μετὰ τὸν Ἰωάχαζ,
ὯΙ σύμβολον δέδωκεν εἰς νίκης τρόπον,
Βάλη τὰ πέντε πρὸς λόγον καὶ Συρίας,
Ἀνιστᾷ νεκρὸν καὶ θανὼν Ἐλισσαῖος,
Ἔτρεψε Σύρους Ἰωὰς πλὴν ἐκ τρίτου,
Θανὼν δ' Ἰεροβοὰμ τὸ κράτος νέμει,
Ἐφ' οὗ προφήτης Ἰωνᾶς ἦν ἐν βίῳ.
Ἄναξ δ' Ἰωὰς Ἰούδα λυπεῖ κράτος,
Ὃνπερ Ἰωὰδ ζωγρίᾳ συλλαμβάνει,
Καὶ κιταπορθεῖ τὴν πόλιν οὐκ εἰς τέλος,
Ἄρχει μετ' αὐτὸν ἐκ σπορᾶς Ἀμεστίας,
Καὶ σφάττεται δὴ τῷ ξίφει πρὸς τῷ Σύρῳ
Διάδοχος, κρίτους δὲ παῖς Ἀζαρίας,
Ἐφ' ὧν Ὠσηὲ τὴν προφητείαν λέγει.
Ἀζαρίαν δ' ἔκτεινε Σιλοὺμ ἀδίκως,
Ὑπὲρ μεθιστᾷ Μαναὴν ἀρχῆς πάλιν,
Ἀζαρία παῖς βασιλεὺς Ἰωάθαν,
Μεθ' ὃν κρατεῖ μάλιστα παιδίον Ἄχαζ,
Εἰδωλολατρῶν, οὐ καλῶς Θεὸν σέβων,
Ἐφ' οὗ Ῥαασσὼν, Φακεὲ Ῥομελίου,
Πρὸς τὴν Θεοῦ τρίχουσιν εἰς μάχην πόλιν,
Τὰ σκύλα πολλὰ, καὶ πολὺς λαοῦ φόνος.
Εἶτα νικῶνται πρὸς βίας Ἀσσυρίων,
Τῶν συμμάχων Ἄχαζ τε καὶ Ἰουδαίας,
Ἐφ' οὗ προφήτης Ἡσαΐας ἦν τότε.
Θανὼν Ἄχαζ ἔλιπε τὸν Ἐζεκίαν.
Ὁ Σαλμανασὰρ τῶν Σύρων ἄναξ πάλιν,
Ἐκστρατεύει τοῖς τόποις Σαμαρείας,
Ὡσηὲ κατάρχοντος· ἐκ γένους τότε
Ἀνατρέπει σύμπαντα, πορθεῖ τὰς πόλεις,
Ζητεῖ δ' Ὡσηὲ πρὸς φίλον συμμαχίαν.
Οὐκοῦν μετοικεῖ τὴν Σαμαρείαν ὅλην
Ὁ Σαλμανασὰρ εἰς Ἀσσυρίων τόπους.
Ἐνταῦθα μίμψις Ἰσραὴλ καὶ Ἰούδα,
Πέμπει Σύρους δὲ πρὸς πόλεις Σαμαρείας
Λέοντες αὐτοὺς δαπανῶσιν ἐνδίκως·

Μίγνυσι λοιπὸν καί τινας Σαμαρίων.
Ἱστᾷ τὸ κακὸν τῶν λεόντων ἐνθάδε.
Ἐζεκίας δ' ὢν εὐσεβὴς ἀκρατός,
Βωμοὺς καθαιρεῖ καὶ νεὼν ἐκκαλλύνει,
Καὶ τὴν πόλιν δείκνυσιν ὡραϊσμένην.
Ὁ Σενναχερεὶμ εἰς Θεοῦ πόλιν τρέχει,
Σφοδρὰς ἀπειλὰς ἀποτοξεύων μάτην.
Θερμὴ δέησις, ἀφανὴς συμμαχία,
Νυκτὸς φόνος δ' ἄπειρος εἰς Ἀσσυρίους,
Δράσαντος αὐτὸν ἀφανῶς ἀρχαγγέλου.
Ὁ Σενναχερεὶμ ἐκκακῶν Σαμαρείτας,
Θάπτων ὁ Τωβὴτ, τοὺς νεκροὺς ἐρριμμένους,
Τύφλωσις αὐτῷ τὴν χολὴν ἐξ ἰχθύος
Ἤπατος ἄκρον, τὰ προσήκοντα λέγει,
Τὸν δαίμονα βάλλει δὲ μακρὰν Τωβίας,
Καὶ φωτὸς αὐγὰς τῷ σπορεῖ Τωβὴτ νέμει.
Ἐζεκίας ἀρρώστος, αὔξησις χρόνων,
Ἀναποδισμὸς φωσφόρου τεράστιος,
Πρίσβεις Μαρωδὰχ, τῶν ἀπορρήτων θέα,
Ἐζεκίου δ' ἔλεγχος πρὸς Ἡσαΐου·
Πρίων ξύλινος καὶ μόρος Ἡσαΐου.
Μετ' Ἐζεκίαν Μανασσῆς ἄρχει γόνος,
Πάντων μιαρώτατος, ἀσεβὴς λίαν
Φαρμακὸς ἁπλῶς καὶ φονεὺς μοιχοφθόρος.
Ἀλλὰ σχεθεὶς ἔστρεψεν εἰς Θεὸν νόσῳ,
Τὸ λοιπὸν ἐξῆς εὐλαβῆ ζῇ τὸν βίον.
Ἀμνὼν γόνος δὲ δυσσεβὴς τίνει δίκας·
Ἰωσίας παῖς εὐσεβέστατος λίαν,
Ὑπὲρ ἅπαντας καὶ Θεοῦ τιμῶν νόμους,
Καὶ πάντα ποιῶν τὰ Θεῷ πεφιλμένα.
Τοῦτον Νεχαὼ βασιλεὺς Αἰγυπτίων
Τόξου βολαῖς ἤνεγκεν εἰς ἅλω ζόφον.
Ἰωάχας παῖς Νεχαὼ πάλιν Σύρος
Πόλιν στρατηγεῖ, καὶ τὸν Ἄχαζ ἐξάγει,
Τῷ δ' Ἐλιακεὶμ Ἰσραὴλ κράτος νέμει.
Φόρον νέμει δ' οὗν Ἰσραὴλ κατεστάθη,
Καὶ στρατὸς ὀξὺς σὺν Ναβουχοδονόσορ,
Πορθεῖ κακῶς σύμπασαν Ἑβραίων πόλιν
Ἄναξ τελεῖ δὲ τὸν φόρον τῷ βαρβάρῳ,
Τούτου δ' ἐπεισφρήσαντος ἐν πόλει πάλιν
Ἐγκρύπτεται τάχιστα τῶν τειχῶν κάτω.
Ὁ δ' Ἰωακεὶμ, καὶ ὁ Ἰεχονίας
Σὺν Ἑσθεῖ μητρὶ τοῦ κράτους ἄνω μένει.
Ἄναξ κάκιστος ὁ Ναβουχοδονόσορ,
Ἔξεισιν Ἐσδρας σὺν τῷ Ἰεχονίᾳ,
Τούτους καταισχὼν εἰς Βαβυλῶνα φέρει,
Σὺν λαφύροις πλείστοις δὲ καὶ τοῖς ἐκκρίτοις
Μεθ' ὧν Δανιὴλ, καὶ χορὸς τριῶν νέων.
Σεδεκίαν δὲ τὴν θέσιν Ματθανίαν
Ἄνακτα Σαλὴμ ἐντελῆ καθιστάνει.
Εἰκὼν ὅραμα τοῦ Ναβουχοδονόσορ
Τὰς βασιλείας εἰκονίζουσα ξένως.
Ὁ γοῦν Δανιὴλ εὑρέτης διακρίνων,
Τιμαὶ Δανιὴλ ὑπερεξηρημέναι,
Καὶ θεϊκή τις Βαλτάσαρ τούτῳ θέσις.
Εἰκὼν χρυσῆ πάλιν δὲ Βαβυλωνίου
Παῖδες νέοι τρεῖς, καμίνου δρῖσαι πάλιν,
Ὅρκων πρὸς ἀθέτησιν ὁ Σεδεκίας,
Ἀφίσταται γὰρ τοῦ Ναβουχοδονόσορ.

Ὁ δὲ στρατε...ς πυρπολεῖ καὶ τὴν πόλιν
Καὶ βορβόρῳ χώννυσιν Ἱερεμίαν.
Σεδεκίαν δὲ συλλαβὼν ὅρκων κρίνει
Ῥῆξαντα τεῖχος εἰς φυγὴν τετραμμένον
Παίδων στερεῖ τε καὶ σβέννυσι τὰς κόρας,
Καὶ δέσμιον ἄγει δὲ τῇ Βαβυλῶνι,
Κἀκεῖ τελευτᾷ τὸν βίον καθειργμένος.
Ὁ Ναβουζαρδιὰς τὸν ναὸν πυρὶ καίων,
Πολλοὺς θανατῶν, φαῦλα μυρία πράττων.
Σαλὴμ στρατηγὸς εὐγενὴς Γοδολίας,
Σὺν δ' Ἀμανίταις Ἰσμαὴλ Γοδολία,
Καὶ Χαλδαίοις ἕπεισι, καὶ κτείνει ξίφει.
Καὶ δὴτ' Ἰωνᾶς σὺν στρατῷ τούτους φθάνει,
Κτείνει τε πολλοὺς, καὶ στραφεὶς σὺν τῷ στίφει
Τῶν Ἑβραίων ἅπαντι χωρεῖ συντόνως
Πρὸς τὸν κρατοῦντα καὶ Αἰγύπτου τὸ κράτος.
Εἰδώλα λοιπὸν προσκυνοῦσιν ἐνθάδε.
Εἶτα διεφθάρησαν ἐξ Ἀσσυρίων
Σχόντων πᾶσαν Αἴγυπτον ὑστέρῳ χρόνῳ.
Ναβουχοδονόσορ δὲ λιπὼν τὸν βίον,
Οὕτω Μαρωδὰχ τὴν βασιλείαν νέμει.
Ὃς Ἰωακεὶμ καὶ Σαλὴμ βασιλέα
Σύσσιτον αὐτῷ καὶ σύνεδρον κτιννύει
Καθειργμένον μένοντα πολλοῖς ἐν χρόνοις.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α'.

Θανὼν Μαρωδὰχ Βαλτάσαρ λείπει κράτος,
Δεῖπνον Βαλτάσαρ, καὶ Θεοῦ σκεύη πότῳ,
Καὶ τοῖχος ἀστράγαλος ἀνθρώπου γράφων,
Λύων Δανιὴλ τὴν γραφὴν τῶν δακτύλων,
Καὶ κτείνεται μὲν Βαλτάσαρ πρὸς Δαρείου.
Φθονούμενός τε Δανιὴλ τοῖς σατράπαις,
Λέουσιν ἀπρόσφαυστος ἀρθεὶς, τὸ ξένον,
Ἧκει δ' Ἀββακοὺμ ὑψόθεν μετηρμένος,
Ἀρχὴ τὸ λοιπὸν, ἄγγελος ἑβδομάδιος,
Στρεπτὸς Δανιὴλ, καὶ τιμὴ Μανιάκης·
Ὅραμα πάλιν Δανιὴλ, τὰ θηρία,
Κρίσις Σωσάννης ἐκ χειρὸς πρεσβυτέρων.

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β'.

Μόρος Δαρείου, βασιλεὺς Πέρσης Κῦρος.
Λύσις Ἑβραίων ἔνθεν αἰχμαλωσίας,
Καὶ κώλυσις δὴ τῶν κατοικούντων πέριξ,
Πόλιν ἀνιστᾶν ὡς χρεὼν καὶ τὸν δῆμον.
Μασσαγετῶν Τόμυρις φθείρει τὸν Κῦρον,
Μεθ' ὃν Καμβύσης ὁ Ναβουχοδονόσορ,
Ὃς καθελὼν ἅρισθ τοὺς Αἰγυπτίους
Πρὸς Αἰθίοπα δυστυχεῖ τὰ πρὸς μάχην.
Ἀποστατοῦσι τὸ λοιπὸν Ἰουδαῖοι·
Τὸν Ὀλοφέρνην τοιγαροῦν μετὰ κράτους,
Ἄναξ Καμβύσης ἐξάγει θράσους πλέων
Κινεῖ κατ' αὐτῶν εἰς Γετουλᾶ τὴν πόλιν,
Οἱ δ' ἔνδον ἐκλείπουσιν ὑγροῦ τῇ σπάνει,
Σπάν' αὖθ' Ἰουδὴθ τεχνικῶς καταστρέφει
Τὸν Ὀλοφέρνην ἐξιοῦσα κοσμίως.
Σκηνῆς γὰρ ἔνδον συγκαθεύδουσα μόνῃ
Τὸ ξίφος ἐξάρασα τοῦτον κτιννύει.
Τιμαὶ τὸ λοιπὸν ἀναθήματα δόμῳ,
Τὰ δ' Ἑβραϊκὰ προσκυνῶν Ἀχιώρας.
Ὁ δ' αὖ Καμβύσης ὁ Ναβουχοδονόσορ

A Ἐπεκστρατεύων κατὰ Μάγων τῶν δύο,
Θλασθεὶς πόδα τέθνηκεν ἄθλιον μόρον.
Μεθ' ὃν Δαρεῖος Ὑστάσπου κεκλημένος
Ἐκ μηχανῆς ἥρατο Περσῶν τὸ κλέος
Εὐξάμενος δὴ τῷ Θεῷ, δοῦναι γέρας
Ἱερουσαλὴμ τὴν στάσιν καὶ χρυσίον.
Ὁ Ζοροβάβελ τὴν ὑπόσχεσιν λύει.
Τράπεζα λοιπὸν σατραπῶν εὐωχία.
Ἐκ τοῦ πότου λέγει δὲ Δαρεῖος λόγους
Πρὸς παῖδας αὐτοῦ τοὺς πέριξ κοιμωμένους.
Ὡς δ' εὗρεν οὗτος ὁ ξένος Ζοροβάβελ
Κρατεῖν ἁπάντων τὴν ἀλήθειαν μόνην,
Πείθει Δαρεῖον ἐντελεῖσθ' ὅρκον νέμειν,
Σὺν Ἰωσεδὲκ δ' Ἰησοῦ πρεσβυτέρῳ
Σκευῶν τινα κάλλιστα λαβὼν τοῦ δόμου,
B Γραφάς τε καὶ δύναμιν ἀκριβέστατον,
Πέντε σύναμα τοῦ λαοῦ μυριάσιν
Εἰς Ἱεροσόλυμα συντόμως φθάνει.
Βάλλουσι βάθρα τῷ νεῷ μετὰ πόνου·
Ἄλλη πάλιν κώλυσις ἐκ Σαμαρείας
Διαβαλόντων εἰς ἀπόστασιν τάχα,
Τείχους ὀχυρότητα, καὶ στάσιν δόμου.
Γράφει Δαρεῖος τοῖς στρατηγοῖς Συρίας
Δοῦναι χρυσίον, καὶ βοήθειαν νέμειν.
Ἐγείρεται δ' οὖν καὶ ναός τε καὶ πόλις,
Θυσία, ναὸς, ἀζύμων χορηγία.
Ἐν ἱερεῦσι δ' ἦσαν ἡγμένοι μόνοις
Καλῶς ποθοῦντες τὴν ἀριστοκρατίαν,
Ἀσσαμοναίων ἄχρι καὶ Μακκαβαίων.

C ΕΣΘΗΡ.

Μεγιστᾶνες δὴ Δαρείου, πανδαισία,
Δεῖξις γυναικὸς, ἐντροπὴ βασιλίδος,
Ὀργὴ Δαρείου, λύσις, Ἐσθὴρ εἰς μέσον
Ὄψιν ἀγαθὴ, συγγενὴς Μαρδοχαίου,
Ἐξ αἰχμαλώτων Δαρείου, δορυφόρου,
Ὅστις βασιλεῖ δόλου; ἀνδρῶν μηνύει,
Κἀντεῦθεν ὕψος ἀναβὰς τιμῆς μέγα.
Ἀμὰν πρόαγων Ἑβραίων· οὗτος φθόνῳ,
Σταυρὸν ἀνιστᾷ κατὰ τοῦ Μαρδοχαίου,
Ἵκιστα τιμὴν ἀποδόντος ἀξίαν.
Κίνησις Ἐσθὴρ ὑπὲρ ἅπαντος γένους,
Πρὸς τὸν κρατοῦντα καὶ ξιφηφόρον λόγος
Δέησις εἰκτρὰ, καὶ φονουργίας λύσις.
Ἀμὰν, Δαρεῖος εἰς Ἐσθὴρ παιδαισίαν,
D Νυκτός τε χάρτης, καὶ καλὸς Μαρδοχαῖος,
Σύμβουλος Ἀμὰν καὶ τιμὴς Μαρδοχαίου,
Μαρδοχαῖος ἐφίππος ἐν πορφυρίδι,
Ἀμὰν προάγων καὶ σύρων ἵππον βάδην,
Ἀμὰν πρὸς Ἐσθὴρ τῶν γονάτων ἡμμένος,
Βλέπει Δαρεῖος, ἐννοεῖ κακεργάτην,
Ἐντεῦθεν Ἀμὰν ἐν καταδίκης ξύλῳ,
Πιστὸς πατὴρ τε Δαρείου Μαρδοχαῖος,
Φόνος τε πολὺς τῶν κατὰ τῶν Ἑβραίων,
Καὶ τῶν δέκα σταύρωσις Ἀμάνου γόνων.

ΕΣΔΡΑΣ ΤΟ ΠΡΩΤΟΝ.

Ὁ Δαρείου παῖς ἐγκρατὴς Περσῶν Ξέρξης
Τιμῶν μὲν ζῦλον Ἑβραίων κατὰ κράτος,
Ἔσδρας φίλος μάλιστα τῶν ἄλλων πλέον,

Γράμμα κρατοῦντος εἰς ὅλην ἐπαρχίαν.
Ἔντιμος Ἔσδρας σὺν λαῷ βαρεῖ τρέχων
Εἰς Ἱεροσόλυμα τοὺς νόμους νέμει,
Θαυμάζεται μάλιστα τῶν ἔργων χάος,
Τὰς ἀλλοεθνεῖς ἐξάγει πορρωτέρω,
Ἀναγινώσκει τῷ λαῷ καὶ τοὺς νόμους·
Δάκρυα πολλὰ, καὶ λόγοι, πανδαισία,
Παραγγελία, καὶ θανὼν Ἔσδρας γέρων.

ΕΣΔΡΑΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

Συνθάνεται δὲ καὶ Νεεμίας πάλιν
Τὰ κατὰ Σαλὴμ ἀρχοινοχόος Ξέρξου,
Μανθάνει κακῶς ἀπὸ τῶν πέριξ ἔχειν,
Ζητεῖ τὸν αὐτάνακτα, γραφὰς λαμβάνει,
Ἧκει τὸ τοῖχος καὶ νεῶν πληροῖ τάχος,
Καλῶς καθιστᾷ κατὰ τὸν νόμον σέβειν
Τὰς συναγωγὰς καὶ τὰ Σάββατα πάλιν.
Πρὸς τὸν Ξέρξην ἄνεισιν, εἶτα πρὸς πόλιν,
Ἄριστα ποιῶν, καὶ τελευτᾷ τὸν βίον.
Βασιλεία Περσῶν μέχρι Ἀλεξάνδρου.
Ἀρταβάνης δὲ Ξέρξου τὸ κράτος λύει,
Εἶτ' Ἀρταξέρξης τὴν θέσιν ὁ Μακρόχειρ,
Καὶ δεύτερος Ξέρξης ἓξ καὶ Σογδοάνης,
Νόθος Δαρεῖος, καὶ γόνος Ἀρταξέρξη,
Ἀρτοξέρξης ἄλλος δὲ τὴν κλῆσιν Χῶς,
Ἄρσης ὁ Χώου, καὶ κτανὼν ὁ Βαγώας,
Καὶ Δαρεῖος ὕστερος ἐν Περσῶν γένει,
Ὃν περ Μακεδὼν Ἀλέξανδρος κτιννύει.

ΒΙΒΛΙΟΝ ΜΑΚΚΑΒΑΙΩΝ.

Μετὰ δὲ ταῦτά τις Ἰωάννας θύτης
Χάριν τιμῆς ἔκτεινε συγγόνων ἕνα.
Βαγώας οὐκοῦν στρατηγὸς Ἀρταξέρξου
Χρόνοις ἐν ἑπτὰ συνταράσσει τὸ στίφος.
Θύτης Ἰωαδὰμ ἐκ γόνων Ἰωάννα,
Ὁμαίμος αὐτῷ Μανασσῆς, ἔρις λόγων,
Σαναβαλέτης σατράπης ὁ Δαρείου
Τῷ Μανασσῇ ζεύγνυσι τὴν θυγατέρα.
Τοῦ Μανασσῆ δίωξις ἐκ θείου δόμου
Τοῦ πενθεροῦ, βάρος δὲ καὶ βουλὴ ξένη,
Φυγὴ πρὸς αὐτὸν ταυτοπαθῶν εἰς γάμους,
Ἐν τῷ μέσῳ μόρος δὲ καὶ τοῦ Δαρείου,
Σαναβαλέτης πρόσεισιν Ἀλεξάνδρῳ,
Δίδωσιν ἀρχὴν, ἀντίχαριν λαμβάνει
Ἐν τῷ Γαριζὶν τῷ Θεῷ στῆσαι δόμον,
Ἐκεῖ τὸ λοιπὸν Μανασσῆν ποιεῖ θύτην,
Μερίσας αἰσχρῶς τοὺς λαοὺς κακοτρόπους.
Ἐκ Μακεδόνων Ἀλέξανδρος Φιλίππου
Μετ' Ἰλλυριοὺς καὶ Θρᾷκας, τὰς Ἀθήνας
Πέρσας ἐπεστράτευσε, νικᾷ σατράπας,
Ἀρχὴν Περσῶν σύμπασαν ἐκ Θεοῦ λύει,
Αἴγυπτον εἶλε, Συρίαν, Παλαιστίνην,
Λαμπρὰν ἀνιστᾷ τὴν ἐπώνυμον πόλιν,
Τύρων κατασπᾷ καὶ Σιδωνίων χθόνα,
Λείπει δὲ τὸ ζῆν, ὡς λόγος, τῷ φαρμάκῳ.
Τέως καθιστῶν τὴν μάχην ἐπὶ Γῦρον
Σύμμαχον αἰτεῖ τὴν πόλιν τῶν Ἑβραίων.
Θύτης Ἰωαδ οὐ δίδωσιν εὐλόγως.
Μετὰ μικρὸν ἧκει δὲ σὺν παντευχίᾳ.
Ὁ γ' ὢν θύτης ἐξίστησιν ἐστολισμένος.

A Ἀλέξανδρος δὲ τὸν Θεοῦ τιμᾷ θύτην.
Πρόσεισιν ἔνδον εἰς πόλιν, εἰς τὸν δόμον,
Αἰτήματα σύμπαντα πρὸς τέλος ἄγει.
Οἱ Σαμαρεῖς ἤκουσι τῶν ἴσων χάριν,
Ἔλεγχος αὐτῶν εἰς φυγὴν κακουργίας.
Ἑλὼν δὲ πάσας Ἀλέξανδρος τὰς πόλεις,
Ἀνδρόμαχον τίθησιν ἐν Σαμαρείᾳ.
Τοῦτον Σαμαρεῖς ἐξάγουσι τοῦ βίου,
Ἀλέξανδρος δὲ τοὺς Σαμαρείτας ἄρας,
Μακεδόνας ᾤκισε τοὺς πεφιλμένους.
Μόρος Ἰωαδ, Ὀνίας θύτης γόνος.
Μετὰ τὸν Ἀλέξανδρον εἰς τετραρχίαν
Ἀρχὴ πᾶσα τέτραπτο τοῖς μεγιστᾶσι,
Κρατεῖ δ' Αἰγύπτου Πτολεμαῖος ὁ Λάγος.
Ἐν Σαββάτῳ δὲ τὴν πόλιν τῶν Ἑβραίων
B Πορθεῖ προφανῶς, καὶ πρὸς Αἴγυπτον τρέχει.
Μετὰ δ' ἐκεῖνον καὶ Φιλάδελφος γόνος,
Μεταφράσας ἄριστα βίβλους Ἑβραίων,
Φαληρεὺς Δημήτριος σὺν Ἀριστέᾳ.
Λύσις δι' αὐτῶν Ἑβραίων ἀνδραπόδων
Μετὰ δ' Ὀνίαν καὶ Σίμων Ἐλεάζαρ,
Πρὸς Ἀντιόχου καὶ κάκωσις Ἑβραίων,
Καταστρατηγήσαντος τὸν Πτολεμαῖον.
Πτολεμαίου παῖς Ἐπιφανὴς τὴν θέσιν
Μετὰ στρατοῦ κράτησεν ἐν Παλαιστίνῃ,
Αὐτῷ τὸ λοιπὸν προστρέχουσιν Ἑβραῖοι,
Πάλιν πρὸς Ἀντιόχου ἐξ ἐναντίου,
Ἀντιόχου παῖς καὶ γυνὴ Πτολεμαίου,
Κῆδος θυγατρὸς πρὸξ Παλαιστίνης ὅροι,
C Καὶ Πτολεμαῖος τὴν Θεοῦ κρατεῖ πόλιν.
Μετ' Ἐλεάζαρ Μανασσῆς Θεῷ θύων,
Ἔπειτ' Ὀνίας Σίμωνος φίλος γόνος.
Τὸν δασμὸν αἰτεῖ κατ' ἔθνος Πτολεμαῖος,
Ὁ δ' Ὀνίας δίδωσιν ἥκιστα φόρον,
Ὀργίζεται, πρόσεισιν Ἰωσὴφ φίλος,
Λαμπρῶς τιμᾶται καὶ τελωνεῖ κοσμίως.
Πτολεμαίῳ παῖς καὶ γενέθλια, φίλοι.
Ἄνεισιν ὁ παῖς Ἰωσὴφ νέμων χάριν,
Ὑρκανὸς αὐτὸς χάριν ἀρίστην φέρων,
Πρὸς συγγόνων ἑνέδρα, καὶ τούτου μόρος,
Ἐπιφανοῦς τε μόρος τοῦ Πτολεμαίου,
Πάλιν ὁ Ἀντίοχος εἰς Θεοῦ πόλιν,
Θύτης Ἰησοῦς καὶ Μενέλαος πάλιν,
D Θυτῶν δύο στάσις τις ἐνθάδε ξένη,
Φυγὰς ὁ Μενέλαος ἐπ' Ἀντιόχῳ,
Πρόσεισιν Ἀντίοχος, πορθεῖ τὴν πόλιν,
Τὸν πλοῦτον αὐτῆς ἐκφορεῖ, καταστρέφει,
Νόμους προλιπεῖν ἐκβιάζει πατρίους,
Κυροῖ πάντας Ἕλληνα μιμεῖσθαι βίον.
Τότ' Ἐλεάζαρ καὶ σοφοὶ Μακκαβαῖοι
Ὡς ἀνδρικῶς ἔστησαν ὑπὲρ τοῦ νόμου,
Ἀσαμωναῖοι σὺν πατρὶ τῷ Ματθίᾳ,
Θῦσαι κελευσθὲν, Ἀπελλῆν δόντες φόνῳ
Πρὸς τὴν ἔρημον ἐκτρέχουσιν αὐτίκα,
Μεθ' ὧν μυρίων ἀποφεύγουσι στίφος.
Ἐν Σαββάτῳ μάχη δὲ φυγάδων νίκη,
Ἀνατροπὴ συμπάντων ἐν τῷ Σαββάτῳ.
Μετὰ Ματθίαν Σίμων ὁ Μακκαβαῖος
Στίφους κατάρχει τοῦ φιλοῦντος τὸν νόμον,

Κτείνει τε πολλοὺς συμβαλὼν αἰφνιδίως
Τῶν ὑπασπιστῶν ἀνδρικῶς Ἀντιόχου.
Καὶ δὴ τὸν ναὸν ἐκκαθαίρει συντόμως,
Καὶ πάντα ποιεῖ πρὸς τὸ βέλτιον τρέπων.
Ὁ δ' Ἀντίοχος ἐκμαθὼν ἀποψύχει,
Καὶ μικρὸς Ἀντίοχος σὺν τῷ Λυσίᾳ
Σπονδαῖς πόλιν εἵλετσιν τὴν Θεοῦ τότε,
Ἐξ ἐλέφαντος Ἐλεαζάρου μόρος.
Καὶ φθείρεται Φίλιππος ἐξ Ἀντιόχου.
Ἄλκιμος οὗτος, καὶ φυγὰς δὲ Ὀνία;
Ἀνιστὰς εἰς γῆν τῶν Αἰγυπτίων δόμων.
Τὸν Ἀντίοχον Λυσίας κτείνει πάλιν,
Ὁ Δημήτριος Σελεύκου τὸ παιδίον,
Ἄλκιμος κινεῖ πρὸς Μακκαβαῖον λόγους,
Καὶ Βακχίδης ἥκει δὲ πρὸς Δημήτριον.
Πράξων κακὸν τάχιστα τῷ Μακκαβαίῳ,
Ἀλλὰ πρὸς Ἀντιόχου ἐστράφη μάτην.
Καὶ Νικάνωρ κάτεισι σὺν δόλῳ πάλιν.
Μάχης δὲ πολλῆς συρραγείσης ἐν πόλει,
Πίπτει Νικάνωρ σὺν λαοῦ πολλῷ στίφει,
Ὁ δ' αὖ λαὸς δίδωσι τῷ Μακκαβαίῳ
Γέρας τὸ λαμπρὸν καὶ ἀρχιερωσύνης.
Πάλιν Βακχίδης ἐμπεσὼν Μακκαβαίῳ
Κτείνει τὸν ἄνδρα δραστικώτατον φύσει,
Καὶ τὸ κράτος δίδωσι τοῖς ἐναντίοις,
Στρατὸς Ἰούδα τοῦ καλοῦ Μακκαβαίου,
Ἰωνάθαν ὅμαιμον αἱροῦνται κράτει,
Τούτου δὲ μάχη σύρρηξις ἐν Βακχίδι,
Νικᾷ μὲν οὐδείς. Ἰωνάθης εἰς ὄρος,
Ὁ δ' αὖ Βακχίδης πρὸς Δημήτριον τρέχει.
Πάλιν Βακχίδης πρὸς μάχην Ἰωνάθῃ.
Ἀλλὰ νικηθεὶς ἀφορᾷ πρὸς συμβάσεις,
Καὶ πρὸς τὸν Δημήτριον αὖθις ἐκτρέχει.
Μάχη πρὸς Δημήτριον ἐξ Ἀλεξάνδρου,
Ἐπιφανοῦς γόνου δὲ τοῦ Πτολεμαίου
Ἰωνάθης σύμμαχος ἐν Δημητρίῳ,
Εἶτα πρὸς Ἀλέξανδρον αἱρεῖ φιλίαν,
Δημητρίου θάνατος ἀπὸ τελμάτων.
Φιλοπάτορος θανόντος Πτολεμαίου,
Εὐεργέτης κατῆρξεν ὁ Πτολεμαῖος,

A Ἀλέξανδρος τούτου δὲ τὴν κόρην ἔχει,
Εἰς φιλίαν δίδωσιν ὁ Ἰωνάθῃ.
Ἥκει δὲ Δημήτριος παῖς Δημητρίου·
Ἄρχει Συρίας πατρικῶν τ' ἄλλων τόπων,
Ἀλεξάνδρου δὲ πενθερὸς Πτολεμαῖος
Τέχνῃ μετελθὼν τὸν Ἀλεξάνδρον δόλῳ,
Δημητρίῳ δίδωσι τὴν θυγατέρα
Καὶ βασιλείας Ἀλέξανδρου τῶν τόπων.
Ἀλεξάνδρου θάνατος καὶ Πτολεμαίου.
Στάσις πρὸς Δημήτριον Ἀντιοχέων.
Λαμπρὸς βοηθὸς καὶ φίλος Ἰωνάθῃ·
Φιλίαν αἰτῶν, καὶ πρὸς αὐτὴν τὴν Ῥώμην
Ὀρφανὸς, Ἀντίοχος παῖς Ἀλεξάνδρου
Σὺν Τρύφωνι κάτεισιν ἐκ τῶν Ἀράβων.
Θόρυβος ἔνθεν, ταραχὴ Δημητρίῳ.
B Ὁ Δημήτριος εἰς Ἄραβας ἐκτρέχει,
Ληφθεὶς δὲ τίνει δίκας ἀθλίως τάλας.
Τρύφων τὸν Ἀντίοχον ἐκτεμεῖν θέλων,
Ἦν ὡς ἀληθῶς δειλιῶν Ἰωνάθην,
Καὶ δῆτα συσχὼν τὸν Ἰωνάθην δόλῳ
Κάτεισιν εὐθὺς εἰς Ἰουδαίας τόπους.
Καὶ τὸν Σίμωνα τὸν γόνον Ἰωνάθου
Ἥτει τάλαντα δῆθεν ὡς χρέους δόσιν.
Σίμων δίδωσι μέμφιν ὡς ὑπεκκλίνων.
Κτείνει δὲ λαβὼν καὶ πάλιν Ἰωνάθην,
Δημητρίου παῖς Ἀντίοχος Σιδήτης.
Κρατεῖ Συρίας πρόσφιλὴς Ἰουδαίοις
Ὅμαιμος Ἀντίοχος τοῦ Δημητρίου
Πρὸς Κλεοπάτραν σύζυγον Δημητρίου
C Φεύγει, Τρύφων δ' ἔπειτα πρὸς Ὀρθωσίαν.
Καὶ πυρποληθεὶς τὸν βίον καταστρέφει,
Σπονδὰς λύει Σίμωνος ἀναξ Σιδήτης,
Καὶ Κενδεβαῖος ἐκστρατεύει πρὸς πόλιν,
Νικᾷ δὲ τοῦτον Σίμωνος Ἰωνάθης.
Πρὸς Πτολεμαῖον κτείνεται Σίμων δόλῳ,
Ὃς Ἀβούκου κέκλητο λαμπρὸς τυγχάνων.
Ὁ Σίμωνος παῖς Ὑρκανὸς, Ἰωνάθης
Πρὸς Πτολεμαῖον ἐκστρατεύει σὺν τάχει,
Ὁ δὲ κτανὼν Σίμωνος ἀδελφοὺς ξίφει,
Πρὸς Κοτυλὰν τύραννον εὐθὺς ἐκτρέχει.

ΣΥΝΟΠΤΙΚΗ ΠΡΟΣ ΘΕΙΑΝ ΓΡΑΦΗΝ

Μέχρι τούτων διαλαμβάνει ἡ Θεία Γραφή, τὰ δὲ ἐξῆς ἄχρι καὶ αὐτὴν ἅλωσιν Ἱερουσαλὴμ ὁ Ἰώσηπος ἱστορεῖ, ἅπερ ὡς λυσιτελῆ τούτοις ἐπισυνάπτομεν.

Τὰ μετὰ τὰ *Μακκαβαϊκὰ* ὡς Ἰώσηπος ἱστορεῖ μέχρι Χριστοῦ, καὶ αὐτῆς ἁλώσεως Ἱερουσαλήμ.

—

Ὁ δ' Ἀντίοχος ἀδελφὸς Δημητρίου
Μετὸ μάχην τε καὶ κάκωσιν μυρίαν
Σπονδὰς τελῶν εἴσεισι τὴν Θεοῦ πόλιν.
Εἶτα πρὸς αὐτοὺς ἐκστρατεύει τοὺς Πάρθους
Μετ' Ἀντιόχου συμβαλεῖν πρὸς Ἀρσάκην.
Καὶ κτείνεται μὲν Ἀντίοχος ἐν μάχῃ·
Πολλὰς δ' Ὑρκανὸς ὑποποιεῖται πόλεις.

D Λυθεὶς δὲ Δημήτριος ἄρχει τῶν Σύρων.
Σύροι δὲ πρὸς Φύκωνος τοῦ Πτολεμαίου
Ζεβινᾶν Ἀλέξανδρον αἱροῦνται κράτει,
Ὅστις τὸν Δημήτριον ἀρχῆς ἐξάγει·
Στάντος δὲ μακρὰν συζύγου Κλεοπάτρας
Πλεῖστα παθὼν τέθνηκεν ἀθλίῳ μόρῳ.
Ὁ Γρυπὸς Ἀντίοχος παῖς Δημητρίου

Συστὰς πρὸς Ἀλέξανδρον ἐξάγει μέσου,
Χρόνοις τε πολλοῖς ἦρξε Συρίας πάσης.
Ὁ δ' Ἀντίοχος Κυζικηνὸς τὴν θέσιν,
Ἀντιόχου παῖς συγγόνου Δημητρίου
Περὶ κράτος ἤρατο τῷ Γρυπῷ μάχην,
Μικρὸν δὲ παυθεὶς Ὑρκανὸς ἐκ τῆς μάχης,
Τελῶν φόρους, ἤνεγκεν ἀδρὸν χρυσίον.
Ὁ Κυζικηνὸς τῶν Σαμαρίων χάριν
Ὑρκανοῦ παισὶ συγγρωτῶν μάχην ξένην,
Θύων δ' Ὑρκανὸς καθορᾷ νίκης κράτος
Ὃ πεσὼν ἐβράβευσεν, ἡ μάχης κρίσις,
Σύγχυσις ὧδε φιλία Φαρισσαίων.
Θνήσκων δ' Ὑρκανὸς τῷ γόνῳ κράτος νέμει
Ἀριστοβούλῳ βασιλεῖ πρῶτον μόνῳ,
Ὃς τοῦ γένους ἔρθειρε τὸ πλεῖστον μέρος,
Μεθ' ὃν ἀδελφὸν Ἀντίγονον ὑστορίως,
Ἐν τῷ Στράτωνος ὡς προεῖπέ τις βίβλος,
Αὐτὸς δὲ βαγεὶς τὴν ψυχὴν ἐμεῖ πάλιν.
Ἰανναῖος σύγγονος τὸ κράτος φέρει,
Πολλὰ δὲ δεινὰ τοῖς Ἰουδαίοις δράσας·
Κλεοπάτρᾳ πρόσεισι τῇ καὶ Σελήνῃ
Μάχας ἐχούσῃ πρὸς γόνον Πτολεμαίου,
Ὃς Ἰανναίῳ συμπλακεὶς τὰ πρὸς μάχην
Κατὰ κράτος τέθεικε κατηξυμμένον,
Καὶ τὴν πόλιν εἴσεισι Πτολεμαΐδα
Καὶ τὴν Ἀλεξάνδρειαν αὖθις λαμβάνει·
Τῆς Κλεοπάτρας ἐκλιπούσης εἰς χρόνον,
Ὡς Ἰανναῖον ἐγκαταστήσῃ θρόνῳ,
Ὁ Κυζικηνὸς τὸν Γρυπὸν καταστρέφει,
Τὸν δ' αὖ Σέλευκος ὁ Γρυποῦ πάλιν γόνος
Ἐξοστρακίζει τοῦ κράτους πορρωτέρω.
Ὁ Κυζικηνὸς τὸν Σέλευκον λαμβάνει,
Καὶ τῷ πυρὶ δίδωσιν εἰς τέλος φλόγα.
Τούτῳ συνίστων ἀκρατῶς πάλιν μάχην
Γόνοι τοῦ Γρυποῦ σύγγονοι τοῦ Σελεύκου.
Ἄγει τὸν Ἀλέξανδρον ἡ Κλεοπάτρα,
Καὶ φαρμάκῳ πέφθαρτο δηλητηρίῳ.
Διύκεται γοῦν Ἀλέξανδρος αὐτίκα,
Καὶ Πτολεμαίου τὸ κράτος βλέπει πάλιν.
Ἰανναῖος δὲ τὴν Σαμάρειαν τέλος
Πορθεῖ πρὸ παντὸς, καὶ σαφῶς καταστρέφει.
Μετὰ δὲ μόρον τοῦ νέου Πτολεμαίου
Κατῆρξεν Ἀλέξανδρος ἐν βραχεῖ χρόνῳ,
Καὶ τὴν ἀδελφὴν ἐκτεμὼν Κλεοπάτραν,
Πρὸς τοῦ στίφους ἤνεγκεν ἄθλιον μόρον,
Μεθ' ὃν κρατεῖ μάλιστα παῖς φιλομήτωρ
Ὁ Φιλάδελφος καὶ νέος Πτολεμαῖος.
Ὁ δ' Ἀρμένιος Τιγράνης Παρθυαῖος
Πάρθων ἀποστὰς οὐ βραχὺ κρατῶν τόπῳ.
Ἤλασε δ' ἐς γῆν Φοινίκης καὶ Συρίας
Ὁ κλῆσιν Διόνυσος ἐκ Πτολεμαίων.
Οὗτος μάχην ἤγειρε πρὸς Ἰουδαίους,
Οὗ καὶ θανόντος Συρίας ἄρχει κράτους
Ἀρίτας, ὃς χείριστον ἀντλίρει μάχην
Πρὸς Ἰουδαίους, καὶ πάλιν ὑποστρέφει
Πρὸς παῖδα Γρυποῦ. Καθιστᾷ τὰ πρὸς μάχην
Ὁ Ἰανναῖος καὶ νικᾷ κατὰ κράτος,
Ἰτουραίαν δὲ προσβαλὼν λείπει βίον,
Ἀφεὶς γυναικὶ τῇ Σελήνῃ τὸ κράτος

A Σὺν παισὶ διπλοῖς ἁπαλοῖς καὶ νηπίοις.
Καὶ Μάρκιος ῥῆξ Συρίαν φθάνει τότε,
Σταλεὶς στρατηγὸς ἐκ παλαιτέρας Ῥώμης.
Ἰανναίου παῖς Ὑρκανὸς ἄναξ νέος,
Ὁ δ' αὖ Ἀριστόβουλος ἱερεὺς πάλιν,
Δραστήριος δ' ὢν Ἀριστόβουλος τρόπους,
Σύμπαν τὸ κράτος ἀναδύεται μόνος,
Τὸν δ' Ὑρκανὸν ἤργησεν ὡς εὐμηχάνως.
Ὁ δ' αὖ φυγὰς κάτεισι πρὸς τὸν Ἀρίταν.
Σὺν Ἀντιπάτρῳ τῷ πάλαι πεφιλμένῳ,
Καὶ πρὸς μάχην ἤκουσιν Ἀριστοβούλῳ.
Αὖθις δ' Ἀριστόβουλος Σκάρῳ προστρέχει,
Ὃν δῆτα Πομπήϊος στρατηγὸς Ῥώμης
Ἐπιβλέπειν ἔταξε τὴν Παλαιστίνην.
B Οὗτος Ἀρίταν ὑποθήκαις ἐκτρέπει.
Πάλιν Ὑρκανὸς σὺν Ἀντιπάτρῳ φίλῳ
Πρὸς Πομπήϊον στρατηγὸν ἀνατρέχει.
Στέλλει Γαβίνιον αὐτίκα Πομπήϊος
Ὑπὲρ Ὑρκανοῦ πρὸς Ἰουδαίων πόλιν.
Οὐκ εἰσδέχονται τὸν Γαβίνιον λόγοις.
Ἦκει δ' ὁ Πομπήϊος ὕστερον πλείων
Στρατῷ βαρεῖ μάλιστα, καὶ τρέπει λίαν
Ἀριστοβούλῳ παριδὼν χρυσοῦ χύσιν,
Σφάττει, θερίζει συμπλακεὶς πολλῇ μάχῃ,
Καὶ τὸν Ἀριστόβουλον ἐμπνουν λαμβάνει,
Ὑρκανῷ τὸ πᾶν δ' ἀνατίθησι κράτος,
Ἄναχτα δεικνὺς καὶ θύτην κατὰ χοέως.
Ἀντιπάτρῳ δὲ τὴν Παλαιστίνην νέμει
Ἐπιμελητὴν ἀναδείξας πραγμάτων.
C Αὐτὸν δ' Ἀριστόβουλον σὺν δυσὶ γόνοις
Λαβὼν ὁ Πομπήϊος ἐκπλεῖ πρὸς Ῥώμην.
Τοῦτον δὲ σαφῶς τὸν τρόπον Ἰουδαῖοι
Πρὸς Ῥωμαίων ἦρχθησαν ἐξ ἀδουλίας.
Φυγὰς τὸ λοιπὸν Ἀλέξανδρος ἐνθάδε
Πρὸς Ἰουδαίαν Ἀριστοβούλου γόνος
Ὅστις Ὑρκανὸν τοῦ κράτους ὑπεξάγει.
Αὖθις δὲ φεύγει προσβαλὼν Ἀντωνίῳ,
Καὶ πρὸς Ῥώμην ἄγεται δέσμιος πάλιν.
Εἶτα δ' Ἀριστόβουλος σὺν Ἀντιγόνῳ
Φεύγουσιν ἅμα, συγκροτοῦσι καὶ μάχην,
Πλὴν ἀλλ' Ἀριστόβουλος πρὸς Ἀντώνιον
Θνήσκει προφανῶς ὡς σταλεὶς Πομπηΐῳ,
Φυγὰς δ' ὁ Ἀντίγονος ἐν Πάρθων κράτει·
Ἦτταν δ' ὑποστάντος τῶν Ῥωμαίων κράτος,
D Ἀποστατοῦσιν Ὑρκανοῦ καὶ τὰ στίφη.
Ὁ Κάσιος δ' οὖν ἐγκαθιστεῖ πρὸς λόγον
Συλῶν τὸν νεών. Ὑρκανοῦ δῆθεν χάριν
Κάτεισιν Ἀντίγονος σὺν Πάρθοις μόνοις.
Τοῦτον δὲ Γαβίνιος ὡς πορρωτέρω
Τίθησιν εὐθὺς ἑκτοσὶ Ταβυρίου.
Καῖσαρ μονάρχης, θάνατος Πομπηΐου,
Βοηθὸς Ἀντίπατρος ἐν πᾶσι τρόποις
Ἀρχὴν βεβαιοῖ σὺν Ὑρκανῷ τῷ φίλῳ.
Πρόσεισιν Ἀντίγονος Καίσαρι πάλιν.
Ὁ δ' Ἀντίπατρος ἐμποδὼν τούτῳ μόνον
Υἱοὺς στρατηγοὺς Ἀντίπατρος δεικνύει,
Μέγαν Ἡρώδην καὶ Φασάηλον λέγω.
Γογγυσμὸς ἔνθεν τοῦ στίφους Ἰουδαίων,
Τὸ τυραννικὸν εὐλαβουμένων τέχα.

Κρίσις Ὑρκανοῦ σὺν χάριτι καὶ δόλῳ
Κατηγορούντων Ἡρώδην τῶν Ἑβραίων.
Καῖσαρ ἀδελφὸν Κλεοπάτρας ἐξάγει
Τὸν Πτολεμαῖον τοῦ κράτους Αἰγυπτίων,
Μόνῃ δὲ ταύτῃ τὴν ἀρχὴν πᾶσαν νέμει,
Ἀναίρεσις Καίσαρος ἐν μέσῳ πάλιν.
Κάτεισιν Ἀντίγονος ἐν μάχης κράτει.
Μάλιχος Ἀντίπατρον ἐξάγει βίου
Ἐν φαρμάκῳ μάλιστα, τῷ δ' αὖ Ἡρώδῃ
Δίδωσιν ἀρχὴν Ὑρκανὸς Ἀντιπάτρου,
Καὶ πλείονα δοὺς πατρικῆς ἑταιρίας,
Ὅστις ἐπαρθεὶς κατὰ μικρὸν τῷ κράτει
Ἀφηνιάζων εἰς ἀπόστασιν βλέπει,
Ἐς φιλίαν δὲ τοῖς κρατοῦσιν ἐν Ῥώμῃ
Καθίσταται μάλιστα σαίνων ἐκθύμως,
Ἀριστοβούλῳ Μαριάμνην τὴν κόρην
Τὴν ἀδελφιδῆν Ὑρκανοῦ λαβὼν γάμῳ.
Ὁ Καῖσαρ Ἰούλιος Γάϊος πάλιν
Ἐν τῇ Ῥώμῃ μόναρχος αἱρεῖται κράτωρ.
Στρατηγὸς Ἀντώνιος Ἀσίας πάσης.
Κατηγοροῦσιν Ἡρώδου σύμπαν γένος,
Κόλαξ Ἡρώδης, καὶ μόρος κατηγόρων,
Πάλιν πρὸς ἀρχὴν, καὶ κίνησις τοῦ στίφους.
Ἔκβλητος αὐτὸς σὺν Ὑρκανῷ τῷ φίλῳ,
Μάχη κραταιὰ, καὶ πρὸς τὸ κράτος πάλιν
Κάτεισιν Ἀντίγονος ἅμα Πακόρῳ.
Φυγὰς Ἡρώδης, θάνατος Φασαήλου,
Ζῶντα δ' Ὑρκανὸν Ἀντίγονος λαμβάνει,
Πάρθοις δίδωσι, λωβᾶται δὲ τὰ μέλη,
Αὐτὸς δ' ἀνεζώσατο τὸ κράτος μόνος.
Μάλχῳ πρόσεισιν Ἡρώδης Ἀραβίῳ,
Ἥκιστα προσδέδεκτο τῷ Πάρθων φόβῳ.
Πρὸς τὴν Ἀλεξάνδρειαν οὐκοῦν ἐκτρέχει
Πρὸς κρίσιν εἰς Αἴγυπτον ἡ Κλεοπάτρα
Παρ' Ἀντώνιον, καὶ συνάφεια γάμου,
Μεθ' ἧς Ἡρώδης καὶ γραφαῖς Ἀντωνίου
Πρὸς τὸν Καίσαρα καὶ Ῥώμην καταπλέει.
Ψηφίζεται δ' οὖν τῶν Ἰουδαίων κράτωρ,
Σὺν Συδίῳ Κράτητι τῷ στρατηγέτῃ.
Μετὰ χρόνον δὲ τριετῆ πορθεῖ πόλιν,
Τὸν δ' Ἀντίγονον ζῶντα λαβὼν ἀθύμως
Ἀντωνίῳ δίδωσι πέμπειν εἰς Ῥώμην·
Δώροις φθαρεὶς δὲ τοῦτον ἐκτέμνει ξίφει,
Καὶ πολλὰς ἐκδίδωσιν Ἡρώδης πόλεις·
Τὴν Συρίαν νέμει δὲ τῇ Κλεοπάτρᾳ.
Ἀντώνιος δὲ κατὰ τῶν Πάρθων τρέχων,
Σύναμα πολλαῖς τοῦ στρατοῦ μυριάσιν
Ἥττητο πάμπαν τοῦ στρατοῦ τὸ πᾶν τεῖχος.
Ὑρκανὸς ἐπάνεισιν ἐκ Πάρθων πάλιν,
Λαμπρῶς τιμᾶται πρὸς κόλακος Ἡρώδου,
Καὶ κτείνεται δὲ συῤῥαφαῖς τισι δόλου.
Θύτης Ἰαὴλ ἐξ ἀθήμου τοῦ γένους,
Εἶτ' Ἀλεξάνδρας παιδίον ἐξ εἰκόνων,
Ἀντωνίου φόβῳ τε καὶ Κλεοπάτρας
Βούλευμα φυγῆς Ἀλεξάνδρας σὺν γόνῳ.
Ἀριστοβούλου πνιγμονὴ πρὸς Ἡρώδου.
Ἥκει πρὸς Ἀντωνίου Ἡρώδης τάχος
Ἀριστοβούλου πνιγμονῆς δώσων λόγους,
Θεῖός τ' Ἰωσὴφ Μαριάμνην οἱ λόγοι.

A Κατέρχεται πάλιν δὲ λαμπρὸς Ἡρώδης.
Ἔκπυστα μυστήρια, ζηλοτυπία
Ἄδικος ὄντως, Ἰωσὴφ ἰδοὺ μόρος,
Κλεοπάτρας ἔρωτες ὡς πρὸς Ἡρώδην,
Δεινὰ δὲ πολλὰ τὴν Ἰουδαίαν φθάνει.
Ἀντωνίῳ δ' ἥκιστα πρὸς Ῥώμης κράτος
Ἐλθεῖν θελητὸν καὶ Πάρθων ἥττης χάριν.
Ἥκει τὸ λοιπὸν ὁ Καῖσαρ ἐξ Ἑσπέρας.
Συῤῥήγνυται μάχη δὲ καὶ ναυμαχία.
Ἡττᾶτο δ' Ἀντώνιος ἔνθεν εἰς τέλος,
Τῷ φαρμάκῳ θνήσκει δὲ Κλεοπάτρα,
Ὁ δ' Ἀντώνιος αὐτόχειρ πόῤῥω βίου.
Ἐνταῦθ' Ἡρώδης καὶ γραφὰς στέλλει δύο
Δόλῳ κελεύσας τῷ νικήσαντι νέμειν.
Ἥσθη νικήσας καὶ λαβὼν ταύτας Καῖσαρ,
B Εὔνους πρὸ πάντων Ἡρώδης διεκρίθη,
Καὶ Καίσαρι πρόσεισιν ἐν τοῖς ὑστέροις.
Λαμπρῶς τιμᾶται καὶ σεβάζεται πλέον.
Σόεμος ἀπόῤῥητα γυναικὸς χάριν.
Ἡρώδης δ' ἐπάνεισιν εἰς τὴν οἰκίαν,
Ἐρᾷ γυναικὸς, Μαριὰμ δ' ἐνετρύφα.
Ἐντεῦθεν αὐτὸς ζηλοτυπίας μῖσος
Κατὰ Μαριὰμ Σαλώμη πρὸς Ἡρώδην,
Ψευδὴς λόγος, φάρμακον ἐξ οἰνοχόου
Μυστηρίων ἔκφανσις, Σοέμου μόρος.
Κατὰ Μαριὰμ ἡ κρίσις καὶ τὸ ξίφος,
Νοσῶν Ἡρώδης ἐξ ἐρώτων συμβίου,
Μητρὸς Μαριὰμ καὶ Ἀλεξάνδρας μόρος.
Ἐντεῦθεν εἰς ἅπαντα δεινὸς Ἡρώδης,
C Ἕξιν φθαρεὶς μάλιστα καὶ φόνον πνέων,
Ὁρμὴ κατ' αὐτοῦ, τοῦ δόλου τιμωρία,
Λιμὸς δαπανῶν καὶ ποικιλία νόσων,
Λιμοῦ παραμύθιον Ἡρώδης μέγα,
Τέμνων τὰ παράσημα καὶ πτωχοῦ νέμων,
Ὁ πρὶν δ' ἀπεχθὴς εὐμενὴς λελεγμένος,
Ἐρᾷ γυναικὸς τοῦ Σίμωνος καὶ κόρης
Ἄγει παρ' αὐτὸν καὶ πατὴρ Σίμων θύτης.
Ἰησοῦν τὸν Φάβητον ἀργὸν δεικνύων
Πολλά τε πράσσων οὐ καλῶς παρὰ νόμον·
Πόλεις, δόμους ἔκτιζε καὶ στήλας πάλιν
Εἰς χάριν ἁπλῶς τῶν κρατούντων ἐν Ῥώμῃ.
Στέλλει δ' ἐκεῖσε καὶ τοὺς γόνους πρὸς χάριν,
Ἀεὶ τὰ χείρω προστιθεὶς Ἰουδαίοις.
Τὸν Μαναῖν δὲ καὶ Πολίωνα μόνους
D Τιμῶν ὑπῆρχε καὶ προφητείας χάριν.
Τὸν δ' αὖγε ναὸν καθελὼν καὶ πυθμένα
Λαμπρὸν καθιστᾷ κατακοσμήσας λίαν·
Εἶτα νόμον τίθησι τοῖς τοιχωρύχοις.
Ἄπεισι πρὸς Καίσαρα πάλιν Ἡρώδης,
Καὶ τοὺς γόνους δὲ φέρει πρὸς τὴν πατρίδα,
Γυναιξί τε ζεύγνυσιν, αὖθις Σαλώμη
Διαβολῆς τε καὶ κυησάσης χάριν,
Ὡς Ἡρώδην μέλλουσιν ἐκθεῖναι μέσον.
Ἐντεῦθεν Ἀντίπατρος Ἡρώδου γόνος
Εὔνους, ἀγαθὸς, οἱ δ' ἀπωσμένοι λίαν.
Σταλεὶς δ' ἄνεισιν Ἀντίπατρος εἰς Ῥώμην
Γράφει τε πολλὰ πατρὶ κατὰ συγγόνων.
Πείθει δὲ τοῦτον ἀφικέσθαι πρὸς Ῥώμην.
Ἀπέρχεται γοῦν προσλαβὼν καὶ τοὺς γόνους.

Καίσαρ δικάζει καὶ σκεδάζει τὴν μάχην.
Καὶ παῖδες αὐτῷ προσφιλεῖς κατὰ κράτος.
Φιλόκαλος δ' ὢν καὶ φιλῶν δόξαν πλέον
Πολλοὺς ἐκάκου τῶν φίλων καὶ γνησίων·
Τοῖς δ' ἐκτὸς ἡδὺς, καὶ χρυσὸν πολὺν ῥέων.
Ἀνοίγνυσι δὲ καὶ τοῦ Δαυῒδ τὸν τάφον.
Καὶ κόσμον εὑρὼν οὐ βραχύ τι λαμβάνει.
Ἐντεῦθεν ἐμφύλιος κάτοικος μάχη.
Πάλιν δ' Ἀντίπατρος κατὰ τῶν ὁμογνίων.
Ὁ δ' Ἡρῴδης ἦγερτο κατὰ Φερώρα·
Ὅτι θυγατρὸς τοὺς γάμους ἀπηξίου
Ἡ Σαλώμη. Πάλιν δὲ ῥάπτει τοὺς δόλους.
Ἀλέξανδρος ἄνεισι κατὰ Φερώρα,
Καὶ Σαλώμη πρόφασις ἰδοὺ τοῖς λόγοις,
Ποιναὶ διαρκεῖς αὖθις εὐνούχων φίλων.
Δεσμιος Ἀλέξανδρος, εὕρεσις λόγων,
Ἔτασμὸς ἄκρος, καὶ τὸ φάρμακον τέλος.
Πρὸς πατέρα δ' ἔγραψεν εἰδέναι λέγων
Ἀλέξανδρος ἅπαντα καὶ κακουργίας,
Καὶ λύεται δὴ τοῖς λόγοις Ἀρχελάου.
Ἀντίπατρος δὲ προσλαβὼν Εὐρυκλέα
Πάλιν ἀνάπτει τῷ πατρὶ τὰ τοῦ μίσους,
Καὶ βάσανα δὴ τῶν φυλάκων Ἡρῴδου,
Δεσμὰ τῶν γόνων Ἡρῴδου πάλιν δύο,
Καὶ γράμμασι Καίσαρι πάντα μηνύει.
Ὁ δ' αὖ τὸ πᾶν τίθησιν αὐτῷ καὶ κρίσιν.
Ἰδοὺ τὸ κριτήριον ἡ καταδίκη,
Παῤῥησία Τήρωνος εἰς βασιλέα,
Κατήγορος τύραννος, κουρεὺς ὁ Τρύφων.
Ἔτασμὸς αὐτῶν, καὶ σαφὴς δόλου λόγος.
Ἐντεῦθεν οὐκοῦν Ἡρῴδης καὶ τοὺς γόνους
Ἀπαγχονίζει, καὶ συνδρόμους λιθάζει.
Γεννᾷ δ' Ἡρῴδης Ἡρῴδην, πάλιν γόνον
Ἐκ τῆς θυγατρὸς τοῦ Σίμωνος ὑστέρως.
Φίλοι Φερώρας Ἀντίπατρος ἐνθάδε,
Ἐναντία δὲ Σαλώμη τούτοις πάλιν,
Πρὸς τὴν δάμαρτα Φερώρα Φαρισαῖοι.
Ὁ Φερώρας ὕποπτος εἰς τετραρχίαν,
Ἀντίπατρος δὲ πρὸς τὴν Ῥώμην ἐκτρέχει.
Μόρος Φερώρα, τὰ κακὰ δ' Ἀντιπάτρῳ,
Κατηγορίαι προφανεῖς Ἀντιπάτρου
Ἄνεισιν Ἀντίπατρος ἀπὸ τῆς Ῥώμης.
Οὗτος αὐτὸν ἀτιμάζει τοῖς λόγοις·
Κρίσις Ἡρῴδου, καὶ λόγοι πλήρεις πάθους.
Ἀντίπατρος δέσμιος· αἰτία πάλιν
Νοσῶν Ἡρῴδης, καὶ κακῶς πρὸς τῷ χρόνῳ.
Φήμη θανάτου, καὶ χρυσοῦ στρουθοῦ λύσις,
Καὶ μυρία κάκωσις ἀνδρῶν ἐνθάδε.
Πληθὺς νόσων τήκουσα δὴ τὸν Ἡρῴδην.
Ἔνταλμα πικρὸν ἐκτεμεῖν τοὺς προκρίτους,
Αὐτόν τ' ἀναιρεῖν Ἡρῴδην ἔγνω δέον
Ἐν τῇ φυλακῇ, καὶ φόνος δ' Ἀντιπάτρου.
Κράτους μερισμὸς, καὶ τελευτῶν Ἡρῴδης,
Λύσις προκρίτων δεξιῶς εἰργασμένη.
Ἀρχέλαος ἄπεισιν εἰς Ῥώμην τρέχων,
Σὺν Ἀντίπᾳ μάλιστα καὶ τῇ Σαλώμῃ,
Κατὰ Ῥωμαίων τῶν Ἰουδαίων στάσις.
Ἔγκλημα πρὸς Καίσαρα, καὶ κρίσις πάλιν·
Ἀρχέλαος ἡμίσου λαμβάνει κράτους·

A Ὁ δ' Ἀντίπας, Φίλιππος, Ἡρῴδης νέος
Ἥμισυ λοιπὸν, ἔνθεν ἡ τετραρχία.
Ψευδαλέξανδρος εἰς Καίσαρ' ἀφιγμένος.
Ἀρχελάῳ σύζυγος ἄρτι Γλαφύρα,
Ἀρχελάου παῖς, ἀλλ' Ἀλεξάνδρου δάμαρ.
Κακοῦργος Ἀρχέλαος εἰς ὑπηκόους·
Ἔκβλητος οὐκοῦν πρὸς Καίσαρος ἐκ λέχους.
Ἀρχελάου δ' ὄνειρος, αὖθις Γλαφύρας·
Τούτων πάλιν θάνατος ἐξ ὀνειράτων,
Μετὰ δὲ τοῦτον εἰς Κυρήνιον κράτος,
Ὃς ὑπογραφὴν ἐκτελεῖ πρῶτος ξένην,
Ἐφ' οὗ γεννᾶται καὶ Χριστὸς ἐκ Παρθένου.
Ἔνθεν στάσις ἦρξτο κἀν τοῖς Ἑβραίοις
Ἐκ Σαβὼκ ἀνδρὸς τοῦ κακοῦ Γαυλανίτου.
B Μετὰ δὲ Κυρήνιον ἐστάλη πάλιν
Ὁ Πομπώνιος καὶ Μάρκος Ἀμβιβοῦχος,
Εἶτα Ῥοῦφος Ἄνιος, Καίσαρος μόρος,
Καὶ Τιβέριος ἐγκαθίσταται κράτωρ,
Ἐφ' οὗ κατῆρξεν Ἑβραίων ἄρτι κράτος,
Μεθ' ὃν Πιλᾶτος ὁ Πόντιος τὴν θέσιν,
Ὃς εἰσαγαγὼν ἐν Καισαρείᾳ στίφος
Τὰς εἰκόνας Καίσαρος ἐν νεῷ φέρων.
Στάσις τὸ λοιπὸν τοῦ παρανόμου χάριν·
Σπάνις ὑδάτων, ἀνάλωσις χρημάτων,
Καταβοὴ πάλιν δὲ σαφὴς Πιλάτου,
Φόνος τε πολλῶν ἐκ μηχανῆς Ἑβραίων.
Οὗτος φανέντα τὸν Θεόν μου καὶ Λόγον,
Χάριν νέμων μάλιστα τοῖς Ἰουδαίοις,
Σταυρῷ προσηλοῖ, καὶ κατακρίνει μόρῳ·
C Ἀλλ' ἐξανέστη καὶ τριήμερος πάλιν,
Ὡς αἱ γραφαὶ φάσκουσιν Εὐαγγελίων.
Κτίζει τετράρχης Ἡρῴδης Τιβερίῳ
Τιβεριάδα τὴν πόλιν φέρων χάριν·
Πανυλίνα σώφρων ἐν Ῥώμῃ καὶ κοσμία,
Ἧς Μοῦνδος ἦρα τὸν χρυσὸν πολὺν ῥέων.
Ἴσης ἐπιτήδευμα δουλίδος κόρης.
Ἀννουβὶς ἡ πρόφασις ἐν σωφροσύνῃ.
Πρέσβυς μιαρὰ καθυποῤῥγεῖ σὺν δόλῳ.
Τελεῖ δ' ὁ Μοῦνδος τῶν ἐρώτων τὴν χάριν.
Ὄνειδος, ὕβρις· πρὸς Τιβέριον λόγοι·
Σάνον εἰς γῆν· ἱερεῖς ἐσφαγμένοι,
Καὶ Μοῦνδος ἐξόριστος ἔνθεν τῆς Ῥώμης.
Ἀθροισμὸς ἰδοὺ καὶ Γαριζὶν εἰς ὄρος
Καὶ Πιλᾶτος κτείνει δὲ τοὺς ἠθροισμένους.
D Οὐϊτελίῳ πρὸς κρίσιν ὁ Πιλᾶτος,
Καὶ πρὸς Ῥώμην ἔσταλτο τοῦ φόνου χάριν·
Φθάνει δὲ Τιβέριος ἐκστὰς τοῦ βίου,
Οὐϊτέλιος ἀνίησιν Ἑβραίοις
Στολὴν ἱερὰν, ὡς χρεὼν αὐτὴν ἄγειν.
Σπονδαὶ μετὰ Πάρθων δὲ τὸν βασιλέα.
Οὐϊτελίῳ σὺν τῷ τετράρχῃ μάχη.
Μόρος Φιλίππου συγγόνου τοῦ τετράρχου·
Στέλλων δὲ τὸν πλοῦν Ἡρῴδης πρὸς τὴν Ῥώμην
Ἡρωδιάδι τῇ συνεύνῳ Φιλίππου
Συγγίνεται μάλιστα λιπὼν Ἀρέταν
Τὴν ἐκ βρέφους σύζυγον οὐ κατὰ νόμους.
Οὗτος σθέννυσι τῇ μαχαίρᾳ τὸν λύχνον
Τὸν Χριστοῦ μου Πρόδρομον ἀξινηφόρον,
Προῤῥιζ-, ἐκτέμνοντα τὴν λύσιν νόμου.

Στράτευμα λοιπὸν Ἀρίτα καθ' Ἡρώδην,
Οὐϊτελίῳ Καίσαρ ἐντεῦθεν γράφει
Μάχην κροτῆσαι καρτερὰν πρὸς Ἀρίταν.
Ἔφθη δὲ Τιβέριος ἐκλιπὼν βίον,
Καὶ τὸ στράτευμα κατὰ χώραν ἐμμένει.
Ὁ Γάϊος ἄντεσιν ἀρχὴν εἰς κράτος.
Ὁ δ' Ἀγρίππας ἔγγονος Ἡρώδου πάλαι
Ἀριστοβούλου τοῦ γόνου παῖς τυγχάνων,
Ὑπὸ Γαΐου πρὸς τιμῆς ὕψος φθάνει,
Πολλὰ παθὼν μάλιστα τῷ πρώην χρόνῳ
Πρὸς Τιβερίου, προσφιλὴς ὢν τῷ γένῳ,
Ὑπὸ χρεῶν τε καὶ χάριν τοῦ Γαΐου
Δεθεὶς φυλακῇ παρεπέμφθη τῷ τέως.
Κἂν τις πρὸς ὄρνιν ἀτενίσας εὐστόχως,
Ἤγειλεν ὡς τάχιστα τὴν ἐξουσίαν,
Ἅπερ χρόνῳ πέπρακτο σαφῶς εἰς τέλος.
Λύει γὰρ αὐτὸν ὁ Γάϊος αὐτίκα,
Βασιλέα τε δεικνύει τετραρχίας,
Ἣν ἦρχεν ὁ Φίλιππος Ἡρώδου γόνος·
Ἡρωδιὰς δὲ σύγγονος τοῦ Ἀγρίππα.
Τὸν Ἡρώδην ἔπεισεν εἰς Ῥώμην τρέχειν,
Καὶ τὴν Ἀγρίππα λαμβάνει τετραρχίαν.
Ἀπῆλθεν, ἐζήτησεν, εὗρεν οὐδόλως,
Μακρὰν δ' ἐλαθεὶς καὶ τὸ κράτος Ἀγρίππα
Σάφ' ὡς τὸ πᾶν δίδωσιν ὁ Καῖσαρ μόνῳ.
Εἰς τὴν Ἀλεξάνδρειαν Ἕλληνος μάχην
Μεθ' Ἑβραίων ἤραντο Γαΐου χάριν,
Καὶ Πετρώνιος ἐστάλη πρὸς Γαΐου
Στῆλην ἐγεῖραι τῇ πόλει μέσῃ ξίνῃ,
Ἐστασίασαν οἱ λαοὶ πρὸς τοὺς λόγους.
Πετρώνιος γράφει δὲ ταῦτα Γαΐῳ.
Ὁ δ' ἀντιγράφει πρὸς βάρος Πετρωνίῳ.
Ὑπὲρ δὲ τούτου καὶ δέησιν Ἀγρίππας
Προσῆγεν εὐθὺς ἀξιῶν μετὰ δίου,
Καὶ φθὰς τὸ βιοῦν ἀνταμείβει τῷ μόρῳ.
Καὶ σπουδάσαντος Ἀγρίππα κατὰ κράτος,
Ὁ Κλαύδιος ἄνεισιν εἰς θρόνου κράτος,
Καὶ βασιλεὺς μέγιστος Ἀγρίππας πάλιν.
Πᾶσι δ' ἀνῆκεν ἐγγράφως Ἰουδαίοις
Τὴν ἐξ ἔθους σύμπασαν ἀρχῆθεν δόσιν,
Τιννὺς Ἀγρίππας τὴν καλὴν πάντῃ κρίσιν.
Μετὰ μικρὸν δ' ἄνεισι λιπὼν Ἀγρίππαν·
Θύει χαριστήρια τῷ Θεῷ ξένα,
Καὶ τὴν χρυσῆν ἅλυσιν αἰωρεῖ δόμῳ,
Τῶν δωρητῶν τε στάσις ἐκ τῶν εἰκόνων.
Ὕπαρχος Σίλας εὐγενὴς πάλαι φίλος.
Ὄνειδος αὐτοῦ καὶ κενὴ παῤῥησία.
Στόμαργος ἀνὴρ ἐν φυλακῇ, καὶ πάλιν
Ἐν πᾶσι πρᾶος καὶ καλὸς ἦν Ἀγρίππας
Φιλῶν τιμᾶσθαι, δωρεῶν ὄντως βρύσις.
Ἐπὶ Στάτωνος δ' εἰς πόλιν ἀφιγμένος,
Καὶ δημοτερπεῖς ἐκτελῶν πανηγύρεις,
Στολὴν ὑπενδὺς ἀργυρᾶν ἐξαισίαν
Ἀνακροτεῖτο, καὶ θεὸς ἦν ἐν λόγοις.
Ἐντεῦθεν οὐκοῦν ἐκ τόσων τεραστίων
Πρὸς τὸν Ἅδην βέβηκεν ἐκ νόσου τρέχων.
Ὁ παῖς δ' Ἀγρίππας ἀτελὴς πρὸς τῇ Ῥώμῃ
Ὁ δ' αὖ Φάδος Κούσπιος εἰς Ἰουδαίαν

A Στολὴν θεῖχὴν εἰς Ἀντωνίαν φέρει.
Λύει πάλιν δὲ ταῖς γραφαῖς τοῦ Κλαυδίου.
Ὁ δ' αὖ Ἡρώδης σύγγονος τοῦ Ἀγρίππα
Τὰ τοῦ νεὼ δέδεκτο καὶ πρεσβυτέρων.
Τῶν Διαθηνῶν ἡ βασιλὶς ἐνθάδε
Σὺν Ἰζάτῃ πρόσεισι τῷ φίλῳ γόνῳ,
Λιμοῦ παραμύθιον εἰς Ἰουδαίαν.
Πρός τινος ἀνήχθησαν εἰς Θεοῦ νόμους,
Τὰ κατὰ Πάρθους, καὶ πάλιν τέλος βίου,
Θευδᾶς ἀφιστῶν τοὺς λαοὺς ἀποστάτης.
Θάνατος αὐτοῦ, καὶ κάρα πρὸς τῇ πόλει.
Μετὰ Κούσπιον ὁ Τιβέριος πάλιν.
Ἰούδα παῖδες, τῶν λαῶν πάλιν στάσις.
Διάδοχος Κούμανος ἦν Τιβερίου.
Θανὼν Ἡρώδης σύγγονος τοῦ Ἀγρίππα,
D Λείπει τὸ κράτος Ἀγρίππᾳ νεωτέρῳ,
Τοῦ Κλαυδίου Καίσαρος ἐνδεδωκότος.
Ἐν τῷ νεῷ κίνησις ἐκ στρατοῦ φόβου,
Φθορά τε πολλῶν, καὶ πάλιν ἄλλη δίκη
Παρανομούντων καί τινων εἰς τὸν νόμον.
Γαλιλαίων στάσις τε καὶ Ἰουδαίων·
Ἄφιξις αὐτῶν πρὸς Κλαύδιον ἐν Ῥώμῃ.
Κόμανος ἐκτὸς καὶ Φῆλιξ εἰς τὸ κράτος.
Ὁ δ' Ἀγρίππας ἔλαβε τὰς τετραρχίας
Τὴν τοῦ Φιλίππου, πρὸς δὲ τοῦ Λυσανίου.
Φῆλιξ Δρουσίλλαν Ἀγρίππα κόρην ἄγει.
Νέρων μετὰ Κλαύδιον ἄρχει τῆς Ῥώμης.
Γόητες εἰσέρρησαν ἄνδρες Ἑβραίοις
Ἐξαπατῶντες, ἀνεγείροντες στάσεις.
C Λῃστῶν στῖφος ἄπειρον, ἄλλα μυρία.
Ἰωνάθου θάνατος ἐντεῦθεν θύτου.
Ἄλλη στάσις πάλιν δὲ Σύρων Ἑβραίων
Ἐν Καισαρείᾳ, καὶ πολὺς αὐτῶν φθόρος.
Πρεσβυτέρων ἐνθαδὶ πάλιν στάσις,
Τὸν Φήλικα Πόρκιος ἀλλάσσει Φῆστος,
Καὶ βοὴ πρὸς Νέρωνα τῶν Ἰουδαίων
Κατὰ Φήλικος τῶν βίᾳ πεπραγμένων.
Ἐπιστολὴ Νέρωνος ὑπὲρ τῶν Σύρων,
Ἥτις κατῆρξεν Ἑβραίοις πᾶσαν μάχην.
Ἐντεῦθεν ἀνέῤῥωσεν εἰς μέγα πάλιν
Σικαρίων ὄλεθρος, καὶ στάσις πάλιν.
Ὁ δ' Ἀγρίππας ἤγειρεν οἴκημα μέγα,
Ὅπερ πάλιν φράττουσιν Ἑβραῖοι δίκῃ.
Ὑπὲρ δὲ τούτου καὶ πρὸς Νέρωνα λόγοι.
D Ἄννας θύτης δὲ τὸν λαὸν στήσας ἅμα,
Τὸν Ἰάκωβον ἀδελφὸν τοῦ Κυρίου
Λίθοις βαλὼν ἔκτεινεν ἐν θείῳ δόμῳ.
Μετὰ δὲ Φῆστον Ἀλβῖνος ἐκ καὶ Ῥώμης
Τέμνων τὰ πολλὰ τῶν κακῶν ζιζανίων,
Μεταθέσεις τε συνεχεῖς πρεσβυτέρων.
Ἀγρίππα κατάρχοντος ἄνακτος τότε,
Πολλοὺς Ἀλβῖνος θανατεῖ τῶν δεσμίων.
Μετὰ δὲ τοῦτον στρατηγὸς ἄλλος Φλῶρος,
Κακὸς, μιαρὸς, ὡς βαρὺς τοῖς Ἑβραίοις
Καὶ τί τὰ πολλὰ καὶ πρὸς Ῥωμαίους μάχης
Αἴτιος αὐτὸς ἐμφανῶς ἐκ κακίας,
Ἄρχοντος ἐνδέκατον Νέρωνος χρόνον,
Φλώρου δὲ διπλοῦν ἐξανύοντα πάλιν.

DE SEQUENTIBUS ASCETICIS OPUSCULIS

MONITUM

ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΙΕΡΩΝ ΝΗΠΤΙΚΩΝ... τύποις ἐκδοθεῖσα διὰ δαπάνης τοῦ τιμιωτάτου καὶ θεοσεβεστάτου κυρίου Ἰωάννου Μαυροκορδάτου εἰς κοινὴν τῶν ὀρθοδόξων ὠφέλειαν. Venetiis, 1782. fol.

—

Κάλλιστος ὁ ἀγιώτατος πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἐπίκλησιν φέρων τοῦ Ξανθοπούλου, ἤκμασε μὲν ἐπὶ Ἀνδρονίκου τοῦ δευτέρου τῶν Παλαιολόγων, κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν ἑξηκοστὸν ἔτος (1)· μαθητεύσας δὲ τῷ ἁγίῳ Γρηγορίῳ τῷ Σιναΐτῃ (οὗ καὶ τὸν βίον ὕστερον εἰς πλάτος συνέγραψεν) ἤσκησεν ἐν τῷ ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω, κατὰ τὴν Σκῆτιν τοῦ Μαγουλᾶ, τὴν ἀντικρὺ τῆς τοῦ Φιλοθέου κειμένην μονῆς. Συνέζησε δὲ τῷ συμμύστῃ αὐτοῦ Μάκρῳ ἐν ὅλοις ἔτεσιν εἰκοσιοκτώ. Ἀλλὰ καὶ Ἰγνατίῳ τῷ καὶ αὐτῷ Ξανθοπούλῳ ἐπὶ τοσοῦτον ἐγένετο φίλτατος, ὡς μίαν ψυχὴν δοκεῖν εἶναι τοὺς ἀμφοτέρους ἐν δυσὶ σώμασι. Πατριαρχεύσας δὲ ὕστερον, καὶ ἐπὶ τὴν Σερβίαν ἐξορμήσας μετὰ τοῦ κήρου, διὰ τὴν τῆς ἐκεῖσε Ἐκκλησίας εἰρηναίαν ἕνωσιν, διὰ τοῦ τῆς ἁγιότητος Ὄρους διῆλθε, κἀκεῖθεν μετὰ τῆς τοῦ Μαξίμου τοῦ ἐπικαλουμένου Καυσοκαλυβήτου ἀστείας προῤῥήσεως, τῆς λεγούσης· Οὗτος ὁ γέρων τὴν γραῖάν του ἔχασε, προπεμφθείς, ψάλλοντος ὄπισθεν καὶ τὸ ἐπιτάφιον· « Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ. » Κἀν τῇ Σερβίᾳ γενόμενος, ἐκεῖσε τοῦ φθαρτοῦ βίου τὸν ἄφθαρτον ἀντηλλάξατο.

Φησὶ δέ που περὶ τουτωνὶ τῶν δύω καὶ Συμεὼν ὁ Θεσσαλονίκης, ἐν οἷς περὶ τῆς τοῦ, *Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ*, θεοποιοῦ προσευχῆς αὐτῷ γίνεται λόγος ἐπὶ λέξεως· τάδε (Κεφ. οιε', σελ. 210. σειρ. 5 (2) : Ἐξαιρέτως δὲ ἐν ταῖς ἡμέραις ἡμῶν ταύταις, περὶ αὐτῆς (δηλ. τῆς προσευχῆς) συνεγράψαντο Πνεύματι, ὡς καὶ αὐτοὶ ὄντες ἐκ Θεοῦ, οἱ θεηγόροι, καὶ θεοφόροι, καὶ Χριστοφόροι, καὶ ἔνθεοι ὄντες ἀληθῶς· ὅ τε ἐν ἁγίοις Πατὴρ ἡμῶν Κάλλιστος ὁ τῆς βασιλευούσης γεγονὼς Νέας Ῥώμης ἐκ Θεοῦ πατριάρχης, καὶ ὁ σύμπνους αὐτῷ, καὶ συνασκητὴς ὅσιος Ἰγνάτιος. Καὶ βίβλῳ οἰκείᾳ συντιθείσῃ παρ' αὐτῶν, πνευματικῶς τε καὶ θεοφρόνως, καὶ λίαν ὑψηλῶς ἐφιλοσόφησαν, ἐν ἑκατὸν κεφαλαίοις, τῷ ἐντελεῖ ἀριθμῷ τελείαν τὴν περὶ ταύτης γνῶσιν ἐκθέμενοι· οἳ καὶ τῆς βασιλίδος ταύτης πόλεως τελοῦντες βλαστοί, πάντα ὁμοῦ καταλιπόντες, καὶ παρθενικῶς καὶ μοναχικῶς ἐν ὑποταγῇ πρὶν πολιτευσάμενοι, καὶ ἀσκητικῶς ὁμοῦ, καὶ οὐρανίως ὕστερον, καὶ ἀδιαιρέτως ζήσαντες, καὶ τὸ ἓν ἐν Χριστῷ (ὅπερ αὐτὸς Χριστὸς πρὸς τὸν Πατέρα περὶ ἡμῶν πάντων ηὔξατο), ἐν ἑαυτοῖς ἐξαιρέτως διαφυλάξαντες, ὡς φωστῆρες, κατὰ Παῦλον, ἐν κόσμῳ ζωῆς ἐπέχοντες λόγον, ὤφθησαν. Σχεδὸν γὰρ ὑπὲρ πολλοὺς τῶν ἡγιασμένων τὸ τῆς ἑνώσεως ἐν Χριστῷ καὶ ἀγάπης κατώρθωσαν, ὡς μηδὲ ὑπονοηθῆναί ποτε διαφοράν τινα, ἄχρι καὶ νεύματος, καὶ ῥοπῆς, ἢ πρὸς στιγμήν τινα λύπην· ὅπερ ἐν ἀνθρώποις σχεδὸν ἀμήχανον.

Καὶ διὰ τοῦτο ἀγγελικοὶ γεγονότες, καὶ τὴν τοῦ Θεοῦ εἰρήνην, ὡς ηὔξατο, συντηρήσαντες καὶ κτησάμενοι ἐν ἑαυτοῖς, ἥτις ἐστὶν Ἰησοῦς Χριστὸς, ἡ εἰρήνη ἡμῶν (Παῦλος ἔφη), ὁ ποιήσας τὰ ἀμφότερα ἕν, οὗ καὶ ἡ εἰρήνη πάντα νοῦν ὑπερέχει· μεταστάντες εἰρηνικῶς, νῦν τῆς ἀνωτάτω καταπολῶσι γαλήνης, καὶ καθαρώτερον ὄρτι τὸν Ἰησοῦν βλέπουσιν, ὅνπερ ἐκ ψυχῆς ἠγάπησαν, καὶ ὃν ἀληθῶς ἐζήτησαν· καὶ ἔνεισι μετ' αὐτοῦ, καὶ τοῦ φωτὸς αὐτοῦ τοῦ γλυκυτάτου, καὶ θείου ἀκορέστως μετέχουσιν· οὗ καὶ τοὺς ἀῤῥαβῶνας ἔλαβον ἀπὸ τῶν ἐντεῦθεν, κεκαθαρμένοι γεγονότες θεωρίᾳ καὶ πράξεσι. Καὶ τῆς θείας ἐλλάμψεως τῆς ἐν τῷ Ὄρει, ὡς καὶ οἱ ἀπόστολοι, τετυχήκασι. Καὶ δέδεικται τοῦτο πολλοῖς ἐναργῶς εἰς μαρτύριον, τὴν ὄψιν ἀστράπτοντες κατὰ τὸν Στέφανον ὁραθέντες, ὡς οὐ τῇ καρδίᾳ μόνον, ἀλλὰ καὶ τῇ ὄψει τούτων ἐγχυθείσης τῆς χάριτος. Διὸ καὶ κατὰ τὸν μέγαν ἐκεῖνον Μωϋσῆν ὤφθησαν (ὡς μεμαρτυρήκασιν οἱ ἰδόντες) ἀστράψαντες ἡλιοειδῶς τῇ μορφῇ· οἳ καὶ ὡς τὸ μακάριον τοῦτο καλῶς πεπονθότες πάθος καὶ πεῖρα γινώσκοντες, τρανῶς δηλοῦσι καὶ περὶ τοῦ θείου φωτὸς, τῆς φυσικῆς τοῦ Θεοῦ ἐνεργείας καὶ χάριτος, καὶ μάρτυρας παράγουσι τοὺς ἁγίους· ὡς καὶ περὶ τῆς ἱερᾶς προσευχῆς.

(1) Alius ergo Callisti Xanthopuli, non nostri, sunt hæc scripta ascetica. Fabricius ait (X vet. ed., 19) opus exstare in bibliotheca Barberina. Edit.

(2) Editionis scilicet Giassensis, in tomo nostro CLV repetitæ.

—

ΤΩΝ ΕΝ ΜΟΝΑΧΟΙΣ ΚΑΛΛΙΣΤΟΥ ΚΑΙ ΙΓΝΑΤΙΟΥ ΤΩΝ ΞΑΝΘΟΠΟΥΛΩΝ

ΜΕΘΟΔΟΣ ΚΑΙ ΚΑΝΩΝ, ΣΥΝ ΘΕΩ, ΑΚΡΙΒΗΣ,

Καὶ παρὰ τῶν ἁγίων ἔχων τὰς μαρτυρίας, περὶ τῶν αἱρουμένων ἡσύχως βιῶναι, καὶ μοναστικῶς, περί τε ἀγωγῆς, καὶ πολιτείας, καὶ διαίτης αὐτῶν· καὶ περὶ τοῦ, ὅσων καὶ ἡλίκων ἀγαθῶν πρόξενος ἡ ἡσυχία καθίσταται, τοῖς λόγῳ μετιοῦσιν αὐτήν·

Διακέκριται δὲ ἡ παροῦσα τοῦ λόγου πραγματεία εἰς κεφαλαίοις ἑκατόν· τὸ δὲ τοῦ λόγου Προοίμιον, ὅπερ καὶ πρώτου κεφαλαίου ἀριθμὸν κέκτηται, ἐστὶ, περὶ τῆς δι' ἁγίου Πνεύματος τοῖς πιστοῖς ἐνυπαρχούσης θείας, καὶ ὑπερφυοῦς δωρεᾶς τε καὶ χαρίτος.

—

MONACHORUM

CALLISTI ET IGNATII XANTHOPULORUM

METHODUS ET REGULA CUM DEO ACCURATISSIMA

Et sanctorum contientes testimonia, de his qui elegerunt pacifice vivere et monastice; de directione et vita et regimine eorum; et quot quantaque bona præstat tranquillitas iis qui ratione in eam ingrediuntur.

Dividitur autem præsens materia in centum capita.

Est autem hujus tractatus proœmium, quod et primi capitis numerum habet, de divina ac supernaturali gratia quæ per Spiritum sanctum fidelibus donatur.

—

1. Oporteret quidem nos, secundum divina A oracula, ab ipso Deo edoctos, quippe qui novam legem ineffabiliter in corde inscriptam circumferamus, et ab optimo rectissimoque Spiritu ducti simus, ut filii et hæredes Dei, cohæredes autem Christi, angelico modo vivere, ac minime illo egere qui nos id doceat: *Nosce Dominum.* Nunc autem a tuneris a bono regressus, et ad malum inclinatio in nobis est; deinde et horrendi Belial deceptio et ea quam in nos indesinenter exercet, tyrannis, longe a salutaribus ac divinis mandatis curtere nos disposuit et ad funesta properare præcipita; et quod miserabilius est, contra hæc mandata et ut cogitemus et ut agamus excitat; unde et juxta divinas voces, non est qui intelligat, non est qui Deum inquirat: una enim omnes B a recta via declinantes, defecimus, et jam caro effecti et lucente ac divina gratia privati, mutua ad bonum excitatione et ope indigemus.

α'. Ἔδει μὲν ἡμᾶς, κατὰ τοὺς θείους φάναι χρησμοὺς, θεοδιδάκτους τυγχάνοντας, ὡς τὸν καινὸν νόμον ἀῤῥήτως ἐν καρδίᾳ ἐγγεγραμμένον, πυρὸς τηλαυγέστερον, περιφέροντας, καὶ ἀγαθῷ, καὶ εὐθυτάτῳ πηδαλιουχουμένους Πνεύματι, οἷα τέκνα, καὶ κληρονόμους μὲν Θεοῦ, συγκληρονόμους δὲ Χριστοῦ, ἀγγελομιμήτως τε πολιτεύεσθαι, [Ἰσ. καὶ] μηδόλως δεῖσθαι τοῦ διδάξοντος, γνῶθι [Ἰσ. γνῶναι] τὸν Κύριον. Νῦν δὲ ἡ ἐκ πρώτης ἡμῶν τριχὸς περί γε τὸ κρεῖττον ἀποδυσκόλησις, καὶ ἡ εἰς τὸ χεῖρον παρατροπή· πρὸς δὲ, καὶ ὁ τοῦ δεινοῦ Βελίαρ φενακισμὸς, καὶ ἡ καθ' ἡμῶν τυραννὶς ἄσπονδος, πόῤῥω θέειν τῶν σωτηρίων, καὶ θεουργῶν ἐντολῶν ἡμᾶς κακίστως διέθετο, κατά τε κρημνῶν ψυχωλέθρων φέρεσθαι· καὶ τὸ οἰκτρότατον, καθ' ἑαυτῶν καὶ φρονεῖν, καὶ πράττειν ἠρέθισεν, ὅθεν καὶ, κατὰ τὸ θεῖον λόγιον, οὐκ ἔστιν ὁ συνιών, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν· ἅμα γὰρ πάντες ἀπρακτοῦ τῆς εὐθείας ἐκκλίναντες, ἠχρειώθημεν, καὶ διὰ τοῦτο σάρκες τοῦ γοητικοῦ

ζοντες, καὶ τῆς σελασφόρου καὶ θείχης χάριτος πῆς τε καὶ βοηθείας ἐπιδεόμεθα.

ὑστερούμενοι, τῆς παρ' ἀλλήλων πρὸς τὰ καλὰ ρ-

Ὅτι χάριν ἐπερωτήσεώς τινος ἀδελφοῦ, καὶ κατὰ τὸν ἐκείνου σκοπὸν, καὶ μὴν καὶ τηρήσεως ἐντολῆς Πατρικῆς, οὕτως ἡ παροῦσα ἐξηπλώθη τοῦ λόγου ὑπόθεσις.

A *Quod ex cujusdam fratris interrogatione et secundum ejus mentem et ad observanda Patrum præcepta, explicatum sit hoc argumentum.*

β'. Ἐπεὶ δὲ σὺ, πόθῳ, κατὰ τὸ Κυριακὸν λόγιον, τοῦ ἐρευνᾶν τὰς θείας καὶ ζωοπαρόχους Γραφὰς, καὶ μυεῖσθαι ἀνεπισφαλῶς, καὶ παρ' ἡμῶν τῶν ἀχρείων πολλάκις ἀπῄτησας λόγον, καὶ κανόνα ἔγγραφον, ὠφελείας χάριν τῆς σῆς, ἴσως δὲ καὶ ἑτέρων, ὡς αὐτὸς φῄς, κἂν μὴ πρότερον γοῦν, ἀλλά γε νῦν, Θεοῦ συνάρσει, δεῖν κεκρίκαμεν ἀποπεραίνειν τὸ σὸν ἐπαινετὸν καταθύμιον· τῆς μὲν συντρόφου ἡμῖν ῥᾳθυμίας, ἕνεκα τῆς ἀγάπης, καὶ τῆς σῆς λυσιτελείας, ἀμνημονήσαντες, σὲ δ' ἀγάμενοι ταμάλιστα τῆς περὶ τὰ καλὰ σπουδῆς, καὶ τῆς ἐμμόνου φιλοπονίας, Πνευματικὸν τέκνον καὶ λίαν φίλτατον, καὶ πρό γε τούτων, τὸ ἀπὸ τοῦ Θεοῦ δεδοικότες πρόκριμα, ὅπερ κατὰ τοῦ τὸ τάλαντον ἀποκρύπτοντος ἠπείληται φοβερῶς, πρὸς δὲ τοῖς εἰρημένοις, καὶ Πατρικὸν ἐκπληροῦντες παράγγελμα, ὃ πρὸς ἡμᾶς ἐνετείλαντο οἱ ἡμῶν Πατέρες, καὶ πνευματικοὶ διδάσκαλοι, ὡς ἂν καὶ θεοφιλέσιν ἄλλοις, τὰ παρ' ἐκείνων δεδιδαγμένα πιστεύσωμεν. Θεὸς δ' ἄρα ὁ τῆς ἀγάπης Πατὴρ, καὶ πάντων χρηστῶν ἁπλῶς ἀφθονοπάροχος πρύτανις, δοίη ἡμῖν [*Isc.* μὲν] τοῖς βραδέσι καὶ ἰσχνοφώνοις, λόγον καίριον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, ὁ καὶ πολλάκις ζώοις ἀλόγοις λόγον ἐμπνεύσας, εἰς τὴν τῶν ἀκουόντων ὠφέλειαν· σοὶ δὲ, καὶ πᾶσι τοῖς ἐντυγχάνουσι τοῖσδε, κατὰ τὸν σὸν λόγον, προσθεῖη ὠτίον τοῦ σοφῶς τε καὶ ἐπιστημόνως τούτων ἀκροᾶσθαι, καὶ, ὡς φίλον αὐτῷ, ἀκλινῶς πολιτεύεσθαι, ὅτι χωρὶς αὐτοῦ, ὡς γέγραπται, οὐ δυνάμεθα ποιεῖν οὐδὲν τῶν χρησίμων καὶ σωτηρίων, καὶ ὅτι, ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· καὶ ταῦτα μὲν οὕτως.

2. Quoniam autem tu desiderio divinas et vitam præstantes Scripturas, juxta Dominicum sermonem, scrutandi et secure teipsum initiandi, sæpius a nobis indignis sermonem ac scriptam regulam petisti, propter tuam ac forte etiam aliorum utilitatem, ut ipse dicis, nos, si non prius, at certe nunc oportere judicavimus tuum laudabile votum implere; nostræ quidem ingenitæ indolentiæ, charitatis causa ac tuæ utilitatis, immemores, admirantes vero tuum ad bona ardorem, tuum immanentem studii amorem, fili spiritualis ac valde dilecte, et præsertim B Dei timentes judicium quod abscondenti suum talentum vivide minatus est; ac etiam Patrum præceptum adimplentes, quod nobis commendavere Patres nostri, magistri spirituales, ut et aliis Dei amicis. Quæ nos docuerunt, credamus. Deus igitur charitatis pater et omnium bonorum indeficiens præstitor, det nobis adeo lentis tamque exili voce præditis, opportunum sermonem in apertione oris nostri, qui et sæpius irrationalibus animalibus voces inspiravit, in audientium utilitatem; tibi vero omnibusque iis qui talibus occurrent, juxta tuum desiderium, aures adaperiat ad ea sapienter ac rite audienda atque juxta ejus mentem fideliter adimplenda; quia sine illo, ut scriptum est, nihil utile ac salutare possumus facere, et quia, « nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam [1]. » Atque hæc quidem hocce modo.

Ὅτι παντὸς πράγματος ὁ σκοπὸς προηγεῖται, καὶ ὁ σκοπὸς τοίνυν τῆς παρούσης πραγματείας, τὸ μαθεῖν τίς ὁ θεμέλιος.

Omni negotio propositus est finis: igitur præsentis negotii est docere, quodnam sit fundamentum.

γ'. Ἐπεὶ δὲ παντὸς πράγματος ὁ σκοπὸς προηγεῖται· σκοπὸς δ' ἀμφοτέρων, ἡμῶν μὲν, τοῦ πρὸς δύναμιν τὰ πρὸς τὴν σὴν ἐξεπιπτεῖν πνευματικὴν αὔξησιν συντείνοντα, σοῦ δὲ, τοῦ κατὰ τὰ εἰρημένα γνησίως βιῶναι· δέον πρὸ παντὸς ἑτέρου διεξετάσαι, πρὸς οἷον ἄρα τὸ πλήρωμα τῆς κατὰ Χριστὸν οἰκοδομίας ἐνοπτριζόμενοι, καὶ ἀρχὴν βάθρου χρήσιμον καταβάλλοντες, ἐφεξῆς, καιροῦ καλοῦντος, μᾶλλον δὲ τῆς ἄνωθεν ἀῤῥωγῆς πλουσίως εὐμεριηκότες, καὶ δροφον ἐπάξιον, τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος ἐπιθήσομεν.

3. Quoniam vero omni negotio propositus est finis, propositum autem amborum, nostrum quidem sit, tibi quæ ad spirituale incrementum tendunt exponere; tuum vero juxta ea quæ dicentur sincere agere ac vivere, oportet ante quodvis aliud, inquirere quamnam Christi domus perfectionem intendentes fundamentique utile principium D ponentes; deinde, occasione nos invitante, imo vero superno auxilio nobis abundanter faveute, dignum sancti Spiritus architectura tectum superimposituri simus.

Ὅτι πάσης κατὰ Θεὸν πραγματείας ἀρχὴ, τὸ κατὰ τὰς ἐντολὰς τοῦ Σωτῆρος πολιτεύεσθαι, τέλος δὲ τὸ ἐπανελθεῖν πρὸς τὴν ἀρχῆθεν δωρηθεῖσαν ἡμῖν διὰ τοῦ θείου βαπτίσματος τελείαν χάριν τοῦ παναγίου καὶ ζωαρχικοῦ Πνεύματος.

Quod omne principium vitæ secundum Deum agendæ in adimplendis Salvatoris legibus consistit, finis vero, reditus ad datam nobis ab initio per divinum baptisma perfectam sanctissimi ac vivifici Spiritus gratiam.

δ'. Ἀρχὴ τοίνυν πάσης τῆς κατὰ Θεὸν πραγματείας, ὡς ἐν συντόμῳ διαλαβεῖν, τὸ σπεύδειν ἡμᾶς

4. Principium igitur vitæ secundum Deum agendæ, ut paucis id comprehendam, in eo est quod

[1] Psal. CXXVI, 1.

λοῦσιν οἶμοι [*Ισ.* ἀλλ' οἴμοι]· καλὸν γὰρ ἐνταῦθα καὶ στενάξαι πικρὸν, ὅτι τοσαύτης ἀπολαύοντες εὐγενείας, οὐδὲ τὰ λεγόμενα ἴσμεν, διὰ τὸ ταχέως ἀπολλύναι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. « Αὕτη γὰρ ἡ δόξα ἡ ἀπόῤῥητος, καὶ φρικώδης, μέχρι μὲν μιᾶς καὶ δευτέρας ἡμέρας ἐν ἡμῖν μένει, λοιπὸν δὲ αὐτὴν κατασβέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων· καὶ τῇ πυκνότητι τῶν νεφῶν, ἀποκρυόμενοι τὰς ἀκτῖνας· » καὶ αὖθις ἀλλαχοῦ· « Τὰ σώματα τῶν εὐηρεστηκότων Θεῷ, τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲ ἰδεῖν ἐνι τούτοις τοῖς ὀφθαλμοῖς. Καὶ τούτων ἡμῖν σημειά τινα, καὶ ἴχνη ἀμυδρὰ, καὶ ἐν τῇ Παλαιᾷ, καὶ ἐν τῇ Καινῇ, δοθῆναι παρεσκεύασεν ὁ Θεός· ἐκεῖ μὲν γὰρ τὸ πρόσωπον τοῦ Μωϋσέως, τοσαύτῃ κατελάμπετο τότε δόξῃ, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς. » Ἐν δὲ τῇ Καινῇ, τούτου πολλῷ πλέον ἐξέλαμψε τὸ τοῦ Χριστοῦ. Ἤκουσας τῶν ῥημάτων τοῦ Πνεύματος; συνῆκας τοῦ μυστηρίου τὴν δύναμιν; ἐπέγνως ὁποῖαι μὲν αἱ ὠδῖνες τῆς τελείας ἐν ἡμῖν ἐκ τῆς ἱερᾶς κολυμβήθρας πνευματικῆς ἀναπλάσεως; ἡλίκαι δὲ αἱ ἐπικαρπίαι, καὶ τὸ πλήρωμα, καὶ τὰ ἔπαθλα; καὶ ὅπως τῶν ἐφ' ἡμῖν ἐστι, τὸ ταύτην τὴν ὑπερφυᾶ χάριν, καὶ αὐξάνειν καὶ ἐλαττοῦν, ἤγουν φανεροῦν, καὶ ἀμαυροῦν, ὅσον τὸ καθ' ἡμᾶς; Τὰ δέ ἐστιν, ἡ τῶν βιωτικῶν πραγμάτων θύελλα, καὶ ἡ ἐξ αὐτῶν ἀποτικτομένη τῶν παθῶν σκοτομήνη, ἃ δίκην χειμῶνος, ἢ ἀγρίου χειμάῤῥου ἡμῖν ἐπιῤῥυέντα, καὶ τὴν ψυχὴν κατακλύζοντα, οὐδὲ ἀναπνεῦσαι, ἢ ἐνατενίσαι ταύτην ἐῶσι πρὸς τὸ ὄντως ὂν καλὸν, καὶ μακάριον, δι' ὃ καὶ γεγένηται, ἀλλ' ὅλως ὀλὴν, τῷ σάλῳ καὶ τῷ κατηφῇ τῶν ἡδονῶν δονηθεῖσαν καὶ δριμυθεῖσαν, σκοτίζουσι, καὶ ὑποβρύχιον ἀπεργάζονται. Ὥσπερ γοῦν τὰ τούτων αὖθις ἐναντία, ἤτοι τὰ διὰ τῶν θεοποιῶν ἐντολῶν ἀπογεννώμενα, τοῖς μὴ κατὰ σάρκα, ἀλλὰ κατὰ πνεῦμα περιπατοῦσι (Πνεύματι γὰρ, φησὶ, περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε), ὀνήσιμα πέφυκε, καὶ σωτήρια, καὶ πρὸς αὐτὸν, δίκην κλίμακος, φέροντα τὸν κολοφῶνα, καὶ τὸ ἀκρότατον τῶν ἀναβαθμῶν, τὴν ἀγάπην, ἥτις ἐστὶν ὁ Θεός.

Ὅτι ἐν μὲν τῷ ἁγίῳ βαπτίσματι, δωρεὰν τὴν θείαν χάριν δι' αὐτῆς δεχόμεθα, ταύτην δὲ τοῖς πάθεσι συγκαλύψαντες αὖθις τῇ τῶν ἐντολῶν ἐκπληρώσει, ταύτην ἀνακαθαίρομεν.

ς'. Ἀλλὰ τότε μὲν ἐν τῇ θείᾳ μήτρᾳ, δηλονότι τῇ ἱερᾷ κολυμβήθρᾳ, δωρεὰν τελέαν τελείαν, τὴν θείαν χάριν δεχόμεθα. Εἰ δέ πως ὑστερον, τῇ τῶν προσκαίρων παραχρήσει, καὶ τῇ τῶν βιωτικῶν πραγμάτων φροντίδι, καὶ τῇ τῶν παθῶν ἀχλύϊ, ταύτην, ὡς μὴ ὤφελε, συγκαλύψομεν [*Ισ.* συγκαλύψαιμεν], ἔξεστιν ἡμῖν καὶ οὕτω διὰ μετανοίας, καὶ τῆς τῶν θεουργῶν ἐντολῶν ἐκπληρώσεως, αὖθις ἐπαναλαβεῖν τὴν τοιαύτην ὑπερφυᾶ φαιδρότητα, καὶ ἀνακτήσασθαι, καὶ τὴν ταύτης φανέρωσιν κατιδεῖν τηλαυγέστατα. Ἴῃς ἑκάστου κατὰ τὸ μέτρον μένοντι ἐν πίστει ἐπιμελείας, καὶ ἡ ταύτης ἐμφάνεια ἀποκαλύπτεται, καὶ πρό γε τούτων, τῇ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἀντιλήψει, καὶ εὐδοκίᾳ, ὡς λέγει ὁ ἅγιος Μάρκος· « Ὁ

[a] Galat. v, 16.

quæ dicuntur scimus, eo quod actiones rapide amittimus et ad sensibilia evolamus. Hæc enim venerabilis ac ineffabilis gloria unum aut alterum diem in nobis manet, deinde vero eam exstinguimus, negotiorum hujus vitæ tempestatem adducentes; et nubium densitate radios repellentes. » Ac rursum alibi : « Eorum qui Deo placuerint corpora, tantam induent gloriam, quantam nec iis oculis cerni liceat. Ac eorum aliqua signa et vestigia obscure sive in veteri sive in novo Testamento dari voluit Deus. Ibi quidem vultus Moysis tanta gloria tunc splenduit, ut inaccessus esset Israelitarum oculis. In novo autem multo magis etiam resplenduit Christi vultus. Audisti verba Spiritus sancti? Intellexisti vim mysterii? Didicisti quales sint partus perfectæ in nobis spiritualis formationis quæ ex sacra piscina procedit? Quinam igitur erunt fructuum proventus, quæ plenitudo, quantæ mercedes? et quomodo penes nos sit hanc supernaturalem gratiam et augere et minuere, id est illustrare et obscurare, in præsenti vita? Inde sunt rerum vitæ tempestas et ex iis genita cupiditatum nox illunis, quæ more procellæ aut sævi torrentis in nos irruunt, animamque submergentes neque eam spirare neque aspicere sinunt illud pulchrum et beatum per quod facta est, sed omnino eam totam voluptatum æstu ac motu agitatam et tumore affectam obscurant submersamque conficiunt. Eodem modo igitur ea quæ iis sunt contraria, quæ nempe ex divinis mandatis oriuntur, iis qui non secundum carnem, sed secundum spiritum ambulant (spiritu enim, inquit, ambulate, et desideria carnis non perfeceritis[a]), utilia sunt ac salutaria, et ad illud, tanquam scala, perducunt fastigium, et supremum gradum, charitatem nempe, quæ Deus est.

Quod in sancto baptismate divinæ gratiæ donum per eam ipsam accipimus; postquam autem eam cupiditatibus obscuravimus, rursus mandatorum observatione expurgamus.

6. Sed tunc quidem in divino utero, in sacra nempe piscina, donum omnino perfectum, divinam gratiam accipimus. Si autem postea temporariorum abusu et rerum hujus vitæ sollicitudine, et cupiditatum caligine, eam ut non oportebat obscuraverimus, nobis licet et per divinarum legum observationem et per pœnitentiam, eam recipere tantum ac supernaturalem splendorem atque iterum possidere illiusque manifestationem vividissime intueri. Pro uniuscujusque fidei mensura ac vigore ejus revelatur splendor, ac in primis Domini Jesu Christi auxilio ac benevolentia, ut ait divus Marcus. Christus, qui est perfectus Deus, perfectam baptizatis Spiritus sancti gratiam largitus est, nullum a

nobis incrementum accipientem, nobis vero revelatam et illustratam, pro nostro in divinis mandatis labore, et incrementum fidei nobis præstantem, donec accumuramus omnes in unitatem fidei, in mensuram ætatis plenitudinis Christi. Si quid igitur addiderimus in ipso regenerati, et id ab ipso est, et ex ipso in nobis erat absconditum.

A Χριστὸς τέλειος Θεὸς ὢν, τελείαν τοῖς βαπτισθεῖσι τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐδωρήσατο, προσθήκην μὲν παρ' ἡμῶν οὐ λαμβάνουσαν, ἀποκαλυπτομένην δὲ ἡμῖν καὶ ἐμφανιζομένην, κατὰ ἀναλογίαν τῆς τῶν ἐντολῶν ἐργασίας, καὶ προσθήκην ἡμῖν τῆς πίστεως παρέχουσαν, ἕως ἂν καταντήσωμεν πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. » Εἴ τι οὖν προσφέρομεν ἐν αὐτῷ ἀναγεννηθέντες, καὶ τοῦτο ἤδη παρ' αὐτοῦ, καὶ ἐξ αὐτοῦ ἦν ἐν ἡμῖν κεκρυμμένον.

Quod oportet eum qui secundum Deum agit, omnia ejus mandata exsequi, maximam autem operis partem primis ex omnibus et quasi generationibus oportet attribuere.

Ὅτι δεῖ τὸν κατὰ Θεὸν πολιτευόμενον, πάσας τὰς ἐντολὰς μετιέναι· τὸ δὲ πλεῖστον μέρος τῆς ἐργασίας, ἀπονέμειν πως, ταῖς τῶν ἄλλων πρώτοις, καὶ οἷον γενικωτέραις.

7. Quoniam igitur initium et radix omnis, ut diximus, hujus negotii, est secundum salutaria mandata agere, terminus vero et fructus, sursum reverti ad eam, quæ primum per baptisma nobis donata est, perfectam Spiritus gratiam, in nobis quidem exsistentem (sine pœnitentia enim sunt dona Dei), sed cupiditatibus insepultam, revelatam autem divinarum legum adimpletione, decet nos, pro viribus, omnium hujuscemodi legum operatione eam in nobis manifestationem Spiritus omni modo expurgare conari et quam nitidissime inspicere. « Lucerna enim, inquit ad Deum beatus David, pedibus meis lex tua, et lux vestigiis meis, et præceptum Domini lucidum illuminans oculos; et, ad omnia mandata tua dirigebar[6]. » Et qui in Christi pectore recubuit: « Qui mandata ejus servat, in ipso manet, et ipse in eo; et mandata ejus gravia non sunt. » Et Dominus ipse: « Qui habet mandata mea et observat ea, ille est qui me diligit; qui vero me diligit, diligetur a Patre meo, et ego diligam eum, et manifestabo ei meipsum[6]. » Et, « Si quis diligit me, mandata mea servabit, et Pater meus diliget eum; et ad eum veniemus, et mansionem apud eum faciemus[7]. » Et, « Qui me non diligit, sermones meos non servat[8]. » Earum autem legum primis et generalioribus maximam operis partem adhibere quodammodo debemus. Ita enim, cum Deo, a lapsu immunes, propositum intentum, ipsam nempe pulchram inchoationem impetusque nostri finem attingemus, qui est spiritus manifestatio.

Ζ'. Ἐπεὶ οὖν, ἡ μὲν ἀρχὴ καὶ ἡ ῥίζα πάσης, ὡς ἔφημεν, τῆσδε τῆς πραγματείας, τὸ κατὰ τὰς σωτηρίους ἐντολὰς πολιτεύεσθαι, τὸ δὲ τέρμα, καὶ ὁ καρπὸς, τοῦ ἐπαναδραμεῖν πρὸς τὴν διὰ τοῦ βαπτίσματος τοπρῶτον δωρηθεῖσαν ἡμῖν τελείαν χάριν τοῦ Πνεύματος, ἐν ἡμῖν μὲν οὖσαν (ἀμεταμέλητα γὰρ τοῦ Θεοῦ, φησὶ, τὰ χαρίσματα), ἀλλὰ συγκεχωσμένην τοῖς πάθεσιν, ἀποκαλυπτομένην δὲ τῇ τῶν θεουργῶν ἐντολῶν ἐργασίᾳ· προσῆκον, διά γε τῆς κατὰ τὸ δυνατὸν ἐκπληρώσεως πασῶν τῶν τοιούτων ἐντολῶν, τὴν ἐν ἡμῖν φανέρωσιν τοῦ πνεύματος, παντὶ τρόπῳ σπεύδειν ἀναχαθᾶραι, καὶ ἐμφανέστατα ἐποπτεῦσαι. « Λύχνος γὰρ, φησὶ πρὸς τὸν Θεὸν ὁ μακάριος Δαβὶδ, τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου, καὶ ἡ ἐντολὴ Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς, καὶ πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην. » Καὶ ὁ Ἐπιστήθιος· « Ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί. » Καὶ ὁ Σωτὴρ δὲ, « Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. Καὶ ἐάν τις ἐμὲ ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεν· » καὶ, « Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· » μάλιστα δὲ τούτων, ταῖς πρώταις καὶ γενικωτέραις, καὶ οἱονεὶ μητράσι τῶν λοιπῶν, τὴν πλείστην μοῖραν τῆς ἐργασίας ἀποδιδόναι πως· οὕτω γὰρ, σὺν Θεῷ, ἀπταίστως καὶ τοῦ προκειμένου σκοποῦ, αὐτῆς δηλαδὴ τῆς καλῆς ἐνάρξεως, καὶ τοῦ τέλους τῆς ἐφέσεως ἐπιτύχοιμεν ἄν, ἤτοι τῆς τοῦ Πνεύματος φανερώσεως.

Quod initium omnis Deo gratæ operationis est invocatio cum fide nominis Domini nostri Jesu Christi, et cum ea orieus inde pax et charitas.

Ὅτι ἀρχὴ πάσης θεοφιλοῦς ἐργασίας, ἡ μετὰ πίστεως ἐπίκλησις τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μετ' αὐτῆς, ἡ ἐξ αὐτῆς ἀνατέλλουσα εἰρήνη, καὶ ἀγάπη.

8. Initium porro omnis Deo gratæ operationis est invocatio cum fide salutaris nominis Domini nostri Jesu Christi, cum ipse revelaverit, dicens: « Sine me nihil potestis facere[9]. » Et cum ea, pax. Oportet enim, inquit, orare sine ira et sine argumentis. Et charitas, quia Deus charitas est, et qui manet in charitate in Deo manet, et Deus in eo. Ipsa autem pax et charitas non modo acceptabilem faciunt orationem, sed ex ipsa rursum ora-

η'. Ἀρχὴ μέντοι πάσης θεοφιλοῦς ἐργασίας, ἡ μετὰ πίστεως ἐπίκλησις τοῦ σωτηρίου ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτὸς ἀπεφήνατο· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· » καὶ μετὰ ταύτης, ἡ εἰρήνη. Δεῖ γὰρ, φησὶ, προσεύχεσθαι, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν. Καὶ ἡ ἀγάπη· ὅτι ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Αὕτη δὲ ἡ εἰρήνη καὶ ἡ ἀγάπη, οὐ μόνον εὐπρόσδεκτον ποιοῦσι τὴν

[6] Psal. cxviii, 128. [6] Joan. xiv, 21. [7] Ibid. 23. [8] Ibid. 24. [9] Joan. xv, 5.

εὐχὴν, ἀλλὰ καὶ ἐξ αὐτῆς πάλιν τῆς εὐχῆς γεννῶνται, καὶ ἀνατέλλουσι, δίκην διϋλίων ἐνθέων ἀκτίνων, καὶ αὔξονται, καὶ τελειοῦνται. A

tione nascuntur et oriuntur, tanquam gemini cœlestes radii, et crescunt ac perficiuntur.

Ὅτι δι' ἑκάστου τούτων, καὶ ὁμοῦ τῶν τριῶν, ἡ πάντων τῶν ἀγαθῶν σωρεία ἐπιδαψιλεύεται ἡμῖν.

Quod per unamquamque harum ac simul per tres omnium bonorum acervus nobis subministratur.

θ'. Ἀπὸ δὴ τούτων, μᾶλλον δὲ δι' ἑκάστου τούτων, καὶ ὁμοῦ τῶν τριῶν, ἡ τῶν ἀγαθῶν ἡμῖν πάντων σωρεία ἐπιδαψιλεύεται, καὶ πλημμυρεῖ. Διὰ μὲν γὰρ τῆς ἐν πίστει ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἔλεος, καὶ τὴν τῷ ὄντι ζωὴν, ἐν αὐτῷ κεκρυμμένην οὖσαν, βεβαίως ἐλπίζομεν λήψεσθαι· ὡς ἄλλης θείας πηγῆς ἀενάου, ὑπερβλύζοντος αὐτὰ, τοῦ ἔνδον καρδίας καθαρῶς ἐπιβοωμένου ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· διὰ δὲ τῆς πάντα νοῦν ὑπερεχούσης, καὶ ὅριον οὐδὲν ἐχούσης, εἰρήνης, τῆς πρὸς Θεὸν καὶ ἀλλήλους καταλλαγῆς ἀξιούμεθα· διὰ δὲ τῆς ἀγάπης, ἧς τὸ κλέος ἀσύγκριτον, ὡς οὔσης τέλος καὶ κεφάλαιον τοῦ τε νόμου καὶ τῶν προφητῶν· καὶ δὴ καὶ τὸν Θεὸν ἀγάπην ὀνομάζεσθαι· ὁλικῶς τῷ Θεῷ συναπτόμεθα, καταργουμένης τῆς ἁμαρτίας ἡμῶν τῇ τοῦ Θεοῦ δικαιοσύνῃ, καὶ τῇ δι' ἀγάπης ἐν ἡμῖν παραδόξως ἐνεργουμένῃ υἱοθεσίᾳ τῆς χάριτος. Ἡ γὰρ ἀγάπη, φησὶ, καλύψει πλῆθος ἁμαρτιῶν, καὶ ἡ ἀγάπη πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. B

9. Ex his, imo per singulas earum, et simul per tres, bonorum omnium nobis acervus subministratur et abundat. Per invocationem enim nominis Domini nostri Jesu Christi misericordiam ac veram vitam in ipso absconditam firmiter nos acceptaros esse speramus; tanquam alio perenni fonte, ea abundanter effundente, in pectoribus nobis pure invocato nomine Domini Jesu Christi. Per eam autem quæ totam mentem possidet, pacem, digni habemur qui cum Deo et cum aliis hominibus conjungamur. Per charitatem vero, cujus incomparabilis est gloria, cum sit finis et summa legis et prophetarum; et cum Deus ipse charitas nominetur, omnino cum Deo unimur, nostris peccatis Dei justitia abolitis in nobisque mirabiliter per charitatem operante ea gratia quæ nos filios efficit. Charitas enim, inquit, operit multitudinem peccatorum; et charitas omnia tegit, omnia credit, omnia sperat, omnia sustinet, charitas nunquam deficit.

Ὅτι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῷ καιρῷ τοῦ σωτηρίου πάθους, ταῦτα τοῖς μαθηταῖς οἱόν τινας ἐξιτηρίους ἐντολὰς, καὶ κλῆρον ἔνθεον κατέλιπε τοῖς ἰδίοις, ὡσαύτως καὶ μετὰ τὴν ἀνάστασιν. C

Quod et Dominus noster Jesus Christus tempore salutaris passionis discipulis tanquam ultima mandata et divinum testamentum suis reliquit, ut et post resurrectionem.

ι'. Ὅθεν καὶ αὐτὸς ὁ πανάγαθος καὶ γλυκύτατος Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὅτε πρὸς τὸ ὑπὲρ ἡμῶν ἑκούσιον αὐτοῦ πάθος ἀφίκετο, καὶ ὅτε μετὰ τὴν ἀνάστασιν τοῖς ἀποστόλοις ὤφθη· καὶ μὴν καὶ ἡνίκα πρὸς τὸν ἑαυτοῦ φύσει καὶ ἡμῶν χάριτι Πατέρα ἔμελλεν ἐπανέρχεσθαι, ἅτε Πατὴρ γνήσιος καὶ φιλόστοργος, οἱονεί τινας ἐξιτηρίους ἐντολὰς, καὶ παραμυθίας προσηνεῖς, καὶ γλυκύτατα καὶ βέβαια, ὡς εἰπεῖν, ὑπόμνηα· μᾶλλον δὲ κληρονομίαν θεοπάροχον ἀναφαίρετον· ταῦτα πᾶσι τοῖς ἰδίοις κατέλιπε· καὶ τοῦτο μὲν, οἷς φησι πρὸς τοὺς μαθητὰς, τοῦ σωτηρίου πάθους ἐπιστάντος, οὕτως· « Ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω· » καὶ, « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν· ἕως ἄρτι οὐδὲν ᾐτήσατε ἐν τῷ ὀνόματί μου. Αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη· καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε. » Καὶ αὖθις μετὰ τὴν ἀνάστασιν· σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς, » καὶ τὰ ἑξῆς. Τούτοις ἀκόλουθα διαγορεύει καὶ ὁ Ἐπιστήθιος· « Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστιν ὁ D

10. Unde et ipse optimus ac dulcissimus Salvator noster Jesus Christus, et quando ad voluntariam pro nobis passionem suam pervenit, et quando post resurrectionem apostolis visus est; atque etiam quando ad eum qui ipsi natura, nobis gratia pater est, reversurus erat, tanquam verus ac tenerrimus pater, aliquot quasi ultima mandata, dulcesque consolationes, et dulcissima et solida, ut ita dicam, pignora; imo vero testamentum divinum indelebile; omnia hæc omnibus suis reliquit. Et quidem hæc discipulis suis, salutarem passionem ingrediens, dixit: « Quodcunque petieritis Patrem in nomine meo, ego faciam [10]. » Et: « Amen, amen dico vobis: si quid petieritis a Patre in nomine meo, dabit vobis. Usque modo non petiistis quidquam in nomine meo; petite, et accipietis, ut gaudium vestrum sit plenum [11]. » Et, « In illa die in nomine meo petetis [12]. » Et rursum post resurrectionem suam dicebat: « Signa autem eos qui crediderunt hæc sequentur: in nomine meo dæmonia ejicient; linguis loquentur novis [13], » et cætera. Iis et addit ille qui supra pectus ejus recubuit: « Multa quidem et alia signa fecit Jesus in conspectu discipulorum suorum, quæ non sunt scripta in libro hoc: hæc autem scripta sunt, ut credatis quia Jesus est Christus Filius Dei, et ut

[10] Joan. xiv, 13. [11] Joan. xvi, 23. [12] ibid. 26. [13] Marc xvi, 17.

εἰκὸς μεταλαμβάνων, οὐ θάνατον, ὡς πρωτόπλαστος, ἀλλὰ ζωὴν τρυγᾷ ἀνώλεθρον καὶ αἰώνιον.

Ὅτι καὶ ἡ διὰ Θεοῦ Πατρὸς πρὸς πιστοὺς τοῦ ἁγίου Πνεύματος δωρεὰ, καὶ ἐπέλευσις, ἐν Χριστῷ Ἰησοῦ, καὶ ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι ἐπιβραβεύεται.

ιβ'. Ναὶ μὴν, καὶ ἡ διὰ Θεοῦ Πατρὸς πρὸς πιστοὺς τοῦ ἁγίου Πνεύματος δωρεὰ, καὶ ἐπέλευσις, ἐν Χριστῷ Ἰησοῦ, καὶ ἐν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι ἐπιβραβεύεται, ὡς φησιν αὐτὸς ὁ ὑπέρθεος, καὶ φιλόψυχος Κύριος Ἰησοῦς Χριστὸς πρὸς τοὺς ἀποστόλους, ὅτι « Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς· καὶ ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. » Καὶ αὖθις· « Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. »

A plastus, sed vitam immortalem æternamque vindemiabit.

Quod per Deum Patrem fidelibus sancti Spiritus donum et adventus, in Christo Jesu et in sancta ejus nomine conceditur.

12. Sane quidem fidelibus per Deum Patrem sancti Spiritus donum et adventus in Christo Jesu et in sancto ejus nomine tribuitur. Ut ait ipse divinissimus et benignissimus Dominus Jesus Christus apostolis : « Expedit vobis ut ego vadam ; si enim non abiero, Paracletus non veniet ad vos [36]. » Et, « Cum autem venerit Paracletus, quem ego mittam a Patre, Spiritum veritatis qui a Patre procedit [36]. » Et rursum : « Paracletus, B Spiritus sanctus, quem mittet Pater in nomine meo [37]. »

Ὅτι εἰκότως τοῖς ἁγίοις ἡμῶν διώρισται Πατράσι, καὶ μετὰ τοῦ ἐνοικοῦντος αὐτοῖς ἁγίου Πνεύματος προσεύχεσθαι ἡμᾶς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ παρ' αὐτοῦ ζητεῖν τὸ ἔλεος.

Quod merito et nostris sanctis Patribus et cum sancto Spiritu in eis habitante definitum est oportere nos Dominum nostrum Jesum Christum orare et ab eo misericordiam petere.

ιγ'. Διὰ ταῦτα γοῦν καὶ οἱ κλεινοὶ καθηγεμόνες ἡμῶν, καὶ διδάσκαλοι πάνυ σοφῶς, καὶ μετὰ τοῦ ἐνοικοῦντος αὐτοῖς παναγίου Πνεύματος, ἐκδιδάσκουσι πρὸ πάσης καλῆς ἄλλης ἐργασίας καὶ μελέτης, καὶ πάντας μὲν, μάλιστα δὲ τοὺς εἰς τὸ στάδιον τῆς θεοποιοῦ ἡσυχίας ἑαυτοὺς ἐμβαλεῖν ἐθέλοντας, καὶ ἀφορισθῆναι Θεῷ, καὶ ῥαγῆναι τοῦ κόσμου, καὶ κατὰ λόγον ἡσυχάζειν, ἐν Κυρίῳ προσεύχεσθαι, καὶ παρ' αὐτοῦ τὸ ἔλεος ἐκζητεῖν ἀδιστάκτως, καὶ τὸ τούτου πανάγιον καὶ γλυκύτατον ὄνομα, ἀδιάλειπτον ἔργον, καὶ μελέτημα ἔχειν, καὶ τοῦτο ἐν καρδίᾳ, καὶ ἐν νοΐ, καὶ ἐν χείλεσι διηνεκῶς περιφέρειν, καὶ ἐν αὐτῷ, καὶ μετ' αὐτοῦ, καὶ ἀναπνεῖν, καὶ ζῆν, καὶ καθεύδειν, καὶ ἐγρηγορέναι, καὶ κινεῖσθαι, καὶ ἐσθίειν, καὶ πίνειν, καὶ ὡς ἔπος εἰπεῖν, πάντα κατὰ τὸν ὅμοιον τρόπον πράττειν ἐπείγεσθαι. Ὥσπερ γὰρ τούτου ἀπόντος, ἅπαν συῤῥέει δεινὸν, μᾶλλον δὲ οὐδὲν πάρεστιν ἡμῖν τῶν χρησίμων· οὕτω δὴ τούτου ἐν ἡμῖν παρόντος, πᾶν ἐναντίον ἀπελήλαται· μάλιστα δὲ οὐδέν ἐστιν ἡμῖν ἐλλεῖπον τῶν ἀγαθῶν, καὶ γοῦν, καὶ πρὸς κατόρθωσιν ἀδύνατον [*Ισ. λείπει τὸ, ἀρετῆς*]· καθάπερ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν διαγορεύει, ὅτι « Ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολὺν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Τοῦτο τοιγαροῦν τὸ πάσῃ κτίσει φοβερὸν καὶ σεβάσμιον καὶ πρᾶγμα, καὶ ὄνομα, τὸ ὑπὲρ πᾶν πρᾶγμα καὶ ὄνομα, καὶ ἡμεῖς οἱ ἀνάξιοι ἐν πίστει ἐπικαλεσάμενοι, καὶ ἐπ' αὐτῷ τὰ τοῦ παρόντος λόγου ἐστία ὁλοτρόπως ἀναπετάσαντες, οὕτω τοῦ λέγειν καὶ τοῖς πρόσω χωρεῖν ἀρχόμεθα.

13. Propterea igitur nostri præclari duces et magistri omnino sapienter et cum sancto Spiritu in ipsis habitante, docent nos oportere ante omnem bonam actionem et curam, præsertim si in studium hujus sanctificantis pacis nos injicere volumus, et Deo assignari et a mundo separari, et secundum C rationem quiete conversari, in Domino orare et ab eo misericordiam fiducialiter implorare, et sanctissimum dulcissimumque ejus nomen tanquam indeficiens opus et curam habere, illudque in corde et in mente et in labiis indesinenter ferre et in eo et cum eo respirare et vivere et dormire et vigilare, et moveri et edere et bibere, et ut ita dicam, omnia hoc modo facere. Quemadmodum enim, illo absente, omnia confluent adversa, nec quidquam nobis adest utilium : ita eo in nobis præsente, quidquid contrarium est expellitur ; præcipue vero nihil boni nos deficit, nihil emendationi nostræ adversatur, ut et ipse Dominus noster explicate dicit : « Qui in me manet, et ego in eo, ille fert fruD ctum multum, quia sine me nihil potestis facere. » Hoc igitur omni creaturæ formidandum et venerandum negotium et nomen, quæ super omne negotium et nomen sunt, nos indigni in fi le invocantes et in eo præsentis sermonis fila explicantes, ita et dicere et ulterius progredi incipimus.

Ὅτι δεῖ τὸν ἀπταίστως βαδίζειν ἐθέλοντα, τὸν κατὰ Κύριον δρόμον τῆς ἡσυχίας πρὸ πάντων ἐκλέξασθαι μετὰ τῆς καθόλου ἀποταγῆς καὶ ὑποταγὴν τελείαν.

Quod oportet eum qui secure vult in pacis secundum Dominum via incedere, eligere una cum universa renuntiatione perfectam subjectionem.

ιδ'. Ἐν τῷ ὀνόματι τοῦ μεγάλου Θεοῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ εἰπόντος· « Ἐγώ εἰμι τὸ φῶς, ἡ ζωὴ, καὶ ἡ ἀλήθεια, ἡ ὁδὸς, καὶ ἡ

14. In nomine magni Dei Salvatoris nostri Jesu Christi qui dixit : Ego sum lux, vita et veritas et via, et ad Deum Patrem janua, et, per me si qua

[36] *Joan.* XVI, 7. [36] Joan. XV, 26. [37] Joan. XIV, 26.

τον ὑπημέραι ζηλοῦν ἐπείγεσθαι. Εἶτα, περὶ μὲν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γέγραπται τό· « Καὶ ἦν ὑποτασσόμενος τῷ πατρὶ, καὶ τῇ μητρὶ αὐτοῦ. » Καὶ αὐτὸς δέ φησιν ὁ Σωτήρ· « Οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι. » Καὶ ἔστιν ἕτερος, ὁ ἑτέρῳ βιοῦν ἐθέλων, ἤτοι αὐταρέσκως, καὶ αὐτεξουσίως, καὶ ἄνευ ὁδηγοῦ, καὶ ὁ τοιοῦτος οἴεται, ὡς εἰκὸς κατὰ λόγον τὴν ἔνθεον βιοτὴν πορευόμενος; Οὐμενοῦν· οὐδαμῶς, ὡς ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν. Καὶ λέγει ὁ τῆς Κλίμακος· Ὥσπερ ὁ μὴ ἔχων ὁδηγὸν εὐχερῶς ἐν τῇ ὁδῷ πλανᾶται· οὕτω καὶ ὁ αὐτεξουσίως τὴν μοναδικὴν ὁδὸν πορευόμενος, εὐχερῶς ἀπόλλυται, κἂν πᾶσαν τὴν τοῦ κόσμου σοφίαν ἐπίσταται· διά τοι τοῦτο καὶ οἱ πολλοὶ, ἵνα μὴ εἴπωμεν πάντες, οἱ μὴ ὑποτασσόμενοι, καὶ μὴ μετὰ βουλῆς βαδίζοντες, σὺν πόνῳ μὲν, καὶ ἱδρῶτι τὰ πλεῖστα ὀνειροπολοῦντες, σπείρουσι· τῇ δὲ ἀληθείᾳ, ἀμῶσι τὰ λίαν ἐλάχιστα. Τινὲς δὲ καὶ ἀντὶ σίτου, συλλέγουσι, φεῦ! ζιζάνια, ὡς στοιχοῦντες, καθὰ λέλεκται, τῇ ἰδιορρυθμίᾳ καὶ τῷ αὐταρέσκῳ φρονήματι, οὗ οὐδὲν χεῖρον· καὶ τούτου μάρτυς ὁ τῆς Κλίμακος, οὕτω γράφων· « Ὅσοι πρὸς τὸ στάδιον τῆς νοερᾶς ὁμολογίας ἐπεχειρήσατε ἀποδύσασθαι· ὅσοι τὸν τοῦ Χριστοῦ ζυγὸν ἐπὶ τὸν οἰκεῖον αὐχένα ἆραι βούλεσθε· ὅσοι τὸ ἑαυτῶν φορτίον, ἐπὶ τὸν τοῦ ἑτέρου τράχηλον ἐπιθεῖναι σπουδάζετε· ὅσοι τὰς ἑαυτῶν ὠνὰς γράψαι ἑκουσίως σπεύδετε, καὶ ἀντ' ἐκείνων ἐλευθερίαν γραφῆναι ὑμῖν βούλεσθε· ὅσοι χερσὶν ἑτέρων ἀνυψούμενοι, καὶ νηχόμενοι, τὸ μέγα τοῦτο περαιοῦσθε πέλαγος· γνῶτε, ὡς σύντομόν τινα, καὶ τραχεῖαν ὁδὸν βαδίζειν ἐπεχειρήσατε, μίαν καὶ μόνην πλάνην ἐν ἑαυτῇ κεκτημένην· αὕτη δὲ καλεῖται ἰδιορρυθμία· ὁ γὰρ ταύτην εἰσάπαν ἀπαρνησάμενος, ἐν οἷς ἂν δοκῇ καλοῖς, καὶ πνευματικοῖς, καὶ θεαρέστοις, πρὸ τοῦ βαδίσαι, ἔφθασεν. » Ὑπακοὴ γάρ ἐστιν, ἀπιστεῖν ἑαυτῷ ἐν τοῖς καλοῖς ἅπασι, μέχρι τέλους ζωῆς. Ὅθεν καὶ οὗτος ταῦτα μετὰ συνέσεως καταμαθὼν, καὶ τὴν ἀγαθὴν μερίδα, καὶ ἀναφαίρετον τῆς αἰθεριδρόμου ἡσυχίας ἐξασκεῖν γλιχόμενος, ἵνα τοῖς καλῶς τεθεσπισμένοις, ὡς σοι δεδήλωται, νόμοις, καὶ πρῶτον ἀσπασίως ἅπασαι τὴν ὑπακοήν· εἶθ' οὕτω τὴν ἡσυχίαν. Ὥσπερ γὰρ ἡ πρᾶξις τῆς θεωρίας ἐπίβασις, οὕτω καὶ ἡ ὑπακοὴ τῆς ἡσυχίας· καὶ μὴ θέλε μεταίρειν ὅρια, καθὼς γέγραπται, ἃ ἔθεντο οἱ Πατέρες. Καὶ οὐαὶ δὲ τῷ μόνῳ. Τούτῳ γὰρ τῷ τρόπῳ, καλὴν ἀρχὴν θεμέλιον καταβαλὼν, καιροῦ προϊόντος, καὶ εὐκλεεστάτου δρόφου ἐπιθήσεις τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος. Ὡς γὰρ οὗ ἡ ἀρχὴ, κατὰ τὸν εἰπόντα, ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον· οὕτως οὗ ἡ ἀρχὴ δόκιμος, καὶ τὸ ὅλον εὐπρεπὲς, ναὶ μὴν, καὶ εὔτακτον, εἰ καὶ τοὐναντίον ἔσθ' ὅτε συμβαίνει· καὶ τοῦτο μέντοι παρὰ τῇ ἡμετέρᾳ προθέσει προαιρέσει ἐπιγίνεσθαι πέφυκε.

« Non veni ministrari, sed ministrare[39]. » Et erit alius qui aliter vivere velit, libere scilicet et pro arbitrio, et sine duce, atque ille censet seipsum secundum Deum vitam agere? Nequaquam; sed quasi super cavernas saltat. Et dicit idem Climax: « Quemadmodum ille qui ductorem non habet, errat in via; ita et qui pro arbitrio in solitaria via incedit, facile perit, etiamsi omnem hominum sapientiam habeat: ideo et plurimi, ne dicamus omnes, cum non sint submissi et sine consilio incedant, cum labore ac sudore plerumque somniantes, dispergunt; reipsa vero quam levissima metunt. Quidam autem et pro frumento, colligunt, heu! zizania, eo quod incedunt, ut dictum est, propria voluntate et libera mente, qua nihil pejus est. Atque idem illud testatur, scribens. « Qui vos ad spiritualis confessionis stadium exuere nitimini, qui Christi jugum in collo ferre vultis; qui propria onera in alterius collo imponere pergitis; qui vestra bona inscribere libenter properatis, et pro illis libertatem vobis reddi vultis; qui manibus aliorum sublati natatesque magnum illud mare transitis; scitote vos brevem aliquam et asperam viam ingredi voluisse, errorem tantum in se habentem; quæ vocatur vita pro arbitrio acta. Qui hanc semel reliquerit, in bonis actibus et spiritualibus et Deo gratis non incedet, sed curret. » Obedientia enim est sibi in omnibus bonis actibus usque ad finem vitæ diffidere. Ideo et ipse qui hæc intellegeris et didiceris et optimam partem, ætheream illam pacem quæ non potest auferri cupieris amplecti, leges tam divine datas, ut tibi ostensum est, sequere, et primo ardenter obedientiam amplectere; deinde hoc modo pacem. Quemadmodum enim actio gradus est ad contemplationem, sic et ad pacem obedientia. Neque velis transire terminos, ut scriptum, est, quos posuere Patres. Et, væ soli! Hoc enim modo, pulchrum fundamenti initium jaciens, tempore procedente, gloriosissimum fastigium ædificio sancti Spiritus impones. Quemadmodum enim cujus initium est, ut dictum est, absque gloria, et totum abjectum erit, ita rursum cujus initium est gloriosum, totum et erit acceptabile, et bene dispositum, et si contrarium nonnunquam accidit: et hoc tamen ex nostro proposito et ex nostra voluntate accidere solet.

Τίνα τὰ τῆς ἀληθοῦς ὑποταγῆς σημεῖα, ἃ κατέχων ὁ τῷ ὄντι ὑπήκοος, εἴη ἂν ἀπταίστως ὑποτασσόμενος.

Quænam sunt veræ subjectionis signa quibus qui instructus est vere subjectus erit.

ιε'. Ἀλλ' ἐπειδήπερ πολὺς ὁ περὶ τῆς τοιαύτης ἀγωγῆς λόγος, καὶ δυσδιεξίτητος, ὅθεν καὶ οἱ ταύτην μετερχόμενοι, διαφόρως μετέρχονται, δέον καὶ περὶ αὐτῆς μίκρ' ἅττα, οἱονεὶ σήμαντρα ἐπισημήνασθαι

15. Sed quoniam multi de hac directione sermones iique extricatu difficiles sunt, unde fit ut qui eam subeunt, dissimiliter subeant, oportet et de ea pauca quædam tanquam signa indicari, quæ ob-

[39] Matth. xx, 28.

servans tanquam regulam et stateram infallibilem, purissime vivere poteris. Et hæc dicimus : Oportet eum qui vere subjectus est, has quinque virtutes necessarie prosequi : Et primo fidem, puram nempe fidem in eum a quo dirigitur et sinceram habere, adeo ut credat ipsum Christum se inspicere eique obedire, ut ait Dominus Jesus : « Qui vos audit, me audit, et qui vos contemnit, me contemnit, et qui me contemnit, contemnit et eum qui misit me. Et quodcunque non ex fide est, juxta eum qui a Climace cognomen habet, peccatum est, » secundo, veritatem, veracem eum esse oportet et opere et verbo, et accurata cogitationum confessione. « Initium enim sermonum tuorum est veritas, ut scriptum est [84]. » Et veritatem requirit Dominus [85]. Et Christus ait « Ego sum veritas [86]. « Et sane ipse vocatus est ipsissima veritas. Tertia est propriam voluntatem non sequi. Detrimentum enim est, inquit, subjecto propriam facere voluntatem, sed semper eam libenter submittere debes, neque te cogi a proprio Patre sinere. Quarta est non contradicere neque omnino contendere quoniam contradictio et contentio piorum virorum non sunt. Et scribit sacerrimus Paulus : « Si quis autem contendere vult, nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei [87]. » Si vero ita simpliciter et omnibus Christianis interdicitur, multo magis monachis, qui secundum Christum promisere se accurate subjiciendos esse. Contradictio autem et æmulatio ortum habent ex mente superbia et diffidentia referta, ut dictum est. Monachus qui superbus est, violenter contradicit; quemadmodum et contrarium scilicet non contradicere et non contendere, ortum habet ex fideli et humili dispositione. Et quintam cum virtutem observare oportet, nempe accuratam et sinceram præceptori confessionem ; ut et in nostra detonsione, tanquam si ante formidandum tribunal Christi stetissemus, coram Deo et sanctis angelis promisimus, nos et initiumet finem habituros cum omnibus nostris Domino promissis et testamentis, et confessuros esse cordis nostri secreta. Dictum est enim a sanctissimo Davide : « Dixi, confitebor adversum me iniquitatem Domino, et tu remisisti [88] » et cætera. Et ab eodem Climace : Plagæ si triumphant, non ad pejus proficiunt; sed curabuntur.

Eum quintuplicem virtutum quas ostendimus numerum quicunque sapienter et ardenter custodierit, indubitanter sciat se adepturum, tanquam datis arrhis, justorum beatitudinem. Et ea quidem sunt hujus magnificæ subjectionis propria, et quasi radix et fundamentum. Audi vero et quales sint rami, et fructus et cacumen.

Ex subjectione, inquit rursum idem a Climace, humilitas ; ex humilitate discretio ; ex discretione perspicacitas ; ex ea autem prævisio ; quod solius Dei opus est, et iis qui feliciter secundum Deum agunt,

σει · ἃ καὶ κατέχων ὡς κανόνα καὶ στάθμην ἄπ
σιον, εὐαγῶς ἔσῃ πολιτευόμενος · καὶ δὴ λέγο
τάδε · χρὴ τὸν ἀληθῶς ὑπήκοον, ὡς ἡμῖν δοκεῖ,
λάττειν τὰς πέντε ταύτας ἀρετὰς κατὰ πᾶσαν ἀ
κην · καὶ πρώτην τὴν πίστιν · ἤγουν ἔχειν αἰ
καθαρὰν καὶ ἄδολον πίστιν, πρὸς τὸν ἑαυτοῦ ἐπι
την · ἐπὶ τοσοῦτον, ὡς δοκεῖν [*ἴσ. add.* εἰς] αὐτὸν
Χριστὸν βλέπειν, καὶ ὑποτάσσεσθαι, ὥς φησιν ὁ
ριος Ἰησοῦς · « Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει · κ
ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ · ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθ
τὸν ἀποστείλαντά με. » Καὶ πᾶν δ τοῦ τῆς Κλί
κος οὐκ ἐκ πίστεως ἁμαρτία ἐστί. Δευτέραν
ἀλήθειαν · ἤτοι ἀληθεύειν αὐτὸν ἐν ἔργῳ, καὶ λό
καὶ τῇ τῶν λογισμῶν ἀκριβεῖ ἐξομολογήσει. « Ἀ
γὰρ, γέγραπται, τῶν λόγων σου, ἀλήθεια · »
ἀληθείας ἐκζητεῖ Κύριος. Καὶ ὁ Χριστὸς δέ φη
« Ἐγώ εἰμι ἡ ἀλήθεια · » καὶ δὴ καὶ αὐτοπρ
κέκληται. Τρίτην τὸ μὴ ποιεῖν τὸ οἰκεῖον θέλ
Ζημία γὰρ, φησὶν, ὑπηκόῳ, τὸ ποιεῖν τὸ ἴδιον θέλ
ἀλλ' ἀεὶ κόπτειν αὐτὸ ἐθελοντί · δηλονότι μὴ ἐν
καζόμενον ὑπὸ τοῦ ἰδίου Πατρός. Τετάρτην τὸ
ἀντιλέγειν, καὶ φιλονεικεῖν τοκαθόλου · ἐπεὶ ἡ ἐν
λογία καὶ ἡ φιλονεικία, οὐκ ἔστι τῶν εὐσεβῶν
γράφει ὁ ἱερώτατος Παῦλος · « Εἰ δέ τις δοκεῖ φι
νεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἴσμ
οὔτε αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. » Εἰ δ' οὕτως ἐπὶ
καὶ κοινῇ πᾶσι Χριστιανοῖς ἀπείργεται τὰ τοιαῦ
πολλῷ μᾶλλον μοναστοῖς · καὶ ταῦτα κατὰ τὸν Δ
ριον ἐπαγγελλομένοις ὑποτάσσεσθαι ἀκριβῶς.
μέντοι ἀντιλέγειν, καὶ φιλονεικεῖν, ἔχει τὴν ὕπερ
ἐκ γνώμης, ἀπιστίᾳ καὶ ὑψηλοφροσύνῃ συζύγ
ὡς εἴρηται · Ὑψηλόφρων μοναχὸς ἀντιλέγει σφοδ
ὥσπερ καὶ τοὐναντίον, ἤγουν τὸ μὴ ἀντιλέγειν,
μὴ φιλονεικεῖν, προέρχεται ἐκ πιστῆς καὶ τεπει
φρονος διαθέσεως. Καὶ πέμπτην δὲ χρὴ φυλάττε
τοῦτον ἀρετὴν, τὸ ἔχειν ἀκριβῆ καὶ εἰλικρινῆ ἐξο
λόγησιν πρὸς τὸν προεστῶτα, καθὼς καὶ ἐν τῇ ἐπ
κέρσει, ὡς ἐπὶ τοῦ φοβεροῦ παρεστῶτες βήματος
Χριστοῦ, ἐνώπιον Θεοῦ καὶ ἁγίων ἀγγέλων ἐθέμ
μεν ὑπόσχεσιν, τὸ ἔχειν ἡμᾶς ἀρχὴν, καὶ τέλος μ
τῶν ἄλλων ἐπαγγελιῶν καὶ συνθηκῶν ἡμῶν τῶν π
Κύριον, καὶ ἐξαγγελίαν τῶν τῆς καρδίας κρυπ
Εἴρηται καὶ τῷ θείῳ Δαβὶδ · « Εἶπα, ἐξαγορε
κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ · καὶ σὺ
ἦκας, » κτλ. Καὶ τῷ τῆς Κλίμακος · Μώλωπες θρ
δευόμενοι, οὐ προκόπτουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰ
σονται.

Ταύτην τὴν πενταδικὴν τῶν δηλωθεισῶν ἀρε
ἀπαρίθμησιν, ὁ σοφῶς καὶ ἐπιστημόνως τηρ
ἀναμφιβόλως γινωσκέτω, ὡς ἀπεντεῦθεν ἐπιτυ
ἔσται τῆς τῶν δικαίων ὡς ἐν ἀῤῥαβῶνι μακαριό
τος. Καὶ ταῦτα μὲν, τὰ τῆς ἀξιομνημονεύτου
ακοῆς ἴδια, καὶ οἷον ἡ ῥίζα, καὶ ὁ θεμέλιος · ἄκου
δὲ καὶ οἵοι οἱ κλάδοι, καὶ ὁ καρπὸς, καὶ ὁ βρόφος.

Ἐξ ὑπακοῆς, φησὶν αὖθις ὁ τῆς Κλίμακος, τα
νωσις · ἐκ ταπεινώσεως, διάκρισις · ἐκ διακρίσε
διόρασις · ἐκ δὲ ταύτης, προόρασις · ὃ μόνου Θ
ἔργον · καὶ τοῖς μακαρίως θεουργουμένοις, δῶ

[84] Psal. cxviii, 160. [85] Psal. xxx, 24. [86] Joan. xiv, 6. [87] I Cor. xi, 16. [88] Psal. xxxi, 5.

ενον παρ' αὐτοῦ, ἐξαίρετον, καὶ ὑπερφυέστα- A
λὸς δὴ τοῖς εἰρημένοις, ἔστω σοι καὶ τοῦτο
ὅτι γε κατὰ τὴν σὴν ἠκριβωμένην ὑποταγὴν,
νει καὶ ἐν σοὶ ἡ ταπείνωσις· καὶ αὖθις κατὰ
πείνωσιν ἡ διάκρισις ὡσαύτως καὶ καθ' ἑξῆς
ται. Καὶ ἀγωνίζου, ὅση σοι δύναμις, ἁπταί-
τὴν τῆς ὑπακοῆς θέειν πορείαν. Οὕτω γὰρ
ν πρόσω ἀνεπισφαλῶς ἐπιβήσῃ. Εἰ δέ πως ἐν
ὑποταγῇ ὑποσκάζεις νύσσῃ, ἴσθι ὡς οὐκ ἂν
περανεῖς τὸν ἐπίλοιπον δίαυλον τῆς προκει-
βαλβίδος· τὴν κατὰ Χριστόν φαμεν πολιτείαν·
ἣν στεφανωθήσῃ τῇ τοῖς νικηταῖς δωρουμένῃ
· μέντοιγε, καὶ οἷά τις ὁδηγὸς ἡ ὑπακοὴ, καὶ
ης πρόσθεν εἴπομεν ἴδια, ἔστω σοι, καθάπερ τὸ
τοῖς ναυτικοῖς, διοπτευόμενον, πρὸς τὴν τοῦ
ῦς τήρησιν· ἵν' ἀκλινῶς πρὸς αὐτὴν ἀφορῶν, B
λεῦσαι δυνηθῇς τὸ τῶν ἀρετῶν μέγα πέλαγος·
ω πρὸς ὅρμον ὁρμήσῃς [ἴσ. ὁρμίσῃς] τὸν ἀκύ-
τῆς ἀπαθείας· ἂν δὲ καὶ ζάλη τις, καὶ σάλος
σοι, καὶ τοῦτο ἔσεται παρὰ τῇ σῇ ὑποταγῇ [ἴσ.
σῇ]. Τὸν γὰρ ἀληθῆ ὑπήκοον οὐδὲ αὐτὸς ὁ διά-
κατὰ τοὺς Πατέρας, ἄν τι βλάψαι δεδύνηται·
σοι καὶ τὸ τῆς παναγάστου ὑπακοῆς τίμιον
ἡλίκον ἐστὶ, δι' ὀλίγου ἐπιδείξωμεν, μιᾶς ἔτι
ως ἁγίου Πατρὸς διαμνημονεύσωμεν.

ει τοιγαροῦν αὖθις ὁ φαεινότατος λαμπτὴρ τῆς
ριστὸν πολιτείας, καὶ νέος Βεσελεὴλ τῆς σὺ-
Κλίμακος· Ὅπλον μὲν οἱ Πατέρες, τὴν ψαλμ-
· τὴν δὲ προσευχὴν, τεῖχος· λουτῆρα δὲ, τὸ
ον δάκρυον εἶναι ὁρίζονται· τὴν δὲ μακαρίαν C
ἣν, ὁμολογίαν ἔκριναν· ἧς χωρὶς, οὐδεὶς τῶν
ῶν ὄψεται τὸν Κύριον. Ἱκανὰ μὲν οὖν καὶ
ὡς ἡμῖν δοκεῖ, πρὸς ἐναργεστάτην δήλωσίν τε
αινον τοῦ ἀμιμήτου μιμήματος τῆς τρισολ-
παικοῆς. Ἔξομεν δ' ἔτι πεῖρα ταῦτα καταμα-
καὶ διαγνῶναι, εἴ γ' ἐπὶ τὰ ἀνωτέρω ἀνανεύ-
, καὶ συνδιασκεψώμεθα, τί μὲν τὸ τῆς συντρι-
αὶ θνητότητος ἡμῖν παραίτιον, μὴ τοιούτοις
ρχὰς δεδημιουργημένοις· τί δ' αὖθις τὸ τῆς
νίσεως καὶ τῆς ἀθανασίας. Εὑρίσκομεν τοί-
οῦ μὲν πρωτέρου πρόξενον οὖσαν, ἡγοῦν τῆς
ς, τὴν τοῦ πρώτου Ἀδὰμ ἰδιοπιστίαν τε καὶ
υθμίαν, καὶ τὸ ἀνυπόταχτον· ἐξ ὧν ἡ τῆς ἐν-
τῆς θείας ἀθέτησις καὶ παράβασις. Τοῦ δὲ
κου, ἤτοι τῆς ἀφθαρσίας πρύτανιν, τὴν τοῦ
ιου Ἀδὰμ, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰη-
ριστοῦ πρὸς τὸν Πατέρα ὁμοβουλίαν τε καὶ
γὴν, ἀφ' ὧν ἡ τῆς ἐντολῆς αὐτοῦ τήρησις.
ὁ γὰρ, φησὶν ὁ Σωτὴρ, ἐξ ἐμαυτοῦ οὐκ ἐλά-
ἀλλ' ὁ πέμψας Πατήρ, αὐτός μοι ἐντολὴν
, τί εἴπω, καὶ τί λαλήσω· καὶ οἶδα, ὅτι ἡ ἐν-
αὐτοῦ, ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ,
εἰρηκέ μοι ὁ Πατὴρ, οὕτω λαλῶ. » Ὡς οὖν
προπάτορι καὶ τοῖς κατ' αὐτὸν, ῥίζα πάντων
ῶν, καὶ μήτηρ, ἡ οἴησις· οὕτως ἐν τῷ καινῷ
ρώπῳ Ἰησοῦ Χριστῷ, καὶ τοῖς κατ' αὐτὸν ζῆν
ένοις, ἀρχὴ, καὶ πηγὴ, καὶ θεμέλιος πάντων
ν, ἡ ταπείνωσις. Τὴν τοιαύτην στάσιν, καὶ

donum ab eo præstitum, excellens et supernaturale. Præter ea quæ dicta sunt, et hoc tibi sit notum : Pro tuæ subjectionis gradu, germinabit in te humilitas ; et rursum pro humilitatis gradu, discretio ; atque ita successive reliquæ virtutes. Et enitere, totis viribus incessanter hanc obedientiæ viam percurrere. Ita enim ea quæ sunt ante te tute assequeris. Si autem in obedientiæ curriculo claudicabis, noveris te quod superest ad terminum cursus non bene peracturum, vitam nempe Christianam dicimus ; neque vincentibus promissa infula coronaberis. Igitur tibi accipe obedientiam et quæ ejus propria esse diximus, quæ tibi viam ostendat, quemadmodum navigantes astris diriguntur, ne forte per maria errent ; ut et ipse eam semper aspiciens magnum virtutis Oceanum transmeare queas, atque ita id tranquillum felicitatis portum perducaris. Si vero quædam tempestas et jactatio supervenerit, et id pro tuæ subjectionis gradu fiet. Eum enim qui vere obedit neque ipse diabolus, juxta Patres, posset lædere. Ut autem tibi paucis ostendamus quam sublimis et honorabilis sit vera obedientia, unum adhuc sancti Patris oraculum memoremus.

Rursum igitur dicit splendidissimum illud vitæ Christianæ lumen, novus ille cœlestis scalæ Beseleel : « Armaturam Patres definiunt esse psalmodiam ; murum, orationem ; balneum autem, irreprehensibiles lacrymas ; beatam vero obedientiam confessionem esse dixerunt ; sine qua nemo sons Dominum videbit. Sufficiunt ea quidem, ut nobis videtur, ad evidentissimam declarationem ac laudem perfectæ hujus imitationis quæ per beatissimam obedientia adimpletur. Hæc autem adhuc poterimus experientia discere ac discernere, si ad priora suspiciamus, inquiramusque quænam destructionis ac mortalitatis nobis fuerit causa, cum non ab initio tales creati fuerimus ; quænam vero renovationis nostræ ac immortalitatis. Reperimus autem, mortalitatis causam fuisse, primi Adam propriam sui fiduciam et libidinem et inobedientiam ; unde orta est mandati divini reprobatio et transgressio ; immortalitatis vero principium, secundi Adam, et Dei D et Salvatoris nostri Jesu Christi voluntati Patris subjectionem ; unde hujus mandati observatio. « Ego enim, inquit Salvator, non ex me ipso locutus sum ; sed qui misit me Pater, ipse mihi mandatum dedit, quid dicam et quid loquar [36]. Et scio quia promissio ejus est vita æterna. Quæ enim ego loquor, ut dixit mihi Pater, ego loquor. Quemadmodum igitur in primo Patre et in iis qui ipsum imitantur radix et mater omnium malorum est cogitatio ; ita et in novo Deo Homine et in iis qui vitam ejus æmulantur, principium et fons et fundamentum omnium bonorum, humilitas. Quem statum ordinemque et eum qui supra nos est, divinorum Angelorum mundum observantem videmus ; hanc imo terrestrem

[36] Joan. XII, 49.

servans tanquam regulam et stateram infallibilem, purissime vivere poteris. Et hæc dicimus : Oportet eum qui vere subjectus est, has quinque virtutes necessarie prosequi : Et primo fidem, puram nempe fidem in eum a quo dirigitur et sinceram habere, adeo ut credat ipsum Christum se inspicere eique obedire, ut ait Dominus Jesus : « Qui vos audit, me audit, et qui vos contemnit, me contemnit, et qui me contemnit, contemnit et eum qui misit me. Et quodcunque non ex fide est, juxta eum qui a Climace cognomen habet, peccatum est, » secundo, veritatem, veracem eum esse oportet et opere et verbo, et accurata cogitationum confessione. « Initium enim sermonum tuorum est veritas, ut scriptum est [31]. » Et veritatem requirit Dominus [32]. Et Christus ait « Ego sum veritas [33]. « Et sane ipse vocatus est ipsissima veritas. Tertia est propriam voluntatem non sequi. Detrimentum enim est, inquit, subjecto propriam facere voluntatem, sed semper eam libenter submittere debes, neque te cogi a proprio Patre sinere. Quarta est non contradicere neque omnino contendere quoniam contradictio et contentio piorum virorum non sunt. Et scribit sacerrimus Paulus : « Si quis autem contendere vult, nos talem consuetudinem non habemus, neque Ecclesiæ Dei [34]. » Si vero ita simpliciter et omnibus Christianis interdicitur, multo magis monachis, qui secundum Christum promisere se accurate subjiciendos esse. Contradictio autem et æmulatio ortum habent ex mente superbia et diffidentia referta, ut dictum est. Monachus qui superbus est, violenter contradicit; quemadmodum et contrarium scilicet non contradicere et non contendere, ortum habet ex fideli et humili dispositione. Et quintam cum virtutem observare oportet, nempe accuratam et sinceram præceptori confessionem ; ut et in nostra detonsione, tanquam si ante formidandum tribunal Christi stetissemus, coram Deo et sanctis angelis promisimus, nos et initiumet finem habituros cum omnibus nostris Domino promissis et testamentis, et confessuros esse cordis nostri secreta. Dictum est enim a sanctissimo Davide : « Dixi, confitebor adversum me iniquitatem Domino, et tu remisisti [35] » et cætera. Et ab eodem Climace : Plagæ si triumphant, non ad pejus proficiunt; sed curabuntur.

Eum quintuplicem virtutum quas ostendimus numerum quicunque sapienter et ardenter custodierit, indubitanter sciat se adepturum, tanquam datis arrhis, justorum beatitudinem. Et ea quidem sunt hujus magnificæ subjectionis propria, et quasi radix et fundamentum. Audi vero et quales sint rami, et fructus et cacumen.

Ex subjectione, inquit rursum idem a Climace, humilitas ; ex humilitate discretio ; ex discretione perspicacitas ; ex ea autem prævisio ; quod solius Dei opus est, et iis qui feliciter secundum Deum agunt,

σει · ἃ καὶ κατέχων ὡς κανόνα καὶ στάθμην ἄπταιστον, εὐαγῶς ἔσῃ πολιτευόμενος · καὶ δὴ λέγομεν τάδε · χρὴ τὸν ἀληθῶς ὑπήκοον, ὡς ἡμῖν δοκεῖ, φυλάττειν τὰς πέντε ταύτας ἀρετὰς κατὰ πᾶσαν ἀνάγκην · καὶ πρώτην τὴν πίστιν · ἡγοῦν ἔχειν αὐτὸν καθαρὰν καὶ ἄδολον πίστιν, πρὸς τὸν ἑαυτοῦ ἐπιστάτην · ἐπὶ τοσοῦτον, ὡς δοκεῖν [*Ισ. add.* εἰς] αὐτὸν τὸν Χριστὸν βλέπειν, καὶ ὑποτάσσεσθαι, ὥς φησιν ὁ Κύριος Ἰησοῦς · « Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει · καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ · ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. » Καὶ πᾶν ὃ τοῦ τῆς Κλίμακος οὐκ ἐκ πίστεως ἁμαρτία ἐστί. Δευτέραν τὴν ἀλήθειαν · ἤτοι ἀληθεύειν αὐτὸν ἐν ἔργῳ, καὶ λόγῳ, καὶ τῇ τῶν λογισμῶν ἀκριβεῖ ἐξομολογήσει. « Ἀρχὴ γὰρ, γέγραπται, τῶν λόγων σου, ἀλήθεια · » καὶ ἀληθείας ἐκζητεῖ Κύριος. Καὶ ὁ Χριστὸς δέ φησιν · « Ἐγώ εἰμι ἡ ἀλήθεια · » καὶ δὴ καὶ αὐτοαλήθεια κέκληται. Τρίτην τὸ μὴ ποιεῖν τὸ οἰκεῖον θέλημα. Ζημία γὰρ, φησὶν, ὑπηκόῳ, τὸ ποιεῖν τὸ ἴδιον θέλημα· ἀλλ' ἀεὶ κόπτειν αὐτὸ ἐθέλοντί · δηλονότι μὴ ἀναγκαζόμενον ὑπὸ τοῦ ἰδίου Πατρός. Τετάρτην τὸ μὴ ἀντιλέγειν, καὶ φιλονεικεῖν τοκαθόλου · ἐπεὶ ἡ ἀντιλογία καὶ ἡ φιλονεικία, οὐκ ἔστι τῶν εὐσεβῶν. Καὶ γράφει ὁ ἱερώτατος Παῦλος· « Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὔτε αἱ Ἐκκλησίαι τοῦ Θεοῦ. » Εἰ δ' οὕτως ἁπλῶς, καὶ κοινῇ πᾶσι Χριστιανοῖς ἀπείργεται τὰ τοιαῦτα, πολλῷ μᾶλλον μοναταῖς · καὶ ταῦτα κατὰ τὸν Κύριον ἐπαγγελλομένοις ὑποτάσσεσθαι ἀκριβῶς. Τὸ μέντοι ἀντιλέγειν, καὶ φιλονεικεῖν, ἔχει τὴν ὕπαρξιν ἐκ γνώμης, ἀπιστίᾳ καὶ ὑψηλοφροσύνῃ συζώσης, ὡς εἴρηται· Ὑψηλόφρων μοναχὸς ἀντιλέγει σφοδρῶς· ὥσπερ καὶ τοὐναντίον, ἡγοῦν τὸ μὴ ἀντιλέγειν, καὶ μὴ φιλονεικεῖν, προέρχεται ἐκ πιστῆς καὶ ταπεινόφρονος διαθέσεως. Καὶ πέμπτην δὲ χρὴ φυλάττειν τοῦτον ἀρετὴν, τὸ ἔχειν ἀκριβῆ καὶ εἰλικρινῆ ἐξομολόγησιν πρὸς τὸν προεστῶτα, καθὼς καὶ ἐν τῇ ἀποκάρσει, ὡς ἐπὶ τοῦ φοβεροῦ παρεστῶτες βήματος τοῦ Χριστοῦ, ἐνώπιον Θεοῦ καὶ ἁγίων ἀγγέλων δεδώκαμεν ὑπόσχεσιν, τὸ ἔχειν ἡμᾶς ἀρχὴν, καὶ τέλος μετὰ τῶν ἄλλων ἐπαγγελιῶν καὶ συνθηκῶν ἡμῶν τῶν πρὸς Κύριον, καὶ ἐξαγγελίαν τῶν τῆς καρδίας κρυπτῶν. Εἴρηται καὶ τῷ θείῳ Δαβίδ· « Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ · καὶ σὺ ἀφῆκας, » κτλ. Καὶ τῷ τῆς Κλίμακος· Μώλωπες θριαμβευόμενοι, οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰαθήσονται.

Ταύτην τὴν πενταδικὴν τῶν δηλωθεισῶν ἀρετῶν ἀπαρίθμησιν, ὁ σοφῶς καὶ ἐπιστημόνως τηρῶν, ἀναμφιβόλως γινωσκέτω, ὡς ἀπεντεῦθεν ἐπιτυχὴς ἔσται τῆς τῶν δικαίων ὡς ἐν ἀῤῥαβῶνι μακαριότητος. Καὶ ταῦτα μὲν, τὰ τῆς ἀξιομνημονεύτου ὑπακοῆς ἴδια, καὶ οἷον ἡ ῥίζα, καὶ ὁ θεμέλιος · ἄκουσον δὲ καὶ οἵοι οἱ κλάδοι, καὶ ὁ καρπὸς, καὶ ὁ δροφος.

Ἐξ ὑπακοῆς, φησὶν αὖθις ὁ τῆς Κλίμακος, ταπείνωσις · ἐκ ταπεινώσεως, διάκρισις · ἐκ διακρίσεως, διόρασις · ἐκ δὲ ταύτης, προόρασις · ὃ μόνου Θεοῦ ἔργον · καὶ τοῖς μακαρίως θεουργουμένοις, δῶρον

[31] Psal. cxviii, 160. [32] Psal. xxx, 24. [33] Joan. xiv, 6. [34] I Cor. xi, 16. [35] Psal. xxxi, 5.

δωρούμενον παρ' αὐτοῦ, ἐξαίρετον, καὶ ὑπερφυέστατον. Πρὸς δὴ τοῖς εἰρημένοις, ἔστω σοι καὶ τοῦτο δῆλον· ὅτι γε κατὰ τὴν σὴν ἠκριβωμένην ὑποταγὴν, βλυστάνει καὶ ἐν σοὶ ἡ ταπείνωσις· καὶ αὖθις κατὰ τὴν ταπείνωσιν ἡ διάκρισις· ὡσαύτως καὶ καθ' ἑξῆς αἱ λοιπαί. Καὶ ἀγωνίζου, ὅση σοι δύναμις, ἀπταίστως τὴν τῆς ὑπακοῆς θέειν πορείαν. Οὕτω γὰρ καὶ τῶν πρόσω ἀνεπισφαλῶς ἐπιβήσῃ. Εἰ δέ πως ἐν τῇ τῆς ὑποταγῆς ὑποσκάζεις νύσσῃ, ἴσθι ὡς οὐκ ἂν καλῶς περανεῖς τὸν ἐπίλοιπον δίαυλον τῆς προκειμένης βαλβίδος· τὴν κατὰ Χριστὸν φαμεν πολιτείαν· οὔτε μὴν στεφανωθήσῃ τῇ τοῖς νικηταῖς δωρουμένῃ ταινίᾳ· μέντοιγε, καὶ οἷά τις ὁδηγὸς ἡ ὑπακοὴ, καὶ ἃ ταύτης πρόσθεν εἴπομεν ἴδια, ἔστω σοι, καθάπερ τὸ παρὰ τοῖς ναυτικοῖς, διοπτευόμενον, πρὸς τὴν τοῦ ἀπλανοῦς τήρησιν· ἵν' ἀκλινῶς πρὸς αὐτὴν ἀφορῶν, ὑπερπλεῦσαι δυνηθῇς τὸ τῶν ἀρετῶν μέγα πέλαγος· καὶ οὕτω πρὸς ὅρμον ὁρμήσῃς [ἴσ. ὁρμίσῃς] τὸν ἀκύμαντον τῆς ἀπαθείας· ἂν δὲ καὶ ζάλη τις, καὶ σάλος ἐπέλθῃ σοι, καὶ τοῦτο ἔσεται παρὰ τῇ σῇ ὑποταγῇ [ἴσ. παρακοῇ]. Τὸν γὰρ ἀληθῆ ὑπήκοον οὐδὲ αὐτὸς ὁ διάβολος, κατὰ τοὺς Πατέρας, ἄν τι βλάψαι δεδύνηται· ἵνα δέ σοι καὶ τὸ τῆς παναγάστου ὑπακοῆς τίμιον ὕψος, ἡλίκον ἐστὶ, δι' ὀλίγου ἐπιδείξωμεν, μιᾶς ἔτι χρήσεως ἁγίου Πατρὸς διαμνημονεύσωμεν.

donum ab eo præstitum, excellens et supernaturale. Præter ea quæ dicta sunt, et hoc tibi sit notum : Pro tuæ subjectionis gradu, germinabit in te humilitas ; et rursum pro humilitatis gradu, discretio ; atque ita successive reliquæ virtutes. Et enitere, totis viribus incessanter hanc obedientiæ viam percurrere. Ita enim ea quæ sunt ante te tute assequeris. Si autem in obedientiæ curriculo claudicabis, noveris te quod superest ad terminum cursus non bene peracturum, vitam nempe Christianam dicimus ; neque vincentibus promissa infula coronaberis. Igitur tibi accipe obedientiam et quæ ejus propria esse diximus, quæ tibi viam ostendat, quemadmodum navigantes astris diriguntur, ne forte per maria errent ; ut et ipse eam semper aspiciens magnum virtutis Oceanum transmeare queas, atque ita id tranquillum felicitatis portum perducaris. Si vero quædam tempestas et jactatio supervenerit, et id pro tuæ subjectionis gradu fiet. Eum enim qui vere obedit neque ipse diabolus, juxta Patres, posset lædere. Ut autem tibi paucis ostendamus quam sublimis et honorabilis sit vera obedientia, unum adhuc sancti Patris oraculum memoremus.

Λέγει τοιγαροῦν αὖθις ὁ φαεινότατος λαμπτὴρ τῆς κατὰ Χριστὸν πολιτείας, καὶ νέος Βεσελεὴλ τῆς οὐρανίου Κλίμακος· Ὅπλον μὲν οἱ Πατέρες, τὴν ψαλμῳδίαν· τὴν δὲ προσευχὴν, τεῖχος· λουτῆρα δὲ, τὸ ἄμωμον δάκρυον εἶναι ὁρίζονται· τὴν δὲ μακαρίαν ὑπακοὴν, ὁμολογίαν ἔκριναν· ἧς χωρὶς, οὐδεὶς τῶν ἐμπαθῶν ὄψεται τὸν Κύριον. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα, ὡς ἡμῖν δοκεῖ, πρὸς ἐναργεστάτην δήλωσίν τε καὶ ἔπαινον τοῦ ἀμιμήτου μιμήματος τῆς τρισολβίου ὑπακοῆς. Ἔξομεν δ' ἔτι πεῖρα ταῦτα καταμαθεῖν τε καὶ διαγνῶναι, εἴ γ' ἐπὶ τὰ ἀνωτέρω ἀνανεύσωμεν, καὶ συνδιασκεψώμεθα, τί μὲν τὸ τῆς συντριβῆς καὶ θνητότητος ἡμῖν παραίτιον, μὴ τοιούτοις τοκαταρχὰς δεδημιουργημένοις· τί δ' αὖθις τὸ τῆς ἀνακαινίσεως καὶ τῆς ἀθανασίας. Εὑρίσκομεν τοίνυν, τοῦ μὲν πρωτέρου πρόξενον οὖσαν, ἧγουν τῆς φθορᾶς, τὴν τοῦ πρώτου Ἀδὰμ ἰδιοπιστίαν τε καὶ ἰδιορρυθμίαν, καὶ τὸ ἀνωπόταχτον· ἐξ ὧν ἡ τῆς ἐντολῆς τῆς θείας ἀθέτησις καὶ παράβασις. Τοῦ δὲ δευτέρου, ἤτοι τῆς ἀφθαρσίας πρύτανιν, τὴν τοῦ δευτέρου Ἀδὰμ, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς τὸν Πατέρα ὁμοβουλίαν τε καὶ ὑποταγὴν, ἀφ' ὧν ἡ τῆς ἐντολῆς αὐτοῦ τήρησις. « Ἐγὼ γὰρ, φησὶν ὁ Σωτὴρ, ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ πέμψας Πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω, καὶ τί λαλήσω· καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ, ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγὼ, καθὼς εἴρηκέ μοι ὁ Πατὴρ, οὕτω λαλῶ. » Ὡς οὖν ἐν τῷ προπάτορι καὶ τοῖς κατ' αὐτὸν, ῥίζα πάντων ἀνιαρῶν, καὶ μήτηρ, ἡ οἴησις· οὕτως ἐν τῷ καινῷ θεανθρώπῳ Ἰησοῦ Χριστῷ, καὶ τοῖς κατ' αὐτὸν ζῆν ἐφιεμένοις, ἀρχὴ, καὶ πηγὴ, καὶ θεμέλιος πάντων ἀγαθῶν, ἡ ταπείνωσις. Τὴν τοιαύτην στάσιν, καὶ

Rursum igitur dicit splendidissimum illud vitæ Christianæ lumen, novus ille cœlestis scalæ Beseleel : « Armaturam Patres definiunt esse psalmodiam ; murum, orationem ; balneum autem, irreprehensibiles lacrymas ; beatam vero obedientiam confessionem esse dixerunt ; sine qua nemo sons Dominum videbit. Sufficiunt ea quidem, ut nobis videtur, ad evidentissimam declarationem ac laudem perfectæ hujus imitationis quæ per beatissimam obedientia a edimpletur. Hæc autem adhuc poterimus experientia discere ac discernere, si ad priora suspiciamus, inquiramusque quænam destructionis ac mortalitatis nobis fuerit causa, cum non ab initio tales creati fuerimus ; quænam vero renovationis nostræ ac immortalitatis. Reperimus autem, mortalitatis causam fuisse, primi Adam propriam sui fiduciam et libidinem et inobedientiam ; unde orta est mandati divini reprobatio et transgressio ; immortalitatis vero principium, secundi Adam, et Dei et Salvatoris nostri Jesu Christi voluntati Patris subjectionem ; unde hujus mandati observatio. « Ego enim, inquit Salvator, non ex me ipso locutus sum ; sed qui misit me Pater, ipse mihi mandatum dedit, quid dicam et quid loquar [16]. Et scio quia promissio ejus est vita æterna. Quæ enim ego loquor, ut dixit mihi Pater, ego loquor. Quemadmodum igitur in primo Pater et in iis qui ipsum imitantur radix et mater omnium malorum est cogitatio ; ita et in novo Deo Homine et in iis qui vitam ejus æmulantur, principium et fons et fundamentum omnium bonorum, humilitas. Quem statum ordinemque et eum qui supra nos est, divinorum Angelorum mundum observantem videmus ; hanc imo terrestrem

[16] Joan. XII, 49.

μεν, ἢ κατὰ τῆς σαρκὸς, ὡς εἰκὸς, στρατεύεσθαι, ἢ κατὰ παθῶν καὶ δαιμόνων ὁπλίζεσθαι; Ταῖς γὰρ ἀρεταῖς, ὡς γέγραπται, αἱ κακίαι παραπεπήγασι, καὶ εἰσί πως ἀγχίθυροι. Πόθεν δὲ τὰς τοῦ σώματος αἰσθήσεις παιδεύειν, καὶ τῆς ψυχῆς τὰς δυνάμεις ὡς ἐν κιννύρᾳ ῥυθμίζειν; μᾶλλον δὲ, πῶς ἐξέσται ἡμῖν διακρῖναι ὀρφὰς, καὶ ἀποκαλύψεις, καὶ παρακλήσεις, καὶ θεωρίας θείας, ναὶ μὴν καὶ δόλους, καὶ πλάνας, καὶ φάσματα δαιμονιώδη; Καὶ ἵνα συντόμως εἴπωμεν, πῶς εἰς ἑνώσεις Θεοῦ, καὶ θεουργικὰς τελετὰς, καὶ μυστήρια, προφθάσαι ἀξιωθησόμεθα, ἄνευ μυήσεως μυσταγωγοῦ ἀληθοῦς, καὶ πεφωτισμένου; Οὐκ ἔστιν ὄντως, οὐκ ἔστιν. Ὁπηνίκα δὲ καὶ τὸ τῆς ἐκλογῆς σκεῦος, τὸν μακαριώτατον κατίδωμεν Παῦλον, τὸν τῶν ἀῤῥήτων μύστην, τὸ τοῦ Χριστοῦ στόμα, τὸ φῶς τοῦ κόσμου, τὸν κοινὸν ἥλιον, τὸν τῆς οἰκουμένης συμπάστης διδάσκαλον, τοῖς συναποστόλοις κοινούμενον καὶ συνδιασκεπτόμενον τὸ Εὐαγγέλιον· καὶ ἡ αἰτία, μήπως, φησὶν, εἰς κενὸν τρέχω, ἢ ἔδραμον. Ναὶ μὴν, καὶ αὐτὴν τὴν αὐτοσοφίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, περὶ μὲν ἑαυτοῦ φθεγγόμενον, ὅτι « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν· ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός· » περὶ δὲ τοῦ παναγίου καὶ ζωοποιοῦ Πνεύματος, ὅτι « Οὐκ ἀφ' ἑαυτοῦ λαλήσει, ἀλλ' ὅτα ἂν ἀκούσῃ, λαλήσει. » Διά γε τὸ τῆς τάξεως χρήσιμον, ἥτις συνέχει καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια, φρίξῃ, καὶ θάμβει, καὶ ἀγωνίᾳ συνεχόμεθα, περί τε τῆς ἡμετέρας οὐθενείας, καὶ ῥᾳθυμίας, καὶ τῶν ἐκ παραφροσύνης καὶ οἰήτεως αἱρουμένων σκαιῶς, καὶ ἐπικινδύνως, ἰδιορρύθμως καὶ ἀνυποτάκτως πολιτεύεσθαι. Τῷ ὄντι γὰρ φοβερὸς ὁ τοιοῦτος ἀγὼν, καὶ μυρίοι οἱ λωποδύται, καὶ τὰ τῶν πειρατῶν ἐνεδρα ἀναρίθμητα· πρὸς δὲ, καὶ τὰ ναυάγια, μέτρον οὐκ ἐπιδέχονται· ὅθεν καὶ ἐκ τῶν πολλῶν, πάνυ ὀλίγοι εἰσὶν οἱ σωζόμενοι· ἀλλ' οὗτοι μὲν ὡς βούλονται, ὁδευέτωσαν. « Ἑκάστου γὰρ, ὡς γέγραπται, τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· καὶ ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Μάλιστα δὲ, μὴ οὕτως ἁπλῶς, ἥπερ βούλονται· ἀλλ' ὡς δεῖ καὶ βούλεσθαι καὶ βιῶναι· δοίη πᾶσιν ὁ Κύριος σύνεσιν. Σὺ δὲ καὶ πᾶς ὁ βουλόμενος κατὰ Θεὸν ζῆσαι, ὥσπερ ἀπό τινος χρασπέδου τῶν τοιούτων ῥημάτων, τὸ ὅλον χρύσεον καὶ πνευματικὸν ὕφασμα τῆς μακαρίας ὑπακοῆς μαθὼν, ἐπαίχθητι, ὡς προδεδήλωται, εὑρεῖν διδάσκαλον ἁπλανῆ καὶ τέλειον· τελείων δέ ἐστι, κατὰ τὸν Χριστοφόρον Παῦλον, ἡ στερεὰ τροφή· τῶν διὰ τὴν ἕξιν ἐχόντων τὰ αἰσθητήρια γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. Καὶ τοῦτον τῷ τρόπῳ, ἥξουν ἐμπόνως, καὶ μετὰ πίστεως ζητῶν, οὐ μὴ ἁμάρτῃς τοῦ προκειμένου σκοποῦ. « Πᾶς γὰρ, φησὶν ἡ θεία Γραφὴ, ὁ αἰτῶν, λαμβάνει· καὶ ὁ ζητῶν, εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται. » Κἀκεῖνό, σοι πάντα καθ' εἱρμὸν καὶ τάξιν μυσταγωγήσει τὰ ὄντα καὶ θεοφιλῆ. Καὶ ἔτι δὲ μᾶλλον χειραγωγήσει, πρός γε τὸ

gui habebimur, absque vera illa et mystica et illuminata institutione? Non licet omnino, non licet; quando et illud electionis vas, beatissimum nempe Paulum videmus, illum arcanorum doctorem, os Christi, lumen mundi, communem solem, orbis universi magistrum, cum aliis apostolis conversari et Evangelium contemplari; et ne forte, inquit, in vanum curram aut cucurrerim; cum revera et increatam ipsam sapientiam, Dominum nostrum Jesum Christum de se dicentem audimus: « Descendi de cœlo, non ut facerem voluntatem meam, sed voluntatem ejus, qui misit me, Patris [39]. » Et de sancto ac vivificante Spiritu: « Non a semetipso loquetur; sed quæcunque audierit, loquetur. » Propter ordinis hujus utilitatem qui cœlestia ac terrestria continet, horrore et stupore et angore comprehendimur, cum nostræ imbecillitati atque infirmitati attendimus, ilisque qui demenser eligunt oblique et periculose et ex arbitrio et pro libitu vivere. Re quidem ipsa, terribilis ea pugna est, et innumeri spoliatores, et sexcentæ tentatorum insidiæ. Et naufragia numerari nequeunt; unde et ex plurimis vix aliquot effugium. Sed ii quidem, ut ipsis placet, ambulent: « Uniuscujusque enim opus quale sit, ignis probabit [40]; » et adhuc: « Tu reddes unicuique secundum opera ejus [41]. » Præsertim vero non simpliciter, quomodo velint, sed quomodo oportet et velle et vivere, det omnibus Christus intelligere. Tu autem et quicunque vult secundum Christum vivere, tanquam ex quadam horum verborum fimbria, aureum ac spiritualem beatæ obedientiæ tramitem suscipiens, festina, ut præindicatum est, magistrum invenire doctum ac perfectum; perfectorum est autem, juxta divinum apostolum Paulum, solidus cibus; eorum scilicet, qui ex suo habitu sensus ad discernendum bonum ac malum aptos habent. Atque hoc modo, nempe cum labore et fide inquirens, non a proposito fine aberrabis. « Omnis enim, inquit divina Scriptura, qui petit, accipit, et qui quærit, invenit; et pulsanti aperietur [42]. » Et ille tibi, successive ac per ordinem, iis quæ faciendæ sunt et Deo placent te initiabit, imo ipse te manu ducet, ad ea quæ Deo grata et spiritualia sunt, et plerisque intolerabilia; cum viderit te ex animo mediocritate et humilitate et simplicitate lætari, sive in cibis, sive in vestimentis, sive in palliis; contentumque esse iis quæ pro tempore utilia sunt et opportuna et necessaria; non autem superfluis, ignavis, neque iis quæ nugis et splendori insane indulgentes magni faciunt et adversus seipsos salutemque suam gladium stringunt. Nam ipse magnus Apostolus ait: Habentes alimenta et quibus tegamur, his contenti erimus [43]. » Sed ipse cupias ac velis a nobis scripto discere quænam et principio et initio et fini hujus vitæ Christianæ competant? Quantumvis laudanda sit tua quæstio, sane laboriosum est ex improviso ubi re-

[39] Joan. vi, 38. [40] 1 Cor. iii, 13. [41] Psal. lxi, 13. [42] Matth. vii, 8. [43] 1 Tim. vi, 8.

Ὅτι ἡ πίστις διπλῆ.

Β'. Σημείωσαι δὲ, ὅτι ἡ πίστις κατὰ τὰ θεοπαράδοτα λόγια διπλῆ ἐστιν, ἡ μὲν, καθόλου πάντων τῶν ὀρθοδόξων Χριστιανῶν, εἰς ἣν ἀρχῆθέν τε βεβαπτίσμεθα, καὶ ᾗ τελευταῖον συναπέλθοιμεν· ἡ δὲ, σπανίων, κἀκείνων, τῶν διὰ τῆς τῶν θεοποιῶν πασῶν ἐντολῶν ἐκπληρώσεως, εἰς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐπαναδεδραμηκότων, καὶ οὕτω πεπλουτηκότων τῷ τῆς χάριτος θείῳ φωτὶ, ἅπασαν τὴν ἑαυτῶν ἐλπίδα ἐπιστηρίξαι πρὸς Κύριον· καὶ τοσοῦτον, ὦ τῆς ἀξίας! ὡς μηδαμῶς, κατά γε τὸ Κυριακὸν λόγιον, διακρίνεσθαι τούτους ἐν καιρῷ προσευχῆς, εἰς τὰ πρὸς Θεὸν αἰτήματα· ἀλλὰ μετὰ πίστεως ζητεῖν, καὶ οὕτω λαμβάνειν ἐκ τοῦ προχείρου τὰ συμφέροντα· καθὸ καὶ τὸ ἐξ ἔργων εἰλικρινῶν βεβαιόπιστον, οἱ μακάριοι προσεκτήσαντο, ὡς πᾶσαν γνῶσιν, καὶ διάκρισιν, καὶ διαταγμὸν, καὶ φροντίδα, ἀφ' ἑαυτῶν ῥίψαντες, καὶ ὅλοι ὅλως τῇ θείᾳ μέθῃ τῆς πρὸς Θεὸν πίστεως, καὶ ἐλπίδος, καὶ ἀγάπης, καταβαπτισθέντες, καὶ γοῦν ἀλλοιωθέντες, τὴν κρείττω, καὶ μακαρίαν τῆς δεξιᾶς τοῦ Ὑψίστου, κατὰ τὸν θεῖον Δαβὶδ, ἀλλοίωσιν. Ἀλλὰ τὸ μὲν εἰς πλάτος περὶ τῆς πρώτης πίστεως λέγειν, οὐ τοῦ παρόντος καιροῦ· τὸ δὲ περὶ τῆς δευτέρας, ἥτις ὥσπερ τις καρπὸς ἔνθεος ἐκ τῆς πρώτης ἀνθεῖ, καὶ ἀποτίκτεται, ὡς λίαν εὔκαιρον. Ἡ γὰρ πίστις, οἷόν τις ῥίζα καὶ κεφάλαιον πέφυκε, τῆς φερωνύμου θεοποιοῦ ἡσυχίας. Ἐὰν γὰρ μὴ πιστεύσῃς, φησὶν ὁ τῆς Κλίμακος, πῶς ἡσυχάσεις; Λέγει τοίνυν ὁ θεῖος Δαβίδ· « Ἐπίστευσα, διὸ ἐλάλησα. » Καὶ ὁ μέγας ἀπόστολος Παῦλος· « Ἔστι πίστις, ἐλπιζομένων ὑπόστασις· πραγμάτων ἔλεγχος οὐ βλεπομένων· καὶ ὁ δίκαιος ἐκ πίστεως ζήσεται, » κ. τ. Καὶ ὁ Σωτὴρ δὲ πρὸς τοὺς αἰτήσαντας αὐτὸν μαθητὰς προσθεῖναι αὐτοῖς πίστιν, οὕτω φησίν· « Εἰ ἔχετε πίστιν ὡσεὶ κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ· καὶ ὑπήκουσεν ἂν ὑμῖν. » Καί· « Ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. » Καί· « Πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε. » Καί· « Ἡ πίστις σου σέσωκέ σε. » Γράφει δὲ καὶ ὁ ὅσιος Ἰσαάκ· Ἡ πίστις λεπτοτέρα τῆς γνώσεως, καθὼς ἡ γνῶσις, τῶν πραγμάτων τῶν αἰσθητῶν. Πάντες γὰρ οἱ ἅγιοι, τὴν πολιτείαν ταύτην καταξιωθέντες εὑρεῖν, ὅπερ ἐστὶν ἔκπληξις εἰς Θεὸν, ἐν τῇ δυνάμει τῆς πίστεως διάγουσιν, ἐν τῇ τρυφῇ τῆς πολιτείας ἐκείνης, τῆς ὑπὲρ φύσιν. Πίστιν δὲ λέγομεν, οὐχ ἣν ᾗ πιστεύει τις, ἐν τῇ διαφορᾷ τῶν προσχυνητῶν ὑποστάσεών τε καὶ θείων, καὶ ἐν τῇ ἐξαιρέτῳ καὶ ἰδίᾳ φύσει αὐτῆς τῆς Θεότητος, καὶ ἐν τῇ οἰκονομίᾳ τῇ θαυμαστῇ τῇ ἐν τῇ ἀνθρωπότητι, ἐν τῇ προσλήψει τῆς φύσεως ἡμῶν, εἰ καὶ αὐτὴ ὑψηλή ἐστι λίαν· ἀλλὰ τὴν πίστιν τὴν ἐκ τοῦ φωτὸς τῆς χάριτος ἀνατέλλουσαν ἐν τῇ ψυχῇ ἐν τῇ μαρτυρίᾳ τῆς διανοίας, στηρίζουσαν τὴν καρδίαν ἀδιάστακτον

[47] Psal. cxv, 10. [48] Hebr. xi, 1. [49] Hebr. x, 38. [50] Matth. ix, 22.

Quod fides duplex est.

Animadverte autem fidem juxta divina oracula duplicem esse, alteram quidem omnium Christianorum orthodoxorum, in quam ab initio baptizati sumus, et in qua ab hoc mundo decedere debemus; alteram vero paucorum ac eorum qui per Dei mandatorum observationem ad efformandam in semetipsis divinam imaginem simulitudinemque tendunt, quique divino gratiæ lumine ditati, omnem suam spem in Christo ponunt; ita ut, o sane mirum! orationis tempore, minime, juxta divinum oraculum, in suis ad Deum precibus disceptent, sed cum fide petant, et ex improviso quæ utilia sunt accipiant; unde et huic firmissimæ fidei sincera opera addiderunt sancti, tanquam si ab ipsis omnem scientiam et discretionem et dubitationem et curam rejecerint ac toti omnino divina fidei, spei et charitatis ebrietate abluti sint, et mutati hac forti beataque dexteræ Excelsi, ut David loquitur, mutatione. Fuse autem de illa priori fide disserere non est temporis præsentis. Sed pro tempore est de secunda dicere quæ tanquam divinus flos ex priore oritur ac nascitur. Fides enim velut radix et caput est deificæ tranquillitatis. Nisi enim credideris, inquit Climax, quomodo pacem habebis? Dicit igitur sanctus David: « Credidi propter quod locutus sum [47]. » Et magnus apostolus Paulus: « Est fides sperandarum substantia rerum, argumentum non apparentium [48]; et: « Justus ex fide vivet [49] » etc. Et Salvator petentibus discipulis ut fidem ipsis adaugeat, sic loquitur. « Si haberetis fidem ut granum sinapis, diceretis huic arboris eradicare, et plantare in mari; et vobis obediret [50]. » Et: « Si habueritis fidem neque hæsitaveritis, non modo de arbore ita facietis, seu huic monti etiamsi dicatis, Sustollere, et injicere in mare, ita fiet [51]. » Et « Quæcumque postulaveritis in oratione credentes, accipietis [52]. » Et, « Fides tua te salvum fecit. [53] » Et plus Isaac ita scribit: Fides acutior est scientia, ut et scientia rebus sensibilibus. Omnes enim sancti, qui hac vitæ ratione digni habiti sunt, quæ est in Deum cupiditas, in potestate fidei degunt, in hujus vitæ deliciis quæ est supra naturam. Fidem autem dicimus, non eam qua qui credit in adorandarum et divinarum personarum discrimen et in excellentem et propriam ipsius Divinitatis naturam et in admirabile quod in humanitate perficitur mysterium, in nostræ naturæ assumptionem, etsi ea fides excelsa sit, sed fidem quæ ex gratiæ lumine oritur in anima mentis testimonio, et cor inconcussum statuit in certa spei fiducia cuilibet opinioni longe dissimilis. Et non in aurium auditus accessione seipsam ostendit, sed oculis spiritus mysteria in anima abscondita intuetur, et ilias arcanas divinasque divitias quæ ex filiorum carnis oculis sejunguntur et per spiritum revelantur tantum iis, qui mensæ Christi accumbunt et ejus leges meditantur, quemadmodum

[51] Matth. xvii, 19. [52] Matth. xxi, 21. [53] Ibid. 22.

dixit : « Si mandata mea servaveritis, mittam vobis Paracletum. Spiritum veritatis, quem mundus non potest accipere ; et ille docebit vos omnem veritatem, » et cætera. Et rursum: « Donec veniat ille qui est mysteriorum plenitudo, et digni habeamur illorum manifestatione, fides docet nos inter Deum et sanctos arcana mysteria, quibus utinam digni habeamur per ejusdem Christi gratiam, hic quidem tanquam in pignore, illic vero in veritatis substantia, in regno cœlorum, cum iis qui illum diligunt.

A εἶναι, ἐν τῇ πληροφορίᾳ τῆς ἐλπίδος, τῇ ἀπεχούσῃ ἀπὸ πάσης οἰήσεως· καὶ οὐκ ἐν τῇ ἐπιδόσει τῆς ἀκοῆς τῶν ὤτων ἑαυτὴν δεικνύει, ἀλλ' ἐν τοῖς πνευματικοῖς ὀφθαλμοῖς, τὰ μυστήρια τὰ κεκρυμμένα ἐν τῇ ψυχῇ· καὶ τὸν κρυπτὸν καὶ θεῖον πλοῦτον, τὸν κεκρυμμένον ἐκ τῶν ὀφθαλμῶν τῶν υἱῶν τῆς σαρκὸς, καὶ ἀποκαλυπτόμενον ἐν τῷ πνεύματι, τοῖς ἐν τῇ τραπέζῃ τοῦ Χριστοῦ διαιτωμένοις, ἐν τῇ ἀδολεσχίᾳ τῶν νόμων αὐτοῦ, καθὼς εἶπεν· « Ἐὰν τηρήσητε τὰς ἐντολάς μου, ἀποστελῶ ὑμῖν τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας, ὅπερ ὁ κόσμος οὐ δύναται δέξασθαι· κἀκεῖνος διδάξει ὑμᾶς πᾶσαν τὴν ἀλήθειαν, » καὶ τὰ ἑξῆς. Καὶ αὖθις· « Ἕως ἂν ἔλθῃ ἐκεῖνο, ὅπερ ἐστὶν ἡ τελείωσις τῶν μυστηρίων, καὶ ἀξιωθῶμεν φανερῶς τῆς ἀποκαλύψεως αὐτῶν, ἡ πίστις λειτουργεῖ μεταξὺ τοῦ Θεοῦ καὶ τῶν ἁγίων, μυστήρια ἄῤῥητα, ὧν ἀξιωθείημεν διὰ τῆς χάριτος αὐτοῦ τοῦ Χριστοῦ, ἐνταῦθα μὲν, ὡς ἐν ἀῤῥαβῶνι· ἐκεῖ δὲ ἐν ὑποστάσει τῆς ἀληθείας, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μετὰ τῶν ἀγαπώντων αὐτόν. »

Quod oportet te esse pacificum.

De tertio autem, quod nempe oportet te cum omnibus pacem habere, evidens est exhortatio illud Davidis oraculum ; imo vero et hoc divini Pauli quod tuba clarius inclamat. « Pax multa diligentibus legem tuam, inquit prior ; et non est illis scandalum [54]. »—« Et cum his qui oderant pacem, eram pacificus [55]. » Et : « Inquire pacem, et persequere eam [56]. »—« Pacem persequamini cum omnibus, inquit alter, et sanctitatem, sine qua nemo videbit Dominum [57]. » Et : « Quantum licebit vobis, pacem cum omnibus habentes [58]. »

B

Ὅτι δεῖ εἰρηνικὸν ὑπάρχειν σε.

Γ'. Περὶ δέ γε τοῦ τρίτου, δηλαδὴ τοῦ εἰρηνικὸν εἶναί σε μετὰ πάντων, ἐναργὴς σοι παραίνεσις, ἡ τοῦ μακαρίου Δαβὶδ χρῆσις· ναὶ μὴν καὶ ἡ τοῦ Χριστοφόρου Παύλου γεγωνότερον σάλπιγγος βοῶσα· ἡ μέν· « Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου· καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. » — « Καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. » Καὶ· « Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. » Ἡ δὲ· « Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν· οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. » Καί· « Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων εἰρηνεύοντες. »

Quod oportet te non esse distractum.

Quartum autem, nempe te non distractum esse debere, pius ille vir Isaac te docebit dicens : « Si cupiditas, inquit, est sensuum fructus, taceant deinceps, qui cum distractione pacem mentis servari posse contendunt ; et cum distractis ne conversare. »

C

Ὅτι δεῖ ἀπερίσπαστον εἶναί σε.

Δ'. Τοῦ δέ γε τετάρτου, δηλαδὴ τοῦ ἀπερίσπαστον τυγχάνειν σε, ὁ ὅσιος Ἰσαὰκ δηλώσει σοι λέγων, ὅτι Ἐὰν ἡ ἐπιθυμία, φησὶ, γέννημα τῶν αἰσθήσεων ὑπάρχῃ, σιωπησάτωσαν λοιπὸν, οἱ μετὰ περισπασμοῦ τὴν εἰρήνην τῆς διανοίας φυλάττειν ὁμολογοῦντες· καὶ μετὰ περισπωμένων μὴ συναναστρα-φῆς.

Quod oportet te non inquietum neque sollicitum esse.

De quinto autem, nempe quod non debes esse inquietus aut sollicitus sive rationabilium, sive non rationabilium causa, documentum tibi erit quod Dominus in Evangeliis dicit : « Ideo dico vobis, ne solliciti sitis animæ vestræ, quid manducetis, neque corpori vestro, quid induamini. Nonne anima plus est quam esca, et corpus plusquam vestimentum. Considerate volatilia cœli, quod neque seminant, neque metunt, neque congregant in horrea ; et Pater vester cœlestis pascit illa. Nonne vos multo pluris estis illis ? Quis autem ex vobis cogitans potest adjicere ad staturam suam cubitum unum ? Et de vestimento quid solliciti estis ? » Et paulo post : « Ne igitur solliciti sitis dicentes : Quid manducabimus, aut quid bibemus ? aut quo operiemur ? Hæc enim omnia gentes inquirunt. Scit enim Pater vester cœlestis quia his omnibus indigetis. Quærite primum regnum Dei et justitiam

D

Ὅτι δεῖ ἀμέριμνον καὶ ἀφρόντιστον ὑπάρχειν σε.

Ε'. Τοῦ δὲ δὴ πέμπτου, δηλονότι τοῦ ἀμέριμνον, καὶ ἀφρόντιστον ἐξ εὐλόγων, καὶ ἀλόγων πραγμάτων ὑπάρχειν σε, διδασκαλεῖόν σοι, ὅπερ ἐν Εὐαγγελίοις φησὶν ὁ Κύριος· « Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Οὐχὶ ἡ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς, καὶ τὸ σῶμα, τοῦ ἐνδύματος; Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; » Καὶ μετ' ὀλίγα· « Μὴ οὖν μεριμνήσητε λέγοντες· Τί φάγωμεν; ἢ, Τί πίωμεν; ἢ, Τί περιβαλώμεθα; Ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ

[54] Psal. cxviii, 165. [55] Psal. cxix, 7. [56] Psal. xxxiii, 15. [57] Hebr. xii, 14. [58] Rom. xii, 18.

Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. » Λέγει δὲ καὶ ὁ ἅγιος Ἰσαάκ· Χωρὶς ἀμεριμνίας, φῶς ἐν τῇ ψυχῇ σου μὴ ζητήσῃς· μήτε γαλήνην καὶ ἡσυχίαν, ἐν τῇ χαυνότητι τῶν αἰσθήσεών σου. Καὶ ὁ τῆς Κλίμακος· Μία θρὶξ ταράσσει ὀφθαλμόν· καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν. Ἡσυχία γάρ ἐστιν ἀπόθεσις νοημάτων, καὶ ἄρνησις εὐλόγων φροντίδων. Ὁ ὄντως ἡσυχίαν κατειληφὼς οὐδὲ τῆς ἑαυτοῦ σαρκὸς φροντίσει. Ἀψευδὴς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος.

Ὅτι δεῖ σιωπηλὸν εἶναί σε.

ς'. Ἔτι περὶ τοῦ ἕκτου, δηλαδὴ τοῦ σιωπᾷν, ὁ εἱρμὸς εἰπεῖν ἡμᾶς ἐκβιάζει τοῦ λόγου. Λέγει οὖν καὶ περὶ τούτου ὁ ὅσιος Ἰσαάκ· Ὁ κωλύων τὸ στόμα αὐτοῦ ἐκ τῆς καταλαλιᾶς, φυλάττει τὴν καρδίαν αὐτοῦ ἐκ τῶν παθῶν· καὶ ὁ καθαίρων τὴν καρδίαν αὐτοῦ ἐκ τῶν παθῶν, ἐν πάσῃ ὥρᾳ θεωρεῖ τὸν Κύριον· καὶ ὅτε πάντα τὰ ἔργα τῆς πολιτείας εἰς ἓν μέρος θήσεις, καὶ τὴν σιωπὴν ἐν ἄλλῳ, εὑρήσεις αὐτὴν ὑπερβάλλουσαν ἐν σταθμῷ. Καί· Ὑπὲρ πάντα τὴν σιωπὴν ἀγάπησον, ὅτι προσεγγίζει σε [*ἴσ.* σοι] πρὸς καρπόν. Ἡ γλῶσσα γὰρ ἀσθενεῖ πρὸς τὴν ἐξήγησιν αὐτοῦ. Πρῶτον μὲν βιασώμεθα ἑαυτοὺς σιωπᾷν, καὶ τότε ἐκ τῆς σιωπῆς γεννᾶταί ἡμῖν τι, ὁδηγοῦν ἡμᾶς εἰς αὐτὴν τὴν σιωπήν. Δῴη σοι ὁ Θεὸς αἰσθηθῆναί τινος γεννωμένου ἐκ τῆς σιωπῆς. Ἐὰν δὲ ἐν ταύτῃ τῇ πολιτείᾳ ἄρξῃ, οὐκ ἐπίσταμαι ἐγὼ ποῖον φῶς ἀνατελεῖ σοι ἐντεῦθεν. Καὶ αὖθις· Ἡ σιωπὴ μυστήριόν ἐστι τοῦ μέλλοντος αἰῶνος· οἱ δὲ λόγοι ὄργανόν εἰσι τοῦ κόσμου τούτου. Καὶ τῷ ἁγίῳ δὲ Ἀρσενίῳ, οὕτως ἡ θεία φωνὴ τὸ ὑστερον εἰθέσπισε· Ἀρσένιε, φεῦγε, σιώπα, ἡσύχαζε, καὶ σωθήσῃ.

Ὅτι δεῖ ἡσυχον εἶναί σε.

Ζ. Ὡσαύτως δὲ καὶ περὶ τοῦ ἑβδόμου, ἤγουν τοῦ ἡσύχως βιῶναί σε, ἀξιόπιστοι πρὸς παράστασιν, ὅ τε μέγας Βασίλειος, καὶ ὁ ἅγιος πάλιν Ἰσαάκ, ὁ μὲν εἰρηκώς· Ἡ ἡσυχία, ἀρχὴ καθάρσεως τῇ ψυχῇ· ὁ δέ, Ὅρος ἡσυχίας, σιωπὴ ἀπὸ πάντων· ὁ μὲν, τὴν ταύτης ἀρχήν, ὁ δὲ, τὸ τέλος διὰ τῶνδε τῶν φωνῶν ὡς ἐν συντόμῳ ἐπισημάναντες. Καὶ ἐν τῇ Παλαιᾷ δὲ Γραφῇ οὕτως εἴρηται· « Ἥμαρτες; ἡσύχασον· » καὶ, « Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. » Λέγει δὲ καὶ ὁ τῆς Κλίμακος· Ἔργον ἡσυχίας προηγούμενον, ἀμεριμνία πάντων πραγμάτων εὐλόγων, ἢ ἀλόγων· ὁ γὰρ τοῖς πρωτέροις ἀνοίγων, τοῖς δευτέροις πάντως περιπεσεῖται. Προσευχὴ ἄοκνος, καὶ τρίτον, ἐργασία καρδίας ἄσυλος. Ἀδύνατον, τὸν μὴ γράμματα μεμαθηκότα, φυσικῶς ἐν βέλτοις μελετᾷν· ἀδυνατώτερον δὲ, τοὺς μὴ τὸ πρότερον κτησαμένους, τὰ δύω λόγῳ μετελθεῖν. Καὶ αὖθις ὁ ἅγιος Ἰσαάκ· Ἤθος ἡσυχίας ἐστὶ, προσδοκία τοῦ θανάτου διηνεκής· ὁ ἐκτὸς ταύτης τῆς μελέτης εἰσερχόμενος ἐν τῇ ἡσυχίᾳ, οὐ δύναται βαστάσαι, ἅπερ ὀφείλομεν καρτερεῖν καὶ βαστάζειν ἐκ παντὸς τρόπου.

ejus, et hæc omnia adjicientur vobis. Neque in crastinum solliciti sitis; crastinus enim dies sollicitus erit sibi ipsi: sufficit diei malitia sua [89]. » Dicit autem et sanctus Isaac: « Nisi sis absque sollicitudine, ne quæras in anima tua lucem, neque tranquillitatem, neque pacem in superbia sensuum tuorum. » Et Climax: « Capillus unus oculum lædit, et parva sollicitudo pacem expellit. Pax enim est cogitationum depositio, et rectarum etiam curarum negatio. Qui vere pacem concepit, nec de sua carne sollicitus est. » Non mendax est qui id proclamavit.

Quod oportet te esse silentii amantem.

De sexto adhuc nempe tibi silendum esse sermonis trames nos ad dicendum inducit. Et de hoc ita loquitur pius Isaac: « Qui os suum ab obtrectatione avertit, cor suum quoque cupiditatibus vacuum servat; et qui cor suum cupiditatibus purgat, omni hora Dominum intuetur; et si omnia vitæ opera in una parte statuis, silentium vero in altera, reperies silentium in lance plus ponderis habere. » Et, « Super omnia silentium dilige, quia te fructui proximum faciet. Lingua enim huic enarrando impar est. Primo cogamus nosmetipsos tacere: et ex nostro silentio nascetur nobis aliquid nos ad ipsum silentium dirigens. Det tibi Deus animadvertere aliquid in te ex silentio nascens! Quod si hac agendi ratione incipias, nescio ego quantum lumen tibi inde nasciturum sit. » Et rursum: « Silentium est sæculi futuri mysterium: sermones vero sunt mundi hujus organa. » Et sancto Arsenio ita divina vox posterius sic expressit: « Arseni, fuge, sile, pacem tene, et salvus eris. »

Quod oportet te esse tranquillum.

Pariter et septimum, nempe quod oportet te vitam tranquillam agere, optime demonstrant et magnus Basilius et sanctus rursum Isaac; ille quidem dicens: « Tranquillitas, purgationis animæ principium; » hic vero: « Terminus tranquillitatis, silentium ex omni parte; » ille quidem, hujus silentium principium, hic vero terminum his vocibus ut compendiose significantes. Et in Vetere Testamento ita dictum est: « Peccasti? tranquillitatem age; » et, « Vacate et scite, quia Ego sum Deus. » Dicit autem et Climax: « Opus tranquillitatis præcipuum est nihil curare sive rationi consentaneorum sive rationi adversantium. Qui enim januam prioribus aperit, mox in posteriora incidet: Oratio intrepida et deinde operatio cordis tutissima. Non potest fieri ut qui litteras non didicerit, in tabulis exerceatur: impossibilius adhuc est ut ii qui primum non possederint, duo alia assequantur. » Et rursum sanctus Isaac: « Tranquillitatis desiderium est continua mortis exspectatio. Qui absque hoc exercitio in tranquillitate ingreditur, non potest ferre quæ sustinere ac sufferre omni modo debemus.

[89] *Matth.* VI, 33, seqq.

Quod oportet in omnibus gratias agere.

Similiter et de octavo, scilicet quod in omnibus oportet te gratias agere, optimum habes ducem divinum apostolum Paulum sic præcipientem : « In omnibus gratias agite [60]. » Et pium Isaac : « Accipientis gratiæ donantem excitant ut majora prioribus dona largiatur. Qui non agit gratias de minoribus ac de majoribus, mendax est et injustus : et dirigit ad hominem Dei beneficia cor ad gratias perpetuo agendas dispositum : quod tentationem in animam inducit, murmuris est cogitatio quæ semper in corde agitatur. Os quod continuo gratias agit, benedictionem accipit a Domino, et gratia Dei illibatur cordi in gratitudine perseveranti.

Quod oportet propriam infirmitatem agnoscere.

Quantum colligat lucrum is qui propriam infirmitatem pergit agnoscere (quod quidem numero nonum est), sexto divini Davidis psalmo mentem adhibens disces, ubi dicit : « Miserere mei, Domine, quoniam infirmus sum [61]. » Et alibi : « Ego sum vermis et non homo : opprobrium hominum et abjectio plebis [62]. » Et sanctus Isaac : « Beatus vir, qui suam noverit infirmitatem : eo quod hac scientia tanquam fundamento utitur, et fit illi omnis bonitatis principium ; cum enim quis didicerit et in veritate senserit propriam infirmitatem, tunc animam suam a superbia protegit quæ scientiam debilitat, et munimentum sibi thesaurizat. » Et, « Homo qui suæ infirmitatis mensuram agnoscit, perfectam humilitatem assequitur.

Quod oportet viriliter tentationi resistere.

Restat caput illud quod decimum numerum efficit, nempe tibi viriliter sustinendas ac patienter longanimiterque semper sufferendas esse diversas ac multiplices quæ superveniunt tentationes. Audi igitur qualia ad illud in divinis Scripturis dicta pertineant : atque igitur Christi apostolus Paulus dicit : « Non est nobis colluctatio adversus sanguinem et carnem : sed adversus principatus et potestates, adversus mundi rectores tenebrarum harum, contra spiritualia nequitiæ in cœlestibus [63]. » Et : « Si estis extra disciplinam cujus facti sunt omnes participes ; igitur spurii estis neque filii [64]. » Et : Quem diligit Dominus, edocet [65] » et, « Flagellat Dominus omnem filium quem recipit. [66] » Et frater Domini : « Vir intentatus absque gloria. [67] » Et sanctus Elias, vir ille justus : « Omni Christiano licet, vere in Deum credenti, non esse sollicitum, sed undique exspectare et excipere tentationem : ita ut, quando venerit non expellatur neque turbetur. Sed gratias agens, sustinet afflictionis ictus, et cogitat quid cum Propheta psalleus dicat : « Proba me, Domine, et tenta me ; [68] » neque dicit : « Disciplina tua subvertit

A

Ὅτι δεῖ ἐν παντὶ εὐχαριστεῖν.

Η'. Ὁμοίως καὶ περὶ τοῦ ὀγδόου, ἤτοι τοῦ ἐν παντὶ εὐχαριστεῖν σε, ἔστω ἱκανὸς ὑφηγητὴς, ὁ θεῖος ἀπόστολος Παῦλος προστάσσων· « Ἐν παντὶ εὐχαριστεῖτε, » καὶ ὁ ὅσιος Ἰσαάκ· Ἡ εὐχαριστία τοῦ λαμβάνοντος, ἐρεθίζει τὸν διδόντα, τοῦ δοῦναι δωρήματα μείζονα τῶν προτέρων. Ὁ μὴ εὐχαριστῶν ἐπὶ τοῖς μικροτέροις, καὶ ἐπὶ τοῖς μείζοσι, ψεύστης ἐστὶ καὶ ἄδικος, καὶ ὁ ὁδηγῶν τὰ χαρίσματα τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον, καρδίᾳ κινουμένη πρὸς εὐχαριστίαν ἀδιάλειπτον· ὁ ὁδηγῶν τὸν πειρασμὸν πρὸς τὴν ψυχὴν, ἡ ἔννοιά ἐστι τοῦ γογγυσμοῦ, ἡ κινουμένη ἀεὶ ἐν τῇ καρδίᾳ, καὶ στόμα διαπαντὸς εὐχαριστοῦν, εὐλογίαν δέχεται παρὰ τοῦ Θεοῦ, καὶ καρδία διαμένουσα ἐν εὐχαριστίᾳ, ἐμπίπτει ἐν αὐτῇ ἡ χάρις. B

Ὅτι δεῖ γινώσκειν τὴν ἰδίαν ἀσθένειαν.

Θ'. Ἥλικον μέντοι τὸ κέρδος συλλέγεται τῷ περφθακότι γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, ὃ καὶ ἔννατον τῶν ἀριθμῷ πέφυκε, προσχὼν τῷ ἕκτῳ ψαλμῷ τοῦ θείου Δαβὶδ μαθήσῃ, ἐν οἷς φησιν· « Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι. » Καὶ ἀλλαχοῦ· « Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. » Καὶ ὁ ἅγιος Ἰσαάκ· Μακάριος ἄνθρωπος, ὁ γινώσκων τὴν ἑαυτοῦ ἀσθένειαν, διότι αὕτη ἡ γνῶσις γίνεται αὐτῷ θεμέλιος, καὶ ἀρχὴ πάσης ἀγαθωσύνης. Ὅταν γὰρ μάθῃ τις, καὶ ἐν ἀληθείᾳ αἰσθηθῇ τῆς ἑαυτοῦ ἀσθενείας, τηνικαῦτα περισφίγγει τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τῆς χαυνότητος τῆς ἀμαυρούσης τὴν γνῶσιν, καὶ θησαυρίζει ἑαυτῷ παραφυλακήν. Καί· Ὁ ἄνθρωπος ὁ φθάσας γνῶναι τὸ μέτρον τῆς ἀσθενείας αὐτοῦ, οὗτος ἔφθασε τὸ τέλειον τῆς ταπεινώσεως. C

Ὅτι δεῖ γενναίως φέρειν τοὺς πειρασμούς.

Γ'. Ὑπόλοιπον δὲ τοῦ λόγου κεφάλαιον, ὃ καὶ τὸν ἐκτεθέντα ἡμῖν εἰς δέκατον ἀριθμὸν συμπληροῖ, καθέστηκε, τὸ γενναίως φέρειν καὶ ἀνθίστασθαι μετὰ ὑπομονῆς καὶ μακροθυμίας, πρὸς τοὺς μέλλοντας ἐπισυμβαίνειν σοι διαφόρους καὶ πολυειδεῖς πειρασμούς. Ἄκουσον τοίνυν οἷα καὶ περὶ τούτου, τῇ ἱερᾷ Γραφῇ ἀνάγραπτα τελεῖ· καὶ γοῦν λέγει ὁ Χριστοφόρος Παῦλος· « Ἀδελφοί, οὐκ ἔστιν ἡμῖν ἡ πάλη, πρὸς αἷμα, καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· » καὶ, « Εἰ ἐκτός ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες· ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί· » καὶ, « Ὃν ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. » Καὶ ὁ ἀδελφόθεος· « Ἀνὴρ ἀπείραστος ἀδόκιμος· » καὶ ὁ ἅγιος Ἠλίας ὁ ἔκδικος· Ἔξεστι παντὶ Χριστιανῷ, τῷ ὀρθῶς πιστεύοντι εἰς Θεὸν, μὴ ἀμεριμνεῖν, ἀλλὰ πάντοτε προσδοκᾷν καὶ ἐκδέχεσθαι πειρασμόν· ἵνα ὅταν ἔλθῃ, μὴ ξενίζηται, μηδὲ ταράττηται, ἀλλ' εὐχαρίστως ὑπομένειν τὸν κόπον τῆς θλίψεως, καὶ ἐννοεῖν, τί ψάλλων σὺν τῷ προφήτῃ λέγει· « Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με· » D

[60] I Thess. v, 18. [61] Psal. vi, 3. [62] Psal. xxi, 7. [63] Ephes. vi, 12. [64] Hebr. xii, 8. [65] Prov. iii, 12. [66] Hebr. xii, 6. [67] Jac. i, 12. [68] Psal. xxv, 2.

καὶ οὐκ εἶπεν· ὅτι Ἡ παιδεία σου κατέστρεψέ με, ἀλλ', Ἀνώρθωσέ με εἰς τέλος. Μήτε μὴν ζήτει τὰς τῶν πειρασμῶν αἰτίας, ὅθεν ἐπέρχονται, ἀλλὰ μόνον εὔχου τῷ Θεῷ, εὐχαρίστως φέρειν αὐτοὺς, ὡς λέγει ὁ ἅγιος Μάρκος, ὅτι Πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί, ἢ διὰ τίνος ἐλήλυθεν, ἀλλ' ὅπως ἂν αὐτὸν εὐχαρίστως καὶ ἀμνησικάκως ὑπομείνῃς. Καὶ πάλιν· Εἰ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν, τὸν ἐκτὸς πειρασμῶν εὐαρεστήσαντα, εὐχαριστεῖν δεῖ τῷ Θεῷ ἐπὶ πάσῃ συμβάσει· καὶ, Πᾶσα θλῖψις ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε εἰς δεξιὰ ῥέπει, εἴτε εἰς ἀριστερά· διὰ τοῦτο ἡ συμβᾶσα θλῖψις, πειρασμὸς ὀνομάζεται, τῷ μετόχῳ πεῖραν τῶν κεκρυμμένων θελημάτων παρέχουσα. Καὶ ὁ ἅγιος Ἰσαὰκ δὲ, σὺν πολλοῖς ἄλλοις καὶ ταῦτά φησι· Πάντα ἄνθρωπον ὠφελεῖ ὁ πειρασμός· ἐὰν γὰρ τὸν Παῦλον ὠφελεῖ, πᾶν στόμα φραγήσεται. Καὶ ὑπόδικος γενέσθω πᾶς ὁ κόσμος τῷ Θεῷ. Οἱ ἀγωνισταὶ πειράζονται, ἵνα προσθήσωσι τῷ πλούτῳ αὐτῶν, οἱ χαῦνοι, ἵνα ἐκ τῶν βλαπτόντων φυλάξωνται ἑαυτοὺς, καὶ οἱ ὑπνώττοντες, ἵνα εἰς ἐξυπνισμὸν εὐτρεπισθῶσι, καὶ οἱ μακρὰν ὄντες, ἵνα προσεγγίσωσι τῷ Θεῷ, οἱ δὲ οἰκεῖοι, ἵνα ἐν παῤῥησίᾳ εἰσοικισθῶσι. Πᾶς υἱὸς ἀγύμναστος, οὐ δέχεται τὸν πλοῦτον τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, εἰς τὸ βοηθεῖσθαι ὑπ' αὐτοῦ, καὶ διὰ τοῦτο λοιπὸν, πρῶτον πειράζει ὁ Θεὸς, καὶ βασανίζει, εἶτα δεικνύει τὸ χάρισμα. Δόξα τῷ Δεσπότῃ τῷ ἐν φαρμάκοις στρυφνοῖς, τὴν τρυφὴν τῆς ὑγιείας ἡμῖν προσάγοντι. Οὐκ ἔστιν ὅστις ἐν τῷ καιρῷ τῆς γυμνασίας μὴ ἄχθεται, καὶ οὐκ ἔστι τις, ᾧ οὐ πικρὸς ὁ καιρὸς, ἐν ᾧ τὸν ἰὸν ποτίζεται τῶν πειρασμῶν, καταφαίνεται. Χωρὶς γὰρ τούτων, οὐ δυνατὸν κρᾶσιν προσκτήσασθαι ἰσχυράν· καὶ, τὸ ὑπομεῖναι δὲ, οὐχ ἡμῶν ἐστι. Πόθεν γὰρ ἔχει τὸ κεράμιον τὸ ἀπὸ πηλοῦ, ὑπομεῖναι τὴν ῥύσιν τοῦ ὕδατος, εἰ μὴ τὸ πῦρ τὸ θεῖκὸν, αὐτὸ στερεώσειεν; Ἐὰν ὑποταγῶμεν αἰτούμενοι ἐν ταπεινώσει μετ' ἐφέσεως ἀδιαλείπτου, καὶ ἡμεῖς ἐν καρτερίᾳ πάντα λαμβάνομεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Εἴρηται δὲ καὶ ἐν τῇ Σοφίᾳ τοῦ Σειράχ· « Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ τῷ Θεῷ σου, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· καὶ εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον· » καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς.

A me, » sed : « Correxit me in finem [68]. » Neque inquiras tentationem causas, unde veniant, sed tantummodo Deum ora ut grate eas sufferre possis, ut sanctus Marcus dicit : « Superveniente tentatione, ne quæras cur aut quamobrem venerit, sed quomodo eam grate neque acerbe sustinere valeas. » Et rursum. « Si non facile reperitur qui absque tentatione Deo placuerit, Deo oportet de omni tentationis incursu gratias agere. » Et, « Omnis afflictio voluntatis inclinationem ostendit, sive ad dexteram inclinetur sive ad sinistram. Ideo superveniens afflictio tentatio nominatur, tentato præbens secretæ voluntatis suæ experimentum. » Et sanctus Isaac, inter multa alia hoc dicit : « Omni homini utilis est tentatio ; si enim Paulo utilis est, omne B os clauditur. Et subditus fiat omnis mundus Deo. Qui pugnant tentantur, ut divitiis suis addant ; superbi tentantur, ut seipsos a nocentibus servent : et somnolenti tentantur, ut ad expergiscendum instruantur ; et qui longe sunt, ut Deo appropinquent ; et familiares, ut in fiducia conversentur. Quicunque filius non exercetur, is non accipit domus Patris sui divitias, ut ab ipso adjuvetur et ideo primo Deus tentat et affligit, deinde gratiam ostendit. Gloria Domino qui acerbis remediis nobis sanitatis delicias adducit. Nemo est qui exercitii tempore non gravetur, et nemo est cui non amarum videatur tempus quo tentationum sanationem cupit. Sine illis impossibile est validam C sanitatem possidere : et sustinere non nostrum est. Unde enim vas luteum posset aquæ infusionem sustinere, nisi divinus ignis illud solidasset ? Si subditi erimus, orantes in humilitate cum continuis desideriis, nosque in omni patientia omnia acceperimus in Christo Jesu Domino nostro. « Dictum est enim in sapientia Sirac : « Fili, si accedas ad servitutem Domini Dei tui, præpara animam tuam ad tentationem, et dispone cor tuum, et patienter sustine, et ne festines in tempore ingressus [70]. »

Ὅτι δεῖ πρὸς Θεὸν ἐλπίζειν, καὶ παρ' αὐτοῦ τὸ συμφέρον ἐκδέχεσθαι.

« Τὴν τῆς ἐλπίδος ἄγκυραν, πρὸς τὸν σώζειν δυνάμενον Θεὸν, ἀναρτῶν καὶ παρ' αὐτοῦ τὴν τῶν πειρασμῶν ἔκβασιν συμφερόντως ἀπεκδεχόμενος. Πιστὸς γὰρ, φησὶν, ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν. Καὶ ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ, δοκιμήν· ἡ δὲ δοκιμὴ, ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. Καὶ, ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, καὶ, ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Καὶ ὁ ἀδελφόθεος δὲ, οὕτω φησί· Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες, ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως,

Quod oportet in Deum sperare, et ab eo, quod utile est, excipere.

D Spei anchoram ad Deum qui potest te salvare, suspende, et ab eo tentationum exitum tempore opportuno exspecta. « Fidelis enim, inquit, Deus, qui non sinet nos tentari supra quam possumus ; sed faciet cum tentatione proventum [71]. » Et, « Tentatio patientiam operatur ; patientia vero probationem ; probatio vero opem ; spes autem non confundit [72]. » Et, « Qui perseveraverit in finem, salvus erit [73] ; » et, « In patientia vestra possidebitis animas vestras [74]. » Et frater Domini ita loquitur : « Omne gaudium existimate, fratres mei, cum enim in variis tentationibus inciderit is, scientes quod probatio fidei vestræ patientiam operatur ;

[68] Psal. xvii, 36. [70] Eccle. ii, 1. [71] II Thess. iii, 3. [72] Rom. v, 5. [73] Matth. xxiv, 13. [74] Luc. xxi, 19.

ρημα τοῖς φοβουμένοις αὐτόν· » καὶ, « Ἰδοὺ οὕτως εὐ- A
λογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον· »
καὶ, « Ὁ φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα
αἰῶνος. » Γράφει δὲ καὶ ὁ ἅγιος Πέτρος ὁ Δαμασκηνός·
« Σημεῖον τοῦ πρώτου φόβου, τὸ μισεῖν, καὶ ὀργίζεσθαι
τὴν ἁμαρτίαν, ὡς ὁ πληγεὶς ὑπὸ θηρός· τοῦ δὲ τε-
λείου, τὸ ἀγαπᾷν τὴν ἀρετὴν, καὶ φοβεῖσθαι τὴν τρο-
πήν. Καὶ ὅτι οὐδεὶς ἀναλλοίωτος· καὶ ἐπὶ παντὸς πρά-
γματος ἐν τῷ βίῳ τούτῳ, ὀφείλομεν ἀεὶ τὴν πτῶσιν
φοβεῖσθαι. » Ὅθεν καὶ αὐτὸς ταῦτα συνετῶς ἀκροώ-
μενος, σπούδασον μετὰ τῶν προειρημένων πάντων,
καὶ τὸν πρῶτον ἀρτίως φόβον παρὰ σεαυτῷ κατέχειν
ἀδιαλείπτως· οἷα γὰρ θησαυροφυλάκιον πέφυκεν
ἀσφαλέστατον πάσης ἀγαθῆς πράξεως. Οὕτω γὰρ
ἔχων, κατευθυνόμενα ἕξεις τὰ διαβήματά σου, πρὸς B
τὴν ἐργασίαν πασῶν τῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἐντολῶν· ὁδῷ δὲ προβαίνων, προσκτήσῃ καὶ
τὸν τέλειον, καὶ ἁγνὸν φόβον, τῷ πόθῳ τῶν ἀρετῶν,
καὶ τῷ ἐλέει τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν.

sic benedicetur homo, qui timet Dominum [86]. » Et, Timor Domini castus, permanens in sæculum sæculi [87]. » Scribit autem et sanctus Petrus Damascenus : Prioris timoris signum, est odium et ira in peccatum, tanquam si a bestia quis vulneretur ; perfecti vero est virtutis amor et mutationis metus. » Et addit, neminem esse immutabilem, et in omnibus vitæ actibus nobis timendum esse ne decidamus. » Unde et tu hæc prudenter intelligens, conare cum prædictis omnibus aliis priorem illum timorem in te ipso indesinenter custodire. Solus enim est omnis bonæ actionis thesaurus. Si te ipsum hoc modo habeas, omnes gressus tui directi erunt ad observanda omnia Domini nostri Jesu Christi mandata ; hac via procedens ad perfectum quoque et sanctum timorem pervenies virtutum desiderio et optimi Dei nostri misericordia.

Ὅτι χάριν τῶν ἐντολῶν, καὶ τῆς κατ' αὐτὰς πίστεως τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καιροῦ καλοῦντος, ὀφείλομεν μηδ' αὐτῆς τῆς ζωῆς ἡμῶν φείσασθαι.

Quod mandatorum causa et fidei Domini nostri Jesu Christi, urgente occasione, ipsi vitæ nostræ parcere non debemus.

ιη'. Πρὸς δὲ τοῖς εἰρημένοις, δέον καὶ τοῦτο εἰδέ-
ναι σε, ὅτιπερ, χάριν τῶν ζωοπαρόχων ἐντολῶν, καὶ
τῆς κατ' αὐτὰς πίστεως τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ,
ὀφείλομεν, καιροῦ καλοῦντος, καὶ αὐτὴν τὴν ψυχὴν
ἀπολέσαι ἀσμένως· ἤτοι μηδ' αὐτῆς φείσασθαι τῆς
ζωῆς ἡμῶν. Ὡς περὶ τούτου αὐτὸς ὁ Κύριος Ἰησοῦς
Χριστός φησιν, ὅτι « Ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ C
ἕνεκεν ἐμοῦ, καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν· »
ἀναμφιβόλως πιστεύων, καὶ μὴ διακρινόμενος, ὅτι
καὶ ἀνάστασις, καὶ ζωὴ, καὶ πᾶν εἴ τι σωτήριον,
αὐτός ἐστιν ὁ Θεάνθρωπος Ἰησοῦς ὁ Σωτὴρ, ὡς αὐτὸς
εἴρηκεν, ὅτι « Ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή· ὁ
πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται· » καὶ, « Πᾶς
ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν
αἰῶνα· » καὶ, « Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον,
ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς
ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν
αἰώνιον· » καὶ, « Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ πε-
ρισσὸν ἔχωσιν. » Οὕτως οὖν ἔχων, ἀεί τε τῶν ὀπισθεν
ἐπιλανθανόμενος, καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμε-
νος, ὡς εἴρηται, τρέχε, σὺν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
ἡμῶν, ἀμεταστρεπτὶ τὸν σὸν δρόμον οὐτωσί. Καλὸν D
δὲ, ὡς ἡμῖν δοκεῖ, καὶ μάλα πρόσφορον, πρότερον
ἐκθέσθαι τοῦ μακαριωτάτου Νικηφόρου τοῦ πάνυ,
περὶ τῆς ἔνδον καρδίας δι' εἰσπνοῆς ῥινὸς εἰσ-
όδου φυσικήν τινα μέθοδον, συντείνουσάν πως καὶ
πρὸς τὴν τῆς διανοίας ἐπισυναγωγήν· ἵν' οὕτως καθ'
εἱρμὸν, σὺν Θεῷ, ἡ παροῦσα πραγματεία προβῇ εὔ-
θετον. Λέγει τοίνυν ὁ θεῖος ἐκεῖνος ἀνὴρ, σὺν πολ-
λοῖς ἄλλοις, τὸ κῦρος παρ' ἀναγράπτων μαρτυριῶν
τῶν ἁγίων ἔχουσι, καὶ τάδε·

18. Ad hæc quæ dicta sunt, oportet te et hoc animadvertere, quod vivificorum mandatorum causa et Domini nostri Jesu Christi fidei, debemus urgente occasione, et ipsam animam libenter impendere, neque vitæ ipsi nostræ parcere : quemadmodum de hac necessitate Dominus noster Jesus Christus dicit : « Qui perdiderit animam suam propter me et Evangelium, servabit eam [88] ; » credens indubitanter et absque hæsitatione Deum et hominem Salvatorem Jesum esse et resurrectionem et vitam et quidquid salutare est, ut ipse dixit : « Ego sum resurrectio et vita ; qui credit in me, etiamsi mortuus fuerit, vivet [89] ; » et, « Qui vivit et credit in me non morietur in æternum [90]. » Et, « sic Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum, non pereat, sed habeat vitam æternam [91] ; » et, « Ego veni ut vitam habeant, et abundatius habeant [92]. » Sic te habens, semperque ea quæ retro sunt obliviscens, et ad ea quæ sunt ante te extendens teipsum, ut dictum est, curre, cum Christo Jesu Domino nostro, absque conversione, cursum tuum hoc modo. Bonum vero est, ut nobis videtur, et admodum utile, beatissimi Nicephori exponere naturalem quamdam methodum de interioris cordis per narium inspirationem aditu, quodammodo et ad mentis recollectionem pertinentem, ut ita per semitam bene dispositam præsens tractatio procedat. Dicit igitur divinus ille vir cum multis aliis, auctoritatem ex sanctorum relatis testimoniis habentibus, et sequentia.

[86] Psal. cxxvii, 4. [87] Psal. xviii, 10. [88] Matth. x, 39. [89] Joan. xi, 25. [90] ibid. 26. [91] Joan. iii, 15. 16. [92] Joan. x, 10.

Naturalis methodus de interioris cordis aditu per narium inspirationem, et de oratione simul cum ea operante, quæ est : Domine Jesu Christe, Fili Dei, miserere mei ; pertinet autem hæc methodus et ad mentis recollectionem.

19. « Scis frater, hunc spiritum quem aspiramus, hunc aerem esse; aspiramus autem eum propter aliud quam propter cor nostrum. Illic enim aer nostræ vitæ causa est, et hujus qui in nostro corpore est, caloris. Cor igitur attrahit spiritum, ut proprium calorem per respirationem foras expellat, sibique bonam temperiem præstet. Hujus vero œconomiæ causa vel potius minister est pulmo qui fragilis a Deo creatus, tanquam follis absque dolore introducit et educit ambientem aerem. Sic igitur cor, frigidum quidem aerem attrahens, calidum vero expellens, munus propter quod creatum est ad animantis conservationem inviolabiliter servat. Tu igitur in cellula sedens tranquilla et tuam mentem colligens, eam introduc in narium viam, ubi spiritus in cor advenit, eamque impelle et coge descendere in cor una cum inspirato aere. Cum illuc introierit, quæ tibi postea evenient non erunt sine gaudio, sine lætitia, sed quemadmodum vir quidam a sua domo absens, postquam redierit, nescit quid præ gaudio fiat, eo quod ei datum sit cum filiis et uxore conversari, ita et mens postquam cum anima conjuncta fuerit, ineffabilis lætitia ac voluptate repletur. Igitur, frater, mentem assuefac inde non citius exire; omnino enim in principio indolentia laborat ex ea quam patitur, inclusione et angustia ; postquam autem assuefacta est, non jam externas distractiones requirit. Regnum enim cœlorum intra nos est ; quod qui prospicit, et pura oratione quærit, omnia externa detestatur et odit. Et paulo post : « Oportet autem te quoque hoc discere, scilicet, quod tuam mentem in hoc statu versantem non debeas otiosam ac silentem relinquere, sed cura ut illud meditetur : « Domine Jesu Christe, miserere mei » et ut meditetur assidue, et nunquam ab ea meditatione cesset. Hoc enim opus mentem firmiter continens, eam insuperabilem inexpugnabilemque inimici ictibus præstat, et in Dei charitatem desideriumque adducit quotidie. » Et hæc quidem dicit beatus ille Pater, excellentem intendens finem, ut quodammodo operante hac naturali methodo, mens rursum ex consueta distractione redeat, et captivitate, et fluctuatione ad attentionem, ac per attentionem ad se conjungatur, atque ita orationi uniatur, et ut in cor usque descendat, cum ipsa nempe oratione et semper in illo permaneat ; quemadmodum et alius ex viris sapientia divina plenis ante expositum oraculum explicat, tanquam hujus sacri operis experientia edoctus. Atque sequentia porro enuntiat.

Μέθοδος φυσικὴ περὶ τῆς ἔνδον καρδίας δι' εἰσπνοῆς ῥινὸς εἰσοδοεξόδου, καὶ τῆς μετ' αὐτῆς ἐνεργουμένης παρ' ἡμῶν προσευχῆς, ἥτις ἐστί, τό· Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, συντείνει δέ πως ἡ τοιαύτη μέθοδος καὶ πρὸς τὴν τῆς διανοίας ἐπισυναγωγήν.

ιθ'. « Οἶδας, ἀδελφὲ, ὅτι ἡ πνοὴ, ἣν ἀναπνέομεν, ὁ ἀὴρ οὗτός ἐστιν· ἐμπνέομεν δὲ αὐτὸν, οὐ δι' ἕτερόν τι, ἀλλ' ἢ διὰ τὴν καρδίαν· αὕτη γάρ ἐστιν ἡ τῆς ζωῆς παραίτιος, καὶ τῆς θέρμης τῷ σώματι. Ἕλκεται τοίνυν ἡ καρδία τὸ πνεῦμα, ἵνα τὸ μὲν ἑαυτῆς θερμὸν, ἐξωθεν διὰ τῆς ἐκπνοῆς διωθήσῃ, ἑαυτῇ δὲ εὐκρασίαν παρέξῃ· παραίτιος δὲ τῆς τοιαύτης οἰκονομίας, ἡ μᾶλλον ὑπουργὸς, ὁ πνεύμων ἐστὶν, ὃς ἀραιὸς ὑπὸ τοῦ Δημιουργοῦ κτισθεὶς, οἷά τις φυσητὴρ, ἀλύπως εἰσάγει καὶ ἐξάγει τὸ περιέχον. Οὕτως οὖν ἡ καρδία, τὸ μὲν ψυχρὸν ἕλκουσα τοῦ πνεύματος, τὸ δὲ θερμὸν διωθοῦσα, τὴν τάξιν δηλονότι δι' ἣν ᾠκονομήθη πρὸς τὴν τοῦ ζώου σύστασιν, ἀπαραβάτως διατηρεῖ. Σὺ οὖν καθίσας ἐν κελλίῳ ἡσύχῳ, καὶ συναγαγών σου τὸν νοῦν, εἰσάγαγε αὐτὸν, τὸν νοῦ δηλαδὴ, εἰς τὴν τῆς ῥινὸς ὁδὸν, ἵνδα τὸ πνεῦμα εἰς τὴν καρδίαν εἰσέρχεται, καὶ ὥθησαι αὐτὸν, καὶ παρέλασαι συγκατελθεῖν μετὰ τοῦ εἰσπνεομένου πάντος εἰς τὴν καρδίαν. Εἰσελθόντος δὲ αὐτοῦ ἐκεῖ, οὐκ ἔτι ἀνεύφραντα, οὐδὲ ἄχαρι, γενήσεταί σοι τὰ μετὰ ταῦτα, ἀλλ' ὥσπερ ἀνήρ τις τοῦ ἑαυτοῦ οἴκου ἀπόδημος, ἐπὰν ἐπιστρέψῃ, οὐκ ἔχει ὅ τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ὅτι κατηξιώθη τοῖς τέκνοις, καὶ τῇ γυναικὶ ἐντυχεῖν, οὕτω καὶ ὁ νοῦς, ἐπὰν μετὰ τῆς ψυχῆς ἑνωθῇ, ἀῤῥήτου ἡδονῆς καὶ εὐφροσύνης ἐμπίπλαται. Τοίνυν, ἀδελφὲ, συνείθισον τὸν νοῦν, τοῦ μὴ ταχέως ἐκεῖθεν ἐξέρχεσθαι· πάνυ γὰρ ἐν ταῖς ἀρχαῖς καταῤῥᾳθυμεῖ, ἐκ τῆς τῶν ἔνδον συγκλείσεως καὶ στενώσεως· ἐπὰν δὲ συνήθης γένηται, οὐκ ἔτι στέργει ταῖς ἔξωθεν περιφοραῖς. Ἡ γὰρ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστιν· ἣν τῷ ἐκεῖσε παρεπιποῦντι, καὶ διὰ καθαρᾶς προσευχῆς ταύτην ἐπιζητοῦντι, τὰ ἔξω πάντα, στυγητὰ δοκοῦσι καὶ μισητά. » Καὶ μετὰ βραχέα· « Χρὴ δέ σε καὶ τοῦτο μαθεῖν, ὡς ἐκεῖσε τοῦ νοός σου τυγχάνοντος, οὐ σιωπᾷν, καὶ ἀργὸν ἵστασθαι ἔκτοτε ὀφείλεις ἐᾷν αὐτὸν, ἀλλὰ ὃς αὐτῷ τὸ, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, ἔργον ἔχειν, καὶ μελέτην ἄπαυστον, καὶ μηδέποτε ἐκ τούτου παύεσθαι· τοῦτο γὰρ ἀμεταῤῥίστητον συνέχον τὸν νοῦν, ἀχείρωτον δεικνύει αὐτὸν καὶ ἄψαυστον, ταῖς προσβολαῖς τοῦ ἐχθροῦ, καὶ εἰς ἀγάπην καὶ πόθον θεῖον, τοκαθημέραν ἀνάγει. » Καὶ ταῦτα μὲν ὁ μακαρίτης οὗτος Πατὴρ, σκοπὸν ἔχων προηγούμενον, ἵνα πως ἐνεργουμένης τῆς φυσικῆς ταυτησὶ μεθόδου, ἐπανέλθῃ ὁ νοῦς ἐκ τῆς συνήθους περιφορᾶς, καὶ αἰχμαλωσίας, καὶ τοῦ βεμβασμοῦ, πρὸς προσοχὴν, καὶ διὰ τῆς προσοχῆς, ἐπαναζεύξῃ πρὸς ἑαυτὸν, καὶ οὕτω τῇ προσευχῇ ἑνωθῇ, καὶ ἵνα ἔκτοτε κατέρχηται εἰς τὴν καρδίαν, μετ' αὐτῆς δηλονότι τῆς προσευχῆς, καὶ παραμίνῃ ἀεὶ ἐν αὐτῇ, καθὰ καί τις ἕτερος τῶν θεοσόφων ὡσανεὶ ἐπεξηγούμενος τὴν προεκτεθεῖσαν χρῆσιν, ὡς ἐν πείρᾳ τῆς τοιαύτης ἱερᾶς ἐργασίας πεφυκὼς τάδε διαγορεύει.

Περὶ τῆς δι' εἰσπνοῆς ῥινὸς φυσικῆς μεθόδου, καὶ τῆς σὺν αὐτῇ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπικλήσεως. A

κ'. Δέον καὶ τοῦτο τῷ φιλομαθεῖ κατάδηλον ποιῆσαι· ὅτι, ἐάνπερ τὸν νοῦν ἡμῶν ἐν τῇ εἰσόδῳ τοῦ πνεύματος συγκατέρχεσθαι αὐτῷ ἐκπαιδεύσωμεν, τοτηνικαῦτα μάθοιμεν ἂν ἀκριβῶς, ὅτι κατερχόμενος ὁ νοῦς, οὐ πρότερον τούτου ἀπερχόμεται [*ἴσ.* ἀπάρχεται], πρὶν ἂν, πάντα λογισμὸν παραιτήσηται, καὶ ἐνιαῖος, καὶ γυμνὸς γένηται, οὐδεμιᾶς ἑτέρας μνήμης περιδεδραγμένος, ἢ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικλήσεως, πάλιν δὲ ἐκεῖθεν ἀναχωρῶν, καὶ εἰς τὰ ἔξω ἐρχόμενος, ἐπὶ τὴν πολυσχεδῆ μνήμην, καὶ ἄκων μερίζεται.

De naturali per narium inspirationem methodo, et simul cum ea Domini nostri Jesu Christi invocatione.

20. Oportet etiam hoc discendi cupido manifestum facere : si mentem nostram in spiritus ingressu una cum eo descendere eruditamus, accurate nunc sciamus mentem, postquam descenderit, non egredi (forsan : imperare), priusquam omne ratiocinium ejecerit, et simplex ac nuda facta fuerit, nullam aliam memoriam complexa, nisi Domini nostri Jesu Christi invocationem ; inde autem recedentem et ad externa abeuntem ad multiplicem recordationem, tunc invitam dividi.

Ὅτι καὶ ὁ θεῖος Χρυσόστομος, ὡς καὶ ἕτεροι τῶν πάλαι ἁγίων Πατέρων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν προσεύχεσθαι διορίζεται· καὶ ἔνδον καρδίας· καὶ ταύτην φησὶ προσευχήν, τό, Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με. B

κα'. Λέγει δὲ καὶ ὁ μέγας Χρυσόστομος· « Παρακαλῶ ὑμᾶς, ἀδελφοί, τὸν κανόνα τῆς προσευχῆς μηδέποτε καταπατήσητε, ἢ καταφρονήσητε· » καὶ μετὰ μικρόν· « Ὀφείλει ὁ μονάζων, εἴτε ἐσθίει, εἴτε πίνει, εἴτε καθέζεται, εἴτε διακονεῖ, εἴτε ὁδεύει, εἴτε τι ἕτερον ποιεῖ, ἀδιαλείπτως κράζειν τὸ, Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με. » Καὶ μετ' ὀλίγον· « Ἵνα τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ κατερχόμενον εἰς τὸ βάθος τῆς καρδίας, τὸν μὲν δράκοντα τὸν κρατοῦντα τὰς νομὰς, ταπεινώσῃ· τὴν δὲ ψυχὴν σώσῃ καὶ ζωοποιήσῃ· « Ἀδιαλείπτως τοίνυν παράμεινον τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένηται τὰ δύο εἰς ἕν. » Καὶ αὖθις· « Μὴ χωρίζετε τὴν καρδίαν ὑμῶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ προσμένετε, καὶ φυλάσσετε αὐτὴν, μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐντῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοῇ, ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν. » C

Quod sanctus Chrysostomus ut et alii sanctorum Patrum, in Christo Jesu Domino nostro ut oremus præscripsere ; et in intimo corde ; et hanc commendat orationem : Domine Jesu Christe, Fili Dei, miserere mei.

21. Dicit autem et magnus Chrysostomus : « Hortor vos, fratres, ne orationis regulam unquam conculcetis aut contemnatis. » Et paulo post : « Debet monachus, sive manducet, sive bibat, sive sedeat, sive ministret, sive iter faciat, sive quid aliud agat, indesinenter clamare : Domine Jesu Christe, Fili Dei, miserere mei. » Et paulo post : « Ut nomen Domini Jesu in profundum cordis descendens draconem qui pascua invasit, humiliet ; animam vero salvet ac vivificet. » Indesinenter igitur nomini Domini Jesu adhære, ut Dominum ebibat cor tuum, et fiant duo in unum. » Et rursum : « Ne sejungatis cor vestrum a Deo, sed perseverate, et illud custodite ubique cum Domini nostri Jesu Christi recordatione, quoadusque implantetur nomen Domini in intimo corde et nihil aliud cogitet nisi ut magnificetur Christus in vobis. »

Ἔτι περὶ τῆς δι' εἰσπνοῆς ῥινὸς μετὰ προσοχῆς ἔνδον καρδίας μνήμης τοῦ Ἰησοῦ.

κβ'. Γράφει δὲ καὶ ὁ τῆς Κλίμακος· « Ἰησοῦ μνήμη κολληθήτω τῇ πνοῇ σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν. » Καὶ ὁ ἅγιος Ἡσύχιος· « Εἰ ἀληθῶς ἆρα περιβαλεῖν αἰσχύνην τοῖς λογισμοῖς θέλοις, καὶ ἡσυχάζειν εὐμενῶς, καὶ νήφειν τῇ καρδίᾳ μετὰ εὐκολίας, Ἰησοῦ εὐχὴ κολληθήτω τῇ σῇ πνοῇ· καὶ ἐν ὀλίγαις ἡμέραις γινόμενον ὄψει τοῦτο. »

Adhuc de illa per narium inspiratione cum attentiore in intimo corde Jesu memoria.

22. Scribit autem et Climax : « Jesu memoria spiritui tuo adhæreat, et tunc tranquillitatis utilitatem noveris. » Et sanctus Hesychius : « Si vere cupias ratiociniis tuis pudorem circumdare, et libenter tranquillam vitam agere, et cordi tuo cum gaudio invigilare, Jesu-Christi oratio tuo spiritui adhæreat ; et post paucos dies hoc effectum videbis.

Ὅτι δεῖ τὸν νοερῶς νήφειν ἐθέλοντα, καὶ μᾶλλον τὸν ἀρχάριον, καθῆσθαι κατά γε τὸν καιρὸν τῆς προσευχῆς, ἐν ἡσύχῳ καὶ ἀφεγγεῖ οἰκίσκῳ, διὰ τὸ, οὕτως τόν τε νοῦν, καὶ τὴν διάνοιάν πως ἀπὸ μέρους συνάγεσθαι φυσικῶς.

Quod oportet eum qui spiritualiter invigilare cupit, præsertim vero eum qui incipit, sedere orationis tempore in tranquilla et obscura cellula, eo quod hoc modo mens et cogitatio naturaliter ex parte colliguntur.

κγ'. Ὅθεν σὺν τοῖς δηλωθεῖσιν, ὡς ἄνωθεν οὖσι, καὶ ἐκ Πατέρων ἁγίων μεγάλων προτεθεσπισμένοις, κατὰ τὰς ἐξαπλωθείσας ἡμῖν μαρτυρίας, περὶ τοῦ, δι' εἰσπνοῆς ῥινὸς, καὶ ἔνδον καρδίας, ἐν τε τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ ἐν τῷ αὐτοῦ ἁγίῳ καὶ σωτηρίῳ ὀνόματι προσεύχεσθαι, καὶ μελετᾷν, καὶ νήφειν, καὶ παρ' αὐτοῦ ἐκζητεῖν ἡμᾶς τὸ ἔλεος· πρόσεστι δὲ καὶ τοῦτο, τὸ, ἐν ἡσύχῳ,

23. Unde et iis quæ supra dicta sunt, et ex sanctorum illustriumque Patrum oraculis, prout nobis explicata indicant testimonia, de oratione facta per narium inspirationem et in intimo corde in Domino nostro Jesu Christo Filio Dei et in sancto ac salutari ejus nomine, et de exercitio et vigilantia, et misericordiæ ab ipso postulatione ; adjiciendum est illud quoque, nempe quod semper, præsertim vero

Ὠφελεῖν γὰρ οἶδασι τὰ ἀμφότερα· ἔχων μετά γε τῆς εὐχῆς, καὶ τῶν ἄλλων τῶν εἰρημένων σοι, καὶ μνήμην κρίσεώς τε καὶ ἀνταποδόσεως ἀγαθῶν, καὶ φαύλων πράξεων, καὶ ὁλικῶς ἐκ ψυχῆς ἡγούμενος σαυτὸν, ἁπάντων ἀνθρώπων ἁμαρτωλότερον, καὶ δαιμόνων αὐτῶν ἐναγέστερον· κάντεῦθεν, ὅπως μέλλῃς αἰωνίως κολάζεσθαι, ἐν οἵῳ δ' ἂν λογισμῷ τῶν δηλωθέντων γένηταί σοι κατάνυξις, καὶ πένθος, καὶ δάκρυα, ἐν ἐκείνῳ δῆτα καὶ πρόσμενε, ἕως ἂν μόνα ταῦτα παρέλθωσιν· εἰ δ' ἔτι οὐ κατηξίωσαι τῆς τῶν δακρύων δωρεᾶς, ἀγώνισαι, καὶ εὖξαι ταπεινῷ φρονήματι, ἵνα κτήσῃ ταῦτα· διὰ γὰρ τούτων, τῶν μὲν παθῶν καὶ μολυσμῶν, καθαιρόμεθα, τῶν δὲ χρηστῶν καὶ σωτηρίων ἐν μεθέξει γινόμεθα, ὡς φησιν ὁ τῆς Κλίμακος, ὅτι « Ὥσπερ τὸ πῦρ ἀναιρετικὸν καλάμης, οὕτω τὸ δάκρυον τὸ ἁγνὸν, παντὸς ῥύπου φαινομένου καὶ νοουμένου. » Καὶ ἕτερος Πατήρ· « Ὁ βουλόμενος ἀποκτήσασθαι κακίας, κλαυθμῷ ἀποκτᾶται αὐτάς· καὶ ὁ βουλόμενος κτήσασθαι ἀρετάς, κλαυθμῷ κτᾶται αὐτάς· καὶ, ἐὰν μὴ ἔχῃς κατάνυξιν, γίνωσκε, ὅτι κενοδοξίαν ἔχεις· » αὕτη γὰρ οὐκ ἀφίησι τὴν ψυχὴν κατανυγῆναι. Εἰ δὲ οὐκ ἐπέλθοι δάκρυα, κάθησο προσέχων ἐν τούτοις τοῖς λογισμοῖς μετά γε καὶ τῆς εὐχῆς, ὥραν μίαν· εἶθ' οὕτως ἀναστὰς, ψάλλε σὺν προσοχῇ τὸ μικρὸν ἀπόδειπνον, καὶ πάλιν καθίσας, κράτησον τὴν εὐχὴν, ὅση σοι δύναμις, καθαρῶς καὶ ἀῤῥεμβάστως, δηλαδὴ ἐκτὸς μερίμνης, καὶ λογισμοῦ οἵου δή τινος, καὶ τῆς ὁποιασοῦν φαντασίας, σὺν πολλῇ νηφαλιότητι, ὥρας τὸ ἥμισυ, κατὰ τὸν λέγοντα· Χωρὶς πνοῆς καὶ τροφῆς, ἔξω τῶν ἄλλων γενοῦ ἐν εὐχῇ, εἰ θέλεις μετὰ μόνου γενέσθαι τοῦ νοῦ. Εἶτα σφραγίσας σεαυτὸν τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ὁμοίως καὶ τὴν σὴν κλίνην, καὶ ἐπ' αὐτὴν καθίσας, καὶ περὶ τῶν μελλόντων, ἀπολαύσεων, φαμὲν, καὶ κολάσεων, εἰς ἔννοιαν ἐλθὼν, τοῦ τε ῥευστοῦ, καὶ ἀπατηλοῦ τῶν προσκαίρων· ναὶ δὴ καὶ τοῦ αἰφνιδίου καὶ κοινοῦ χρέους, ἤτοι τοῦ θανάτου· καὶ τοῦ μετὰ τὸ τέλος, καὶ πρὸ τοῦ τέλους φρικτοῦ λογοθεσίου· τῶν τε ἐπταισμένων σοι τοκαθόλου ὡς ἐν συντόμῳ διαμνημονεύσας, καὶ περὶ τούτων τὴν ἄφεσιν θερμῶς αἰτησάμενος, λογοπραγήσας τε σαυτὸν ἠκριβωμένως, ὅπως τὴν παρελθοῦσαν ἡμέραν διῆλθες, ἀναπεσὼν, κρατῶν καὶ τὴν εὐχὴν, κατὰ τὸν λέγοντα, Ἰησοῦ μνήμη συγκοιμηθήτω σοι, ὕπνωσον ὥρας πέντε, ἢ ἓξ· μᾶλλον δὲ, κατὰ τὸ τῆς νυκτὸς διάστημα, κοιμήθητι καὶ αὐτὸς τὸ ἀνάλογον.

A humilitatem. » Adjuvare enim solent hæc ambo : habeas cum oratione et aliis quæ dicta sunt memoriam quoque judicii et bonorum malorumque actuum remunerationis, et miserum quoad animam teipsum reputans, omnium hominum sceleratissimum, et ipsis dæmonibus fœdiorem; ac deinde cogita futurum esse ut æterne puniaris; in quocunque autem præcedenti ratiocinio tibi superveniat compunctio, et dolor, et lacrymæ, in eo persevera, donec hæ solæ prætereant. Et si nondum hoc lacrymarum dono dignus habearis, pulsa et ora humili mente ut illud acquiras. Per hos enim dolores ac molestias purgamur, bonorum salutisque participes efficimur, at ait Climacicus : « Quemadmodum ignis calamum devorat, ita lacrymæ mundæ omnes sordes, quæcunque apparent et cogitantur. » Et alius Pater : « Qui malitiam vult expellere, lacrymando eam expellit; et qui vult virtutes acquirere, lacrymando eas acquirit; atque si minus compunctionem habeas, scito te vanam de te opinionem habere. » Ea enim non sinit animam compungi. Si vero non superveniant lacrymæ, tunc iis ratiociniis attendens cum oratione persevera horam unam; deinde assurgens, psalle cum attentione, et rursum sedens, orationem occupa, quantum potes, pure ac constanter, extra sollicitudinem et quamlibet cogitationem et imaginationem, cum multa vigilantia, dimidiam horæ, secundum dicentem : « Sine spiritu ac cibo, extra omnia alia, in oratione te statue, si vis cum sola mente fieri. Deinde te ipsum signans pretiosæ ac vivificantis crucis signo, signans quoque tuum lectulum, et in eo sedens, et in futurorum bonorum pœnarumque cogitationem intrans, ac simul in fragilitatis et fallaciæ temporalium meditationem, cogita quoque imminens et commune debitum, mortem scilicet, illam, quæ post finem mundi et ante finem futura est, inquisitionem; tuorumque delictorum generaliter, ut in compendio, recordatus, ac eorum ardenter condonationem postulans, rationemque de teipso accurate exigens, quomodo præteritam diem percurristi, recumbens et orationem occupans, secundum eum qui dicit : « Memoria Jesu tecum dormiat, dormi quinque horas aut sex, aut potius jactas ipse proportionate pro noctis spatio.

B

C

D

Ὅπως δεῖ τὸν κατὰ τὸν ὄρθρον διέρχεσθαι καιρὸν, ἄχρι καὶ τῆς πρωΐας.

κς'. Ἔξυπνος δὲ γενόμενος, καὶ τὸν Θεὸν δοξολογήσας, καὶ αὖθις εἰς τὴν σὴν ἀντίληψιν τοῦτον ἐπικαλεσάμενος, ἄρξαι τοπρῶτον τοῦ πρώτου ἔργου, ἤγουν τοῦ εὔχεσθαι ἐν καρδίᾳ ἀῤῥεμβάστως, καὶ καθαρῶς, ἕως ὥρας μιᾶς· τοτηνικαῦτα καὶ γὰρ ὡς ἐπὶ τὸ πλεῖστον πέφυκέ πως ὁ νοῦς γαληνιᾶν καὶ ἀθόρυβος. Μέντοιγε καὶ ἐντεταλμεθα, τὰ πρῶτα, καὶ ἐξαίρετα θύειν τῷ Θεῷ· ἤτοι τὴν πρωτόνοιαν ὡς οἷόν τε ἀνατείνειν ἀκλινῶς, διὰ καρδιακῆς καθαρᾶς προσευχῆς, πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Quomodo oportet diluculi tempus transire usque ad matutinum tempus.

26. Postquam autem experrectus fueris, et Deum laudaveris, eumque rursus in tuam opitulationem invocaveris, primum opus tuum incipe, nempe in corde tuo orare constanter ac pure, unam horam; tunc enim plerumque est mens tranquilla et non perturbata. Attamen et jubemur prima ac optima Deo sacrificare; scilicet primam nostram cogitationem pro posse directe extendere per puram cordis orationem ad Dominum nostrum Jesum Christum. Et dicit sanctus Nilus : « Hic oratio-

πάνυ σοφῶς διετυπώθησαν, ὅλῳ μένει ψυχῆς ἀπωθούμενος τὴν ἀργίαν, ὡς πάσης κακίας διδάσκαλον· καὶ μετὰ τῶν παθῶν, καὶ τὰς ἀφορμὰς αὐτῶν, κἂν μικραί τινες εἶναι δοκῶσι, καὶ ἀβλαβεῖς φαίνωνται.

A gistram; ac simul cupiditates et eorum initia, quamvis parva esse videantur et innoxia.

Περὶ παραφυλακῆς ἀπὸ τῆς ἀργίας· καὶ ὅτι ἀναγκαῖον τηρεῖν τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὸν ἡσυχάζοντα.

De custodia ab otiositate; et quod necessarium est etiam eum qui tranquillus est ecclesiasticam traditionem observare.

κη'. Καθὼς λέγει ὁ ἅγιος Ἰσαάκ· « Παραφυλάττεσθε, ὦ ἀγαπητοί, ἀπὸ τῆς ἀργίας· διότι ἐγκέκρυπται ἐν αὐτῇ ἐγνωσμένος θάνατος· καθότι χωρὶς αὐτῆς, ταῖς χερσὶ τῶν αἰχμαλωτίσαι τὸν μοναχὸν σπευδόντων, ἐμπίπτειν οὐκ ἔσται. Οὐ περὶ ψαλμῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κατακρινεῖ ἡμᾶς ὁ Θεὸς, οὐδὲ περὶ τῆς τῆς προσευχῆς ἀργίας· ἀλλ' ὅτι τῇ καταλείψει τούτων, εἴσοδος γίνεται τοῖς δαίμοσιν. Ἡνίκα δ' ἂν εὕρωσι χώραν, καὶ εἰσέλθωσι, καὶ συγκλείσωσι τὰς θύρας τῶν ὀφθαλμῶν ἡμῶν, τότε πληρώσουσιν ἡμᾶς τυραννικῶς καὶ ἀκαθάρτως, ἅτινα ὑπὸ τὴν θείαν ἀπόφασιν συνέχουσι τοὺς ἐργάτας αὐτῶν, μετὰ ἐκδικήσεως σφοδροτάτης· καὶ γινόμεθα ὑποχείριοι, χάριν τῆς ἐγκαταλείψεως τῶν μικρῶν, ἅτινα διὰ τὸν Χριστὸν φροντίδος ἀξιοῦνται, ὡς γέγραπται παρὰ τῶν σοφωτάτων· Ὁ μὴ ὑποτάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποταγήσεται τῷ ἀντιδίκῳ αὐτοῦ. Ὥστε ταῦτα τὰ μικρά σοι φαινόμενα, ὡς τείχη σοι λογισθήσονται κατέναντι τῶν αἰχμαλωτιζόντων ἡμᾶς, ὧντινων ἡ τελείωσις ἔνδοθεν τοῦ κελλίου ὑπὸ τῶν κρατούντων τὴν τάξιν τῆς Ἐκκλησίας σοφῶς τέθειται, πρὸς φυλακὴν τῆς ἡμετέρας ζωῆς, ἐν πνεύματι ἀποκαλύψεως, ὧν ἡ κατάλειψις ὑπὸ τῶν ἀσόφων μικρὰ λογίζεται, τὴν δὲ ὑπ' αὐτῶν ζημίαν μὴ λογιζομένων. Τούτων, ἡ τε ἀρχὴ τῆς ὁδοῦ, καὶ ἡ μεσότης, ἐλευθερία ἀπαίδευτος, ἥτις ἐστὶ μήτηρ τῶν παθῶν. Κρεῖσσον γὰρ ἀγωνίσασθαι μὴ ἐγκαταλεῖψαι τὰ μικρὰ, ἢ τόπον δοῦναι τῇ ἁμαρτίᾳ ἐν τῷ πλατυσμῷ αὐτῶν. Ταύτης γὰρ τῆς ἀκαίρου ἐλευθερίας, δουλεία τὸ τέλος ἀπότομος.» Καὶ αὖθις· « Ὦ τί γλυκεῖ εἰσιν αἱ ἀφορμαὶ τῶν παθῶν! Τὰ μὲν γὰρ πάθη ἐνίοτε δύναταί τις κόψαι, καὶ τῷ μακρυσμῷ αὐτῶν γαληνιᾷ· καὶ εὐφραίνεται ἐν τῷ παύεσθαι αὐτά. Τὰς μέντοι αἰτίας λιπεῖν οὐ δύναται· διὰ τοῦτο μὴ θέλοντες πειραζόμεθα, καὶ ἐν μὲν τοῖς πάθεσι, λυπούμεθα, τὰς δὲ ἀφορμὰς ἐμμένειν ἐν ἡμῖν ἀγαπῶμεν. Τὰς ἁμαρτίας οὐκ ἐφιέμεθα, τὰς δὲ ἐπιφερούσας ἡμῖν αὐτὰς αἰτίας μεθ' ἡδονῆς δεχόμεθα. Τούτου ἕνεκεν παραίτιοι γίνονται τῇ ἐνεργείᾳ αἱ δεύτεραι τῶν πρώτων. Ὁ τὰς ἀφορμὰς τῶν παθῶν ἀγαπῶν, ὑποχείριός ἐστιν ἄκων καὶ μὴ βουλόμενος· καὶ δεδούλωται τοῖς πάθεσιν. Ὁ μισῶν τὰς ἰδίας ἁμαρτίας, παύσεται ἀπ' αὐτῶν· καὶ ὁ ὁμολογῶν αὐτὰς, τεύξεται ἀφέσεως. Ἀδύνατον δέ τινι τὴν ἕξιν τῆς ἁμαρτίας καταλιπεῖν, πρὶν ἔχθραν κτήσηται μετ' αὐτῆς, καὶ ἄφεσεως τυχεῖν πρὸ τῆς τῶν πλημμελημάτων ὁμολογήσεως· ἡ μὲν γὰρ ταπεινώσεώς ἐστιν ἀληθοῦς αἰτία· ἡ δὲ, κατανύξεως, ἀπὸ αἰσχύνης ἀκολουθούσης τῇ καρδίᾳ. » Καὶ πάλιν· « Οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος, εἰ μὴ ἡ ἀμετανόητος. » Ἀλλὰ περὶ μὲν τούτων ἄλις. Σὺ δὲ μετὰ τὴν τῶν εἰρημένων ὡρῶν ψαλμῳδίαν, φάγε· κρατῶν

28. Quemadmodum dicit sanctus Isaac: « Custodite vos, o charissimi, ab otiositate; quoniam in ea reconditur mors certissima; ut et absque illa in manus eorum qui monachum comprehendere festinant, incidere non licet. Non de psalmis in illa die judicabit nos Deus, neque de orationis pigritia; sed quod, eorum omissione, dæmoniis ingressus datur. Postquam autem locum invenerint et ingressi sint, et januas oculorum nostrorum concluserint, tunc nos tyrannice et impure replebunt, quomodo divina sententia suos cooperatores violentissima ultione comprehendunt; servique eorum fiemus, eo quod parva omiserimus, quæ propter Christum cura digna sunt, ut a sapientissimis scriptum est: Qui voluntatem suam Deo non subjecerit, ab ejus adversario subigetur. Ita ut ea quæ tibi parva videntur, tanquam muri tibi reputanda sint contra eos qui nobis insidiantur, quorum perfectio intra cellulam, ab iis qui magistratum Ecclesiæ tenent, sapienter statuta est ad vitæ nostræ custodiam in spiritu revelationis; quorum neglectus ab insipientibus parvi penditur, eo quod damna inde sequentia non considerant. Eorum hominum viæ initium et medium est libertas indocta quæ cupiditatum mater est. Melius enim est conari parva non omittere, quam locum dare peccatis ea negligendo. Hujus enim intempestivæ libertatis finis est servitus. » Et rursum: « O quam dulcia sunt cupiditatum initia! Cupiditates autem quando quis recidere potest, carum amotione tranquillus fit; et lætatur, si quando cessent; causas tamen earum relinquere non potest: ideo vel inviti tentamur, et cupiditatibus affligimur; principia autem earum in nobis residere malumus. Peccata non desideramus, causas vero ad ea ferentes cum gaudio suscipimus. Quapropter secundæ sua efficacia priorum causæ fiunt. Qui cupiditatum principia diligit, iis invitus et non volens subjectus est, et cupiditatum servus efficitur. Qui propria peccata oderit, ab iis cessabit; et qui ea confessus fuerit, condonationem inveniet. Impossibile autem est alicui peccati habitum derelinquere, priusquam odium ejus conceperit, et veniam assequi, priusquam delicta confessus fuerit; altera quidem veræ humilitatis causa est; altera compunctionis, quæ in corde ruborem consequitur. » Et rursum: « Non est peccatum irremissibile, nisi quod non corrigitur. » Sed de his satis dictum est: Tu autem post dictarum horarum psalmodiam, comede; orationem occupans in manducando, ut sic facias in habitudinem venias, gratiæ virtute, incessanter orandi, juxta Domini

νης, ὥσπερ ὑπόπτερος τρέχων, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ὑπομένων, καὶ φορῶν δῦσιν, καὶ ζῶν ἐν αἵματι, καὶ κινδύνοις, καὶ δαίμονας ἐλαύνων, καὶ νεκροὺς ἐγείρων, καὶ παύων ἀῤῥωστήματα, οὐχ ἑνὶ τούτων ἐθάῤῥησεν εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἀλλὰ ταῖς προσευχαῖς ἐτείχιζε τὴν ψυχήν· καὶ μετὰ τὰ σημεῖα, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν, ἐπὶ τὰς προσευχὰς ἔτρεχεν, ὥσπερ τις ἀθλητὴς ἐπὶ παλαίστραν στεφάνου. Καὶ γὰρ καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ τῶν ἄλλων ἁπάντων ἡ προσευχὴ χορηγός. Ἣν γὰρ ἐπὶ δένδρων ἰσχὺν ἔχει τὰ ὕδατα, ταύτην ἐπὶ τοῦ βίου τῶν ἁγίων, αἱ προσευχαί. Ἔτι· Προσευχή, σωτηρίας ἀφορμή, ἀθανασίας πρόξενος, τῆς Ἐκκλησίας τεῖχος ἀῤῥαγές, φυλακτήριον ἄσυλον, φοβερὸν μὲν τοῖς δαίμοσι, σωτήριον δὲ τοῖς εὐσεβέσιν ἡμῖν. Ἔτι· Ὥσπερ τινὸς βασιλίδος εἰσιούσης εἴς τινα πόλιν, πάντα τὸν πλοῦτον συνακολουθεῖν ἀνάγκη, οὕτω δὴ καὶ προσευχῆς εἰσιούσης εἰς ψυχήν, πᾶσα ἀρετὴ συνεισέρχεται. Ἔτι· Ὅπερ ἐστὶ θεμέλιος οἴκῳ, τοῦτο ἐν ψυχῇ προσευχή· καὶ δεῖ ταύτην πρώτην ὥσπερ κρηπίδα καὶ ῥίζαν ἐν τῇ ψυχῇ πήξαντας ἐποικοδομεῖν σπουδαίως, καὶ σωφροσύνην, καὶ πρόνοιαν πτωχῶν, καὶ πάντας τοὺς νόμους τοῦ Χριστοῦ. Ἔτι· Φῶς ἐστι διανοίας καὶ ψυχῆς, ἡ μετὰ σπουδῆς εὐχή· φῶς ἀσβεστον καὶ διηνεκές. Διὰ τοῦτο μυρίους συρφετοὺς λογισμῶν ἐμβάλλει ταῖς ἡμετέραις διανοίαις ὁ πονηρός· καὶ ἅπερ οὐδέ ποτε ἐλογισάμεθα, ταῦτα συνάγων ἐν τῷ καιρῷ τῆς εὐχῆς, καταχεῖ τῆς ἡμετέρας ψυχῆς. Ἔτι· Μέγα ὅπλον εὐχή· μεγάλη ἀσφάλεια. » Καὶ ὁ Θεολόγος· « Μνημονευτέον Θεοῦ, ἢ ἀναπνευστέον. καὶ αὖθις· συνεχέστερον νόει τὸν Θεὸν, ἢ ἀνάπνει. » Καὶ ὁ ἅγιος Ἰσσάκ· « Ἄνευ ἀδιαλείπτου προσευχῆς, προσεγγίσαι τῷ Θεῷ οὐ δύνασαι. Καί· Μετὰ τὸν κόπον τῆς προσευχῆς, ποιῆσαι τῷ νοῒ μέριμναν ἑτέραν, σκορπισμὸν τῆς διανοίας ἀπεργάζεται. Καί· Πᾶσα προσευχή, ἐν ᾗ μὴ μοχθήσῃ τὸ σῶμα, καὶ θλιβῇ ἐν αὐτῇ ἡ καρδία, ἔκτρωμα λογίζεται· χωρὶς γὰρ ψυχῆς ἐστιν ἐκείνη ἡ προσευχή. » Καὶ ὁ τῆς Κλίμακος· « Προσευχή ἐστι, κατὰ μὲν τὴν αὐτῆς ποιότητα, συνουσία, καὶ ἕνωσις ἀνθρώπου καὶ Θεοῦ· κατὰ δὲ ἐνέργειαν, κόσμου σύστασις, Θεοῦ καταλλαγή, δακρύων μήτηρ καὶ πάλιν θυγάτηρ, ἁμαρτημάτων ἵλασμός, πειρασμῶν γέφυρα, θλίψεως μεσότοιχον, πολέμων θραῦσις, ἀγγέλων ἔργον, ἀσωμάτων πάντων τροφή, ἡ μέλλουσα εὐφροσύνη, ἀπέραντος ἐργασία, ἀρετῶν πηγή, χαρισμάτων πρόξενος, προκοπὴ ἀόρατος, τροφὴ ψυχῆς, νοῦ φωτισμός, ἀπογνώσεως πέλυξ, ἐλπίδος ἀπόδειξις, λύπης λύτρωσις, πλοῦτος μοναχῶν, ἡσυχαστῶν θησαυρός, θυμοῦ μείωσις, ἔσοπτρον προκοπῆς, μέτρων ἐμφάνεια, καταστάσεως δήλωσις, τῶν μελλόντων ἀποκάλυψις, κλέους σημασία. Προσευχή ἐστι τῷ ὄντως εὐχομένῳ, δικαστήριον, καὶ κριτήριον, καὶ βῆμα Κυρίου, πρὸ τοῦ μέλλοντος βήματος. Καὶ πάλιν· Οὐδὲν ἕτερόν ἐστι προσευχὴ, εἰ μὴ κόσμου ὁρατοῦ καὶ ἀοράτου ἀλλοτρίωσις. » Καὶ ὁ ἅγιος Νεῖλος « Εἰ προσεύξασθαι θέλεις, ἀπόταξαι τοῖς πᾶσιν, ἵνα τὸ πᾶν κληρονομήσῃς. Ἔτι· Προσευχή ἐστιν

resuscitat, infirmitates sanat, in nullo eorum confidit ad hominum salutem, sed orationibus animam munivit; et post miracula et mortuorum resurrectionem, ad orationes currebat, tanquam athleta ad locum coronæ. Etenim et mortuorum resurrectionis et aliorum omnium effectrix est oratio. Quam enim in arbores virtutem habent aquæ, eamdem orationes in vitam sanctorum. » Et adhuc : « Oratio, salutis principium, immortalitatis donatrix, Ecclesiæ murus inexpugnabilis, inviolabile præsidium, dæmonibus formidandum, nostræ vero pietati salutare. » Et adhuc : « Quemadmodum, quando quædam regina in urbem ingreditur, necesse est ut omnes divitiæ eam consequantur, ita et, quando oratio intrat in animam, oportet ut omnes virtutes cum ea simul intrent. » Et adhuc : « Quod domui est fundamentum, id est in anima oratio; et eam oportet tanquam primam basim et radicem in anima ponentes superædificare ardenter et sapientiam et providentiam mendicorum et leges Christi. » Et adhuc : « Lumen est cogitationis et animæ oratio cum ardore facta; lumen inexstinguibile et indeficiens. Ideo innumeras sordes animabus nostris injicit malignus; et quæ nunquam cogitaveramus, ea colligens orationis tempore, in animam nostram infundit. » Et adhuc : « Fortis armatura, oratio; magna securitas. » Et Theologus : « Oportet nos Dei meminisse et Deum aspirare. » Et rursum : « Magis continue Deum cogita aut respira. » Et sanctus Isaac : « Sine indeficiente oratione, Deo accedere non potes. » Et : « Omnis oratio, in qua corpus tuum non affliges, et cor tuum non compunges, abortus efficitur; extra animam enim est ea oratio. » Et Climacicus : « Oratio est, quoad essentiam, conversatio et unio hominis ac Dei; quoad efficaciam, mundi consistentia, Dei conciliatio, lacrymarum mater ac rursum filia, delictorum expiatio, contra tentationes vallum, contra afflictionem intermedius paries, bellorum sanatio, angelorum opus, incorporalium omnium cibus, futura lætitia, infinita operatio, virtutum fons, donorum origo, invisibilis profectus, animæ cibus, mentis lumen, desperationis securis, spei demonstratio, sordium mundatio, monachorum divitiæ, pacificorum thesaurus, iræ imminutio, speculum profectus, mensurarum apparitio, tranquillitatis indicatio, futurorum revelatio, gloriæ significatio. Oratio est ei qui vere orat, tribunal et judicium antequam futurum tribunal statuatur. » Et rursum : « Nihil aliud est oratio, quam mundi visibilis ac invisibilis abalienatio. » Et sanctus Nilus : « Si orare desideras, omnibus renuntia, ut omnia hæreditate recipias. » Et adhuc : « Oratio est ascensio ad Deum. » Et adhuc : « Oratio est conversatio mentis cum Deo. » Et adhuc : « Quemadmodum panis est corpori cibus, et animæ virtus, ita et menti spiritualis oratio cibus est. » Et hæc quidem ita sunt. Nunc autem opportunum

τῶν πνευμάτων ἐκ τῶν ἁγίων δυνάμεων, καὶ τῶν ἀληθινῶν ὁράσεων ἐκ τῶν ματαίων φαντασιῶν· ἐντεῦθεν ὁ φόβος τῶν ὁδῶν καὶ τῶν τρίβων τῶν ἐν τῷ πελάγει τῆς διανοίας, ὁ κόπτων τὴν ῥᾳθυμίαν καὶ τὴν ἀμέλειαν, καὶ ἡ φλὸξ τοῦ ζήλου ἡ καταπατοῦσα πάντα κίνδυνον καὶ διαβαίνουσα πάντα φόβον, καὶ ἡ θέρμη ἡ καταφρονοῦσα πάσης ἐπιθυμίας καὶ ἐκ τῆς διανοίας ἐξαλείφουσα ταύτην, καὶ λήθην ἐμποιοῦσα πάσης μνήμης τῶν παρερχομένων μετὰ τῶν ἄλλων· καὶ ἵνα συντόμως εἴπω, ἡ ἐλευθερία τοῦ ἀνθρώπου τοῦ ἀληθινοῦ, καὶ ἡ χαρὰ τῆς ψυχῆς, καὶ ἡ ἀνάστασις, καὶ ἡ μετὰ τοῦ Χριστοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀνάπαυσις ἐντεῦθεν. Εἴ τις δὲ ἀμελήσει ἐν τοῖς δυσὶ τούτοις, γνώτω ὅτι οὐ μόνον ἐκ πάντων τῶν προειρημένων τούτων ζημιοῖ ἑαυτὸν, ἀλλὰ καὶ τὸν θεμέλιον πασῶν τῶν ἀρετῶν διασείει, ἐν τῇ καταφρονήσει τῶν δύο τούτων ἀρετῶν. Καὶ ὥσπερ εἰσὶν αὗται ἐν τῇ ψυχῇ, ἀρχὴ καὶ κεφαλὴ τῆς θείας ἐργασίας, καὶ θύρα, καὶ ὁδὸς ἡ πρὸς τὸν Χριστὸν, ἐάν τις κρατήσῃ αὐτὰς, καὶ ἐν αὐταῖς ὑπομείνῃ, οὕτω καὶ ἐάν τις ἀναχωρήσῃ ἐξ αὐτῶν, καὶ ἀποπηδήσῃ ἀπ' αὐτῶν, πρὸς ταῦτα τὰ δύο τὰ ἐναντία τούτων καταντᾷ· λέγω δὴ, τὸ μετεωρισθῆναι τῷ σώματι, καὶ γαστριμαργεῖν ἀθέσμως,» καὶ τὰ ἑξῆς. Καὶ ἐν ἄλλοις· « Καὶ οἱ μὲν ἐν ταῖς ἀρχαῖς αὐτῶν ῥᾴθυμοι καὶ καῦνοι ὑπάρχοντες, οὐ μόνον ἐκ τῶν ἀγώνων τούτων καὶ τῶν τοιούτων, ἀλλὰ καὶ ἀπὸ ἧχου φύλλων δένδρου δειλιῶσι καὶ ταράττονται· καὶ ἀπὸ μικρᾶς ἀνάγκης τῆς ἀπὸ τῆς χρείας τοῦ λιμοῦ, καὶ ἀπὸ μικρᾶς ἀσθενείας νικῶνται, καὶ ἀπαρνοῦνται, καὶ εἰς τὰ ὀπίσω στρέφονται. Οἱ δὲ ἀληθινοὶ καὶ δόκιμοι, οὐδὲ ἐκ τοῦ χόρτου τῶν λαχάνων χορτάζονται· οὐδὲ διατιθέμενοι ῥίζαις βοτάνων ξηρῶν, πρὸ τῆς νενομισμένης ὥρας τῆς τροφῆς, κατασέχονταί τινος γεύσασθαι· ἀλλὰ καὶ χαμευνοῦσιν, ἐν ἀτονίᾳ ὄντες καὶ ἀγωνίᾳ τοῦ σώματος· καὶ ἀμβλυωποῦσιν οἱ ὀφθαλμοὶ αὐτῶν, ἐκ τῆς ἄγαν κενώσεως τοῦ σώματος· κἂν δὲ ἐκ τῆς ἀνάγκης ἐγγίσωσιν ἐξελθεῖν ἐκ τοῦ σώματος, οὐδὲ οὕτω χεῖρα διδοῦσιν ἡττηθῆναι καὶ πεσεῖν, ἐκ τῆς ἐρρωμένης αὐτῶν προαιρέσεως. Ποθοῦσι γὰρ καὶ ἐφίενται τοῦ βιάσασθαι ἑαυτοὺς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ· καὶ κοπιῶν ὑπὲρ τῆς ἀρετῆς αἱροῦνται, ἢ τὴν πρόσκαιρον ζωὴν ἔχειν, καὶ πᾶσαν ἀνάπαυσιν τὴν ἐν αὐτῇ. Καὶ ὅταν ἐπέλθωσιν αὐτοῖς οἱ πειρασμοὶ, μᾶλλον εὐφραίνονται ὅτι ἐν αὐτοῖς τελειοῦνται, ἤτοι τέλειοι γίνονται. Ἀλλ' οὐδὲ ἐκ τῶν μοχθηρῶν κόπων τῶν γινομένων ἐν αὐτοῖς διστάζουσιν ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ· ἀλλ' ἕως ἂν ἐκλείψωσιν ἐκ τῆς ζωῆς, προθυμοῦνται δέξασθαι γενναίως τὰς ἐπηρείας, καὶ οὐκ ἀναχωροῦσιν, ὅτι ἐν αὐτοῖς τέλειοι γίνονται.» Τούτοις καὶ τοῖς τοιούτοις τοιγαροῦν καὶ ἡμεῖς στοιχοῦντες, καὶ μὴν καὶ τῷ κελεύοντι, Ὁδῷ βασιλικῇ πορεύου, μὴ ἐκκλίνῃς δεξιὰ ἢ ἀριστερὰ, πειθαρχοῦντες, καὶ τύπον ἐκτιθέμεθά σοι, καὶ κανόνα μεσότητος, ὅστις δῆτα καὶ τοῦτον ἔχει τὸν ὅρον.

A tarum quæ in cogitationis pelago versantur, qui timor ignaviam et negligentiam infringit, et zeli flamma quæ omne periculum transcendit et omnem metum transgreditur; et ardor qui omnem cupiditatem despicit eamque ex cogitatione abstergit, et oblivionem inserit eorum quæ cum aliis prætereunt; et ut uno verbo dicam, sinceri hominis libertas, animæ lætitia et resurrectio, et in regno cœlorum cum Christo requies inde proveniunt. Si quis autem in hisce duobus negligens fuerit, scist fore ut non modo omnibus prædictis seipsum privet, sed et omnium virtutum fundamenta concutiat, in duarum illarum virtutum contemptu. Et quemadmodum eæ sunt in anima principium et caput divinæ operationis ac janua et via ad Christum, si quis B eas occupaverit et in iis remanserit, ita et si quis ex iis se receperit et resilierit, duobus earum contrariis occurret; nempe corpore fulcietur et gulæ ardenter indulgebit.» Et cætera. Et in aliis: « Et alii quidem ab initio ignavi et negligentes, non solum ex his ac talibus pugnis, sed ex arboris foliorum strepitu tremunt ac turbantur; et parva ea quæ ex famis incommodo oritur, necessitate et parva infirmitate superantur et dejiciuntur et retro vertuntur. Sinceri autem et probati, ne olerum quidem fœno satiantur; neque, siccarum herbarum radicibus nutriti, ante statutam cibi horam, aliquam earum audent gustare. Sed humi recumbunt in infirmitate et debilitate corporis; et hebetum visum habent eorum oculi, eo quod eorum corpus C nimis vacuum est. Et si ex necessitate in eo sunt ut e corpore exeant, ne tunc quidem dant manus ut superentur ac succumbant, adeo valida est eorum voluntas. Cupiunt enim ac volunt sibi vim inferre propter Dei amorem; et torqueri pro virtute maluut quam fluxam vitam habere et omnem suam requiem in ea ponere. Et quando superveniunt illis tentationes, magis lætantur quod per eas perficiantur, et perfecti fiant. Sed neque ex duris quas in seipsis experiuntur, molestiis, in Dei dilectione dubitant. Sed donec ex vita egressi sint, cupiunt labores generose suscipere neque cedunt, quia fiunt in iis perfecti.» Iis igitur ac talibus inhærentes et nos, et ei obedientes qui dixit: « Regia via incede, ne D declines a dextris et a sinistris; » et exemplar exponimus tibi, et regulam quæ medium tenet; quæ quidem hos limites habet.

Ὅπως δεῖ κατὰ δευτέραν, καὶ τετάρτην, καὶ ἕκτην, τρέφεσθαι τὸν ἀγωνιζόμενον.

λα. Κατά γε τὰς τρεῖς ἡμέρας τῆς ἑβδομάδος, ἤγουν δευτέραν, τετάρτην, καὶ ἕκτην, ποίει διηνεκῶς ἐννάτας, ἤτοι ἔσθιε ἅπαξ τῆς ἡμέρας, μεταλαμβάνων ἄρτους οὐγγιῶν ἓξ· ἀπὸ τῶν ξηροτρόφων ἐγκρατῶς τοῦ ἀρκοῦντος· καὶ ὕδατος, ἕως τριῶν ἢ

Quomodo oportet eum qui pugnat et secunda et quarta et sexta die vesci.

31. Tribus hebdomadis diebus, scilicet secunda, quarta et sexta, nonas fac perpetuo, id est, semel comede, pane vescens, sex unciis; ex siccis cibis sume quantum sufficiat; et aquæ, si velis, tres aut quatuor celices bibe; canonem sequens sanctæ m

τῇ πέμπτῃ, διά τε τὸν ὅρον τῶν ἱερῶν κανόνων, καὶ διὰ τὸ, δεῖν ἔχειν σε ἐν πάσαις τοῖς τοῦ ὅλου ἐνιαυτοῦ Κυριακαῖς, πλὴν τῆς κατὰ τὴν Τυροφάγον ἀγρυπνίας· εἰ μή που πρόσεστί τις ἀγρυπνία τῶν Δεσποτικῶν μεγάλων ἑορτῶν, ἢ τινες τῶν μεγίστων ἁγίων· ἵνα ποιήσας ἐκείνην, ἐάσῃς τὴν τῆς Κυριακῆς· ὅμως κἂν οὕτως, ἢ οὕτως, δὶς ἔσθιε κατὰ τὰ Σάββατα. Χρήσιμον δὲ, ἀεὶ ἐκβιάζεσθαί σε εἰς τὴν τῆς νυκτερινῆς ἀγρυπνίας ἐργασίαν· ὅθεν καὶ μετὰ τῆς κατὰ συγκυρίαν ἐπελθούσης μέσον τῆς ἑβδομάδος ἀγρυπνίας, λυσιτελέστατόν σοι ποιεῖν καὶ τὴν τῆς Κυριακῆς, καὶ μέγα σοι τὸ κέρδος ἔψεται τάχιστα· μᾶλλον δὲ, οὕτω ῥαγήσεται πρώϊμον τὸ φῶς σου, κατὰ τὸ εἰρημένον· « Καὶ τὰ ἱμάτιά σου [ἐν ἄλλ. ἱάματά σου] ταχὺ ἀνατελεῖ. » Φησὶ δὲ καὶ ὁ ἅγιος Ἰσαάκ· « Ἑκάστῳ ἀγῶνι τῆς ἁμαρτίας καὶ τῆς ἐπιθυμίας, ὁ κόπος τῆς ἀγρυπνίας καὶ τῆς νηστείας ἐστὶν ἡ ἀρχὴ, καὶ μάλιστα τῷ ἀνταγωνιζομένῳ πρὸς τὴν ἐν ἡμῖν ἔνδον ἁμαρτίαν· καὶ τὸ σημεῖον τοῦ μίσους τῆς ἁμαρτίας, καὶ τῆς ἐπιθυμίας αὐτῆς, ἐκ τούτου ὁρᾶται τοῖς ἀνταγωνιζομένοις πρὸς τὸν ἀόρατον πόλεμον τοῦτον. Καὶ πᾶσαι σχεδὸν αἱ τῶν παθῶν προσβολαὶ ἀπομειοῦσθαι ἐν τῇ νηστείᾳ ἄρχονται. Καὶ μετὰ ταύτην, ἡ ἀγρυπνία τῆς νυκτὸς συνεργεῖ πρὸς τὴν ἄσκησιν. Ὁ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ τὴν ὁμιλίαν τῆς συζυγίας ταύτης ἀγαπῶν, οὗτος φίλος τῆς σωφροσύνης γίνεται· καθὼς ἡ ἀνάπαυσις τῆς γαστρὸς, ἀρχὴ πάντων τῶν κακῶν, καὶ ἡ χαυνότης τοῦ ὕπνου, ἡ ἐξάπτουσα τὴν ἐπιθυμίαν τῆς πορνείας· οὕτως ἡ ὁδὸς τοῦ Θεοῦ ἡ ἁγία, καὶ πάσης ἀρετῆς ὁ θεμέλιος, ἡ νηστεία ὑπάρχει, καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἐγρήγορσις ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ. » Καὶ αὖθις· « Ψυχὴ ἡ στιλβωθεῖσα τῇ τοῦ Θεοῦ μνήμῃ, καὶ τῇ ἀκοιμήτῳ ἀγρυπνίᾳ, νυκτὸς καὶ ἡμέρας, ἐκεῖ οἰκοδομεῖ ὁ Κύριος ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, νεφέλην σκεπάζουσαν αὐτὴν ἐν ἡμέρᾳ, καὶ φωτὶ πυρὸς διαυγάσαι [ἴσ. ἢ, φωτισμὸν πυρὸς διαυγάζοντα, ἢ, διαυγάσει] τὴν νύκτα· καὶ ἔσωθεν τοῦ γνόφου αὐτῆς φῶς λάμψει. » Ἔτι· « Ἐκλεξαι σεαυτῷ ἐργασίαν τρυφῆς, ἀγρυπνίαν διηνεκῆ τὴν ἐν νυξίν· ἐν ᾗ ἀπεδύσαντο οἱ Πατέρες πάντες τὸν παλαιὸν ἄνθρωπον, καὶ ἠξιώθησαν τοῦ ἀνακαινισμοῦ τοῦ νοός. Ἐν ταῖς ὥραις ταύταις αἰσθάνεται ἡ ψυχὴ τῆς ζωῆς ἐκείνης τῆς ἀθανάτου· καὶ ἐν τῇ αἰσθήσει αὐτῆς, ἀποδύεται τὸ σκότος τῶν παθῶν, καὶ ὑποδέχεται τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ πάλιν· « Τίμησον τὴν ἐργασίαν τῆς ἀγρυπνίας, ἵνα εὕρῃς παράκλησιν ἐν τῇ ψυχῇ σου. » Ἔτι· « Μὴ νομίσῃς, ὦ ἄνθρωπε, ὅτι ἐν πάσῃ τῇ ἐργασίᾳ τῶν μοναχῶν, ἔστι τις διαγωγὴ, μείζων τῆς ἀγρυπνίας τῆς νυκτερινῆς. » Καί· « Μοναχὸν διεμένοντα ἐν τῇ ἀγρυπνίᾳ, μετὰ διακρίσεως τοῦ νοὸς, τοῦτον μὴ ἴδῃς ὡς σαρκοφόρον· τάξεως γὰρ ἀγγελικῆς ὡς ἀληθῶς τοῦτο τὸ ἔργον. » Ἔτι· « Ψυχὴ ἐν τῇ διαγωγῇ ταύτῃ τῇ ἀγγελικῇ τῆς ἀγρυπνίας κοπιῶσα, ὀφθαλμοὺς χερουβικοὺς ἕξει, τοῦ διαπαντὸς ἀτενίζειν, καὶ κατοπτεύειν τὴν ἐπουράνιον θεωρίαν. » Ταύτας δὲ, ἤτοι τὰς ἀγρυπνίας, διανύεις ἐν προσευχῇ, ψαλμῳδίᾳ καὶ ἀναγνώσει, καθαρῶς καὶ ὁμοίως μέτρου καὶ μετὰ κατα-

quinta, propter definitionem sanctorum canonum, et quia oportet ut te omnibus universi anni Dominicis possideas, servata tamen per tyrophagiam vigilia; nisi adjiciatur quædam magnarum Domini festivitatum aut alicujus ex maximis sanctis: ut eam celebrans, Dominicæ vigiliam relinquas. Attamen quidquid sit, bis per Sabbata vescere. Utile est autem tibi vim inferre ad nocturnæ vigiliæ opus. Unde et si casu in media hebdomade supervenerit vigilia, utilissimum tibi est vigiliam quoque Dominicæ agere, et magnum tibi lucrum quam citissime subsequetur; imo vero, ita frangetur matutinum lumen tuum, ut dictum est: « Et vestimenta tua brevi orientur (in aliis: sanationes tuæ). » Dicit autem et sanctus Isaac: « Cuilibet in peccata et cupiditates certamini principium est vigiliæ et jejunii labor, et præsertim ei qui in peccata interius pugnat. Et signum odii peccatorum et concupiscentiæ ipsius, ex hoc manifestum est iis qui ad hoc invisibile bellum accinguntur. Et omnes fere cupiditatum impetus imminui in jejunio incipiunt. Et post jejunium, noctis vigilia ad exercitium cooperatur. Qui in omni vita sua hujus conjunctæ disciplinæ jugum diligit, hic prudentiæ amicus efficitur: quemadmodum ventris deliciæ omnium malorum principium sunt, et somni abundantia quæ fornicationis concupiscentiæ favet: ita via Dei sancta et omnis virtutis fundamentum jejunium est et vigilia, et fervor in Dei cultu. » Et rursum: « In anima quæ Dei memoria splendet, et insomni vigilia, die ac nocte: ibi Dominus ædificat, ad ejus securitatem, nubem eam die obumbrantem, et ignis lumen noctem illuminans: et in ejus tenebris lux splendebit. » Et adhuc: « Elige tibi deliciarum operationem vigiliam in noctibus continuam: in qua exuerunt omnes Patres veterem hominem, et digni effecti sunt mentis renovatione. Per illas horas recordabitur anima vitæ illius immortalis; et in hujus recordatione exuet cupiditatum tenebras, et suscipiet Spiritum sanctum. » Et rursum: « Honora vigiliæ operationem, ut in anima tua consolationem invenias. » Et adhuc: « Ne credas, o homo, in omni monachorum operatione actum aliquem meliorem esse quam nocturna vigilia est. » Et adhuc: « Monachum qui in vigilia cum mentis discretione perseverat, ne intuearis eum tanquam carne indutum: angelici enim ordinis hoc est opus. » Et adhuc: « Anima, in hac agendi ratione angelica, in vigilia scilicet afflicta, oculos cherubinos habebit, ut perpetuo contempletur et perspiciat spectacula cœlestia. » Has autem vigilias in oratione transigis, in psalmodia et lectione, pure et constanter et cum compunctione, solus, aut cum pio et moribus consimili conventu. Fac autem post omnem tuam vigiliam parvam refectionem, propter laborem vigilia adductum, comedendo et bibendo, cœnæ tempore: nempe comede tres uncias panis: adde nonnihil sicci cibi, quod tibi sufficiet: bibe vinum cum aqua, tres calices. Vide autem ne in diem nonæ vigiliam

τῇ πέμπτῃ, διά τε τὸν ὅρον τῶν ἱερῶν κανόνων, καὶ διὰ τὸ, δεῖν ἔχειν σε ἐν πάσαις τοῖς τοῦ ὅλου ἐνιαυτοῦ Κυριακαῖς, πλὴν τῆς κατὰ τὴν Τυροφάγον ἀγρυπνίας· εἰ μή που πρόσεστί τις ἀγρυπνία τῶν Δεσποτικῶν μεγάλων ἑορτῶν, ἢ τινος τῶν μεγίστων ἁγίων· ἵνα ποιήσας ἐκείνην, ἐάσῃς τὴν τῆς Κυριακῆς· ὅμως κἂν οὕτως, ἢ οὕτως, δὶς ἔσθιε κατὰ τὰ Σάββατα. Χρήσιμον δὲ, σὲ ἐκβιάζεσθαί σε εἰς τὴν τῆς νυκτερινῆς ἀγρυπνίας ἐργασίαν· ὅθεν καὶ μετὰ τῆς κατὰ συγκυρίαν ἐπελθούσης μέσον τῆς ἑβδομάδος ἀγρυπνίας, λυσιτελέστατόν σοι ποιεῖν καὶ τὴν τῆς Κυριακῆς, καὶ μέγα σοι τὸ κέρδος ἔψεται τάχιστα· μᾶλλον δὲ, οὕτω ῥαγήσεται πρώϊμον τὸ φῶς σου, κατὰ τὸ εἰρημένον· « Καὶ τὰ ἱμάτιά σου [ἐν ἄλλ. ἱάματά σου] ταχὺ ἀνατελεῖ. » Φησὶ δὲ καὶ ὁ ἅγιος Ἰσαάκ· « Ἑκάστῳ ἀγῶνι τῆς ἁμαρτίας καὶ τῆς ἐπιθυμίας, ὁ κόπος τῆς ἀγρυπνίας καὶ τῆς νηστείας ἐστὶν ἡ ἀρχὴ, καὶ μάλιστα τῷ ἀνταγωνιζομένῳ πρὸς τὴν ἐν ἡμῖν ἔνδον ἁμαρτίαν· καὶ τὸ σημεῖον τοῦ μίσους τῆς ἁμαρτίας, καὶ τῆς ἐπιθυμίας αὐτῆς, ἐκ τούτου ὁρᾶται τοῖς ἀνταγωνιζομένοις πρὸς τὸν ἀόρατον πόλεμον τοῦτον. Καὶ πᾶσαι σχεδὸν αἱ τῶν παθῶν προσβολαὶ ἀπομειοῦσθαι ἐν τῇ νηστείᾳ ἄρχονται. Καὶ μετὰ ταύτην, ἡ ἀγρυπνία τῆς νυκτὸς συνεργεῖ πρὸς τὴν ἄσκησιν. Ὁ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ τὴν ὁμιλίαν τῆς συζυγίας ταύτης ἀγαπῶν, οὗτος φίλος τῆς σωφροσύνης γίνεται· καθὼς ἡ ἀνάπαυσις τῆς γαστρὸς, ἀρχὴ πάντων τῶν κακῶν, καὶ ἡ χαυνότης τοῦ ὕπνου, ἡ ἐξάπτουσα τὴν ἐπιθυμίαν τῆς πορνείας· οὕτως ἡ ὁδὸς τοῦ Θεοῦ ἡ ἁγία, καὶ πάσης ἀρετῆς ὁ θεμέλιος, ἡ νηστεία ὑπάρχει, καὶ ἡ ἀγρυπνία, καὶ ἡ ἐγρήγορσις ἐν τῇ λειτουργίᾳ τοῦ Θεοῦ. » Καὶ αὖθις· « Ψυχὴ ἡ στιλβωθεῖσα τῇ τοῦ Θεοῦ μνήμῃ, καὶ τῇ ἀκοιμήτῳ ἀγρυπνίᾳ, νυκτὸς καὶ ἡμέρας, ἐκεῖ οἰκοδομεῖ ὁ Κύριος ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, νεφέλην σκεπάζουσαν αὐτὴν ἐν ἡμέρᾳ, καὶ φωτὶ πυρὸς διαυγάσαι [ἴσ. ἢ, φωτισμὸν πυρὸς διαυγάζοντα, ἢ, διαυγάσει] τὴν νύκτα· καὶ ἔσωθεν τοῦ γνόφου αὐτῆς φῶς λάμψει. » Ἔτι· « Ἔκλεξαι σεαυτῷ ἐργασίαν τρυφῆς, ἀγρυπνίαν διηνεκῆ τὴν ἐν νυξίν· ἐν ᾗ ἀπεδύσαντο οἱ Πατέρες πάντες τὸν παλαιὸν ἄνθρωπον, καὶ ἠξιώθησαν τοῦ ἀνακαινισμοῦ τοῦ νοός. Ἐν ταῖς ὥραις ταύταις αἰσθάνεται ἡ ψυχὴ τῆς ζωῆς ἐκείνης τῆς ἀθανάτου· καὶ ἐν τῇ αἰσθήσει αὐτῆς, ἀποδύεται τὸ σκότος τῶν παθῶν, καὶ ὑποδέχεται τὸ Πνεῦμα τὸ ἅγιον. » Καὶ πάλιν· « Τίμησον τὴν ἐργασίαν τῆς ἀγρυπνίας, ἵνα εὕρῃς παράκλησιν ἐν τῇ ψυχῇ σου. » Ἔτι· « Μὴ νομίσῃς, ὦ ἄνθρωπε, ὅτι ἐν πάσῃ τῇ ἐργασίᾳ τῶν μοναχῶν, ἔστι τις διαγωγὴ, μείζων τῆς ἀγρυπνίας τῆς νυκτερινῆς. » Καὶ· « Μοναχὸν διαμένοντα ἐν τῇ ἀγρυπνίᾳ, μετὰ διακρίσεως τοῦ νοὸς, τοῦτον μὴ ἴδῃς ὡς σαρκοφόρον· τάξεως γὰρ ἀγγελικῆς ὡς ἀληθῶς τοῦτο τὸ ἔργον. » Ἔτι· « Ψυχὴ ἐν τῇ διαγωγῇ ταύτῃ τῇ ἀγγελικῇ τῆς ἀγρυπνίας κοπιῶσα, ὀφθαλμοὺς χερουβικοὺς ἕξει, τοῦ διαπαντὸς ἀτενίζειν, καὶ κατοπτεύειν τὴν ἐπουράνιον θεωρίαν. » Ταύτας δὲ, ἤτοι τὰς ἀγρυπνίας, διανύεις ἐν προσευχῇ, ψαλμῳδίᾳ καὶ ἀναγνώσει, καθαρῶς καὶ ἀδιαστάτως, καὶ μετὰ κατα-

quinta, propter definitionem sanctorum canonum, et quia oportet ut te omnibus universi anni Dominicis possideas, servata tamen per tyrophagiam vigilia; nisi adjiciatur quædam magnarum Domini festivitatum aut alicujus ex maximis sanctis: ut eam celebrans, Dominicæ vigiliam relinquas. Attamen quidquid sit, bis per Sabbata vescere. Utile est autem tibi vim inferre ad nocturnæ vigiliæ opus. Unde et si casu in media hebdomade supervenerit vigilia, utilissimum tibi est vigiliam quoque Dominicæ agere, et magnum tibi lucrum quam citissime subsequetur; imo vero, ita frangetur matutinum lumen tuum, ut dictum est: « Et vestimenta tua brevi orientur (in aliis: sanationes tuæ). » Dicit autem et sanctus Isaac: « Cuilibet in peccata et cupiditates certamini principium est vigiliæ et jejunii labor, et præsertim ei qui in peccata interius pugnat. Et signum odii peccatorum et concupiscentiæ ipsius, ex hoc manifestum est iis qui ad hoc invisibile bellum accinguntur. Et omnes fere cupiditatum impetus imminui in jejunio incipiunt. Et post jejunium, noctis vigilia ad exercitium cooperatur. Qui in omni vita sua hujus conjunctæ disciplinæ jugum diligit, hic prudentiæ amicus efficitur: quemadmodum ventris deliciæ omnium malorum principium sunt, et somni abundantia quæ fornicationis concupiscentiæ favet: ita via Dei sancta et omnis virtutis fundamentum jejunium est et vigilia, et fervor in Dei cultu. » Et rursum: « In anima quæ Dei memoria splendet, et insomni vigilia, die ac nocte: ibi Dominus ædificat, ad ejus securitatem, nubem eam die obumbrantem, et ignis lumen noctem illuminans: et in ejus tenebris lux splendebit. » Et adhuc: « Elige tibi deliciarum operationem vigiliam in noctibus continuam: in qua exuerunt omnes Patres veterem hominem, et digni effecti sunt mentis renovatione. Per illas horas recordabitur anima vitæ illius immortalis; et in hujus recordatione exuet cupiditatum tenebras, et suscipiet Spiritum sanctum. » Et rursum: « Honora vigiliæ operationem, ut in anima tua consolationem invenias. » Et adhuc: « Ne credas, o homo, in omni monachorum operatione actum aliquem meliorem esse quam nocturna vigilia est. » Et adhuc: « Monachum qui in vigilia cum mentis discretione perseverat, ne intuearis eum tanquam carne indutum: angelici enim ordinis hoc est opus. » Et adhuc: « Anima, in hac agendi ratione angelica, in vigilia scilicet affecta, oculos cherubinos habebit, ut perpetuo contempletur et perspiciat spectacula cœlestia. » Has autem vigilias in oratione transigis, in psalmodia et lectione, pure et constanter et cum compunctione, solus, aut cum pio et moribus consimili conventu. Fac autem post omnem tuam vigiliam parvam refectionem, propter laborem vigilia adductum, comedendo et bibendo, cœnæ tempore: nempe comede tres uncias panis, adde nonnihil sicci cibi, quod tibi sufficiet: bibe vinum cum aquæ pressalices. Vide autem ne in diem nonæ vigilias

χρὴ μετιέναι σε μετὰ ἀκριβοῦς διακρίσεως, πρὸς A τὴν τοῦ διπλοῦ ζώου συμφωνίαν, καὶ εἰρηναίαν κατάστασιν. « Μετὰ γὰρ σοφίας, φησὶν, οἰκοδομεῖται οἶκος· καὶ μετὰ συνέσεως ἀνορθοῦται· καὶ αἰσθήσεως ἐμπίπλαται τὰ ταμεῖα, παντὸς πλούτου τιμίου καὶ καλοῦ. » Γράφει δὲ καὶ ὁ θεῖος Θαλάσσιος· « Ἡ μετὰ λόγου εὐδιάκριτος ἔνδεια καὶ στενότης, βασιλική ἐστιν ὁδός· ὥστε ὁ ἀδιάκριτος ὑπωπιασμὸς, ἡ ἄλογος συγκατάβασις, ἀσύμφορά εἰσιν, ὡς ἑκατέρωθεν παρὰ λόγον γινόμενα. » Καὶ ὁ ὅσιος Ἰσαάκ· « Ἕπεται τῇ ἀνέσει τῶν μελῶν, ἡ τῶν λογισμῶν ἔκστασις καὶ ῥύσις· καὶ τῇ ἀμέτρῳ ἐργασίᾳ, ἀκηδία· καὶ τῇ ἀκηδίᾳ, ἔκστασις· διαφέρει δὲ ἔκστασις ἐκστάσεως· τῇ μὲν γὰρ πρώτῃ ἐκστάσει ἕπεται ὁ πόλεμος τῆς πορνείας· τῇ δὲ δευτέρᾳ, ἡ τοῦ ἰδίου ἡσυχαστηρίου κατάλειψις, καὶ ἀπὸ τόπου εἰς τόπον μετακίνησις· τῇ B δὲ ἐμμέτρῳ καὶ ἐπιπόνως διαμενούσῃ ἐργασίᾳ, τιμὴ οὐκ ἔστι· τούτων δὲ ἡ μείωσις μὲν, πληθύνει τὴν ἡδονήν· ἡ δὲ ἀμετρία, τὴν ἔκστασιν. » Καὶ ὁ μέγας Μάξιμος· « Μὴ ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχε· ἀλλ' ὅρισον αὐτῇ τὴν κατὰ δύναμιν ἄσκησιν· καὶ ὅλον τὸν νοῦν, περὶ τὰ ἔνδον τρέψον. Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα, καὶ τὰ ἐξῆς· εἰ δέ πως ἡ τῆς σαρκὸς πλάστιγξ ἀνθέλκει, καὶ τυραννεῖ, καὶ βαρύνει τὴν τῆς ψυχῆς πλάστιγγα, πρὸς ῥοπὰς καὶ κινήσεις ἀτάκτους, καὶ ψυχοφθόρους καθέλκουσα, καθὸ γέγραπται, Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. » Ἀλλ' αὐτὸς ταύτην κημῷ ἐγκρατείας χαλινώσας, νέκρωσον, ἕως ἂν καὶ ἄκουσα, εὐήνιος γένηται· καὶ ὑποταγῇ τῷ C κρείττονι, μεμνημένος τοῦ μεγάλου φάσκοντος Παύλου· « Ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ. » Καὶ τοῦ ἁγίου Ἰσαάκ· « Δίδου σεαυτὸν ἀποθανεῖν ἐν τοῖς ἀγωνίσμασι, καὶ μὴ ζῆν ἐν ἀμελείᾳ· οὐ μόνον γὰρ οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον, μάρτυρές εἰσιν, ἀλλὰ καὶ οἱ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες. Καὶ κρεῖσσον ἡμῖν θάνατος ἐν τῷ ἀγῶνι, ἢ ζῆσαι ἐν παραπτώμασι. » Καὶ πρό γε πάντων, μετὰ βουλῆς καὶ ἐρωτήσεως ἑσο, πάντα ποιῶν τοῦ σοῦ κατὰ Κύριον πνευματικοῦ Πατρός. Οὕτω γὰρ, Χριστοῦ χάριτι, καὶ τὰ ἐπαχθῆ καὶ ἀνάντη, κοῦφα, καὶ ὡς κατὰ πρανοῦς πεδίου δόξει σοι φέρεσθαι. Ἀλλ' ἐπανιτέον ὅθεν ἐξήλθομεν.

accurata dijudicatione ingredi, ad duplicis animantis concordiam et pacificum statum. « Cum sapientia enim, inquit, ædificatur domus: et cum intelligentia instauratur; et sensu adimpletur ærarium omnibus divitiis pretiosis et pulchris. » Scribit autem et sanctus Thalassius: « Cum ratione discreta indigentia et angustia, via regia est; ita ut non discreta sugillatio et irrationabilis prudentia inutiles sint, tanquam utrinque contra rationem factæ. » Et pius Isaac: « Sequitur membrorum remissionem rationis deordinatio et turbatio, et immoderatam operationem acedia, et acediam exstasis. Differt autem exstasis ab exstasi. Primam enim exstasim sequitur fornicationis bellum, secundam vero proprii domicilii derelictio et a loco in locum migratio; moderatæ autem et patienter durauti operationi non est honor, eorum autem mediocritas lætitiam adauget; immoderantia vero exstasim. Et magnus Maximus: « Ne omne tempus in carnem impendas, sed ei adhibe pro viribus exercitium et totam mentem in interiora convertas. Corporale enim exercitium non valde est utile: pietas ad omnia, et cætera. Si autem quodammodo carnis cura attrahit et tyrannice curam animæ regit, eamque aggravat ad inordinatos motus et animæ noxios incitans, ut scriptum est: Caro concupiscit adversus spiritum, et spiritus adversus carnem; sed ipse eam temperantia frenans, occide quoadusque vel invita docilis facta fuerit, et meliori obediat, recordatus eorum quæ magnus Paulus dictitat: «Quo magis exterior homo noster corrumpitur, eo magis interior renovatur de die in diem [96]. » Et sanctus Isaac: «Fac te ipsum in certaminibus mori, neque in incuria vivere; non enim tantum ii qui propter Christi fidem mortem accepere, martyres sunt, sed et qui propter mandatorum ejus observationem moriuntur. Et potius nobis est decertando mori quam cadendo vivere. » Et ante omnia cum consilio et interrogatione esto, omnia faciens quæ tibi præscripserit Pater tuus spiritualis. Ita enim, Christi gratia, et odiosa et ingrata, levia fient, et tanquam plano itinere tibi videbitur ferri. Sed redeundum unde eximus.

D

Ὅπως δεῖ τὸν ἀγωνιζόμενον διέρχεσθαι τὸ μετὰ τὸ γεῦμα ἕως δύσεως ἡλίου διάστημα· καὶ ὅτι δεῖ πιστεύειν, κατὰ τὸν κόπον, καὶ τὸ μέτρον τῆς ἐργασίας ἡμῶν, τὴν τῶν θείων χαρισμάτων διαμονὴν ἐπιδίδοσθαι ἡμῖν.

Quomodo oportet certantem tempus transire quod est inter prandium et solis occasum; et quod oportet credere in labore et mensura nostræ operationis divinorum donorum perseverantiam nobis concessam esse.

λζ'. Μετὰ δέ γε τὸ ἀριστῆσαι ὡς δεῖ τὸν ἀγωνιζόμενον, κατὰ τὸν θεσπέσιον Παῦλον, κελεύοντα, ὅτι ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἀνάγνωθι καθήμενος, ἐν τοῖς νηπτικοῖς τοπλέον συγγράμμασι τῶν Πατέρων, ἱκανῶς. Καὶ ἔκτοτε κοιμήθητι ὥραν μίαν, εἴπερ εἰσὶν αἱ ἡμέραι μεγάλαι. Εἶθ' οὕτως ἀναστὰς, μικρὸν ἐργοχείρησον, κρατῶν καὶ τὴν εὐχήν. Μετὰ

37. Post prandium autem quomodo oportet certantem vivere, secundum divinum Paulum docentem, eum qui certat, omnia vincere, lege sedens, plerumque in asceticis Patrum libris sufficienter. Ac deinde unam horam dormi, si longi sint dies. Deinde rursum surgens, paulum manibus operare, orationem quoque occupans. Postea vero adora,

[96] II Cor. IV, 16.

ὅτι οὖν δῆλα τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. « Λέγει δὲ καὶ ὁ τὰ θεῖα σοφὸς Μάξιμος· « Λῆτιον εἶναι λέγεται τῆς τῶν θείων διανομῆς ἀγαθῶν, τὸ μέτρον τῆς ἑκάστου πίστεως· καθὼς γὰρ πιστεύομεν, καὶ τὴν ἐπὶ τὸ πράττειν τῆς προθυμίας ἐπίδοσιν ἔχομεν. Ὁ γοῦν πράττων, κατὰ τὴν ἀναλογίαν τῆς πράξεως, ἐπιδείκνυται τὸ μέτρον τῆς πίστεως, δεχόμενος ὡς ἐπίστευσε, τὸ μέτρον τῆς χάριτος. Ὁ δὲ μὴ πράττων, κατὰ τὴν ἀναλογίαν τῆς ἀπραξίας, ἐπιδείκνυται τὸ μέτρον τῆς ἀπιστίας, δεχόμενος ὡς ἠπίστησε, τὴν τῆς χάριτος στέρησιν. Οὐκοῦν κακῶς ποιεῖ βασκαίνων τοῖς κατορθοῦσιν ὁ φθονερὸς, ἐπ' αὐτῷ σαφῶς, ἀλλ' οὐκ ἐπ' ἄλλῳ κειμένης, τῆς τοῦ πιστεύειν καὶ πράττειν, καὶ πρὸς τὸ μέτρον τῆς πίστεως ἐρχομένην εἰσδέξασθαι τὴν χάριν, ἐπιλογῆς· καὶ ἐκ ψυχῆς αἰτούμενοι, διαμεῖναι τὸν ὑπόλοιπον χρόνον ἡμῶν. » Καὶ αὐτὰ δὴ τὰ τέλη τῆς ζωῆς, Χριστιανὰ, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά· καὶ πρὸς τούτοις ἀποδοῦναι ἡμᾶς καλὴν τὴν ἀπολογίαν, ἐπὶ τοῦ φοβεροῦ ἑστῶτας βήματος τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

A enim credidimus, et nostri ad agendum ardoris retributionem habebimus. Qui igitur agit, pro actus ejus ratione ostenditur et mensura fidei; accipitis, ut credidit, gratiæ mensuram. Qui vero non agit, pro ejus inertiæ ratione, et incredulitatis mensura ostenditur; accipit enim, prout incredulus est, gratiæ privationem. Igitur male agit quicunque proficientibus invidet, cum penes eum, nec penes alium sit credendi et agendi, et secundum fidei mensuram gratiam accipiendi electio sit. Et tota anima eam orantes perseveremus totum vitæ nostræ tempus. Et ipse vitæ finis, Christianus, absque dolore, et rubore, pacificus. Et ad hæc, bonam defensionem habebimus, cum steterimus ante tribunal Domini et Dei et Salvatoris nostri Jesu Christi.

Ὅτι μείζων πάσης ἐργασίας, ἡ καθαρὰ προσευχή ἐστιν.

λη'. Πρὸς δὲ τοῖς δηλωθεῖσι, καὶ τοῦτο ἴσθι, ἀδελφὲ, ὅτι πᾶσα μέθοδος, καὶ πᾶς κανὼν, εἰ βούλει δὲ, καὶ πρᾶξις διάφορος, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς ἔτι ἐν καρδίᾳ καθαρῶς καὶ ἀρρεμβάστως προσεύχεσθαι, τετύπωται οὕτω καὶ κεκανόνισται. Ἐπεὶ τούτου, εὐδοκίᾳ καὶ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπαρτισθέντος, καὶ πολλὰ, καὶ ποικίλα, καὶ διαιροῦντα μεθέντες, τῷ ἑνὶ, καὶ ἑνιαίῳ, καὶ ἑνωτικῷ ἀμέσως ὑπὲρ λόγον ἑνούμεθα, ὡς εἴρηται τῷ κλεινῷ Θεολόγῳ· Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος· ὅπερ ἐστὶν, ἡ διὰ τοῦ ἁγίου Πνεύματος ἐν καρδίᾳ ἐνυπόστατος ἔλλαμψις, ἥτις τίκτεται, ὡς εἴρηται, ἐκ τῆς μνημονευθείσης καθαρᾶς καὶ ἀρρεμβάστου καρδιακῆς προσευχῆς. Σπάνιον δὲ τοῦτο, καὶ μόλις εἷς ἐκ χιλίων ὁ καταξιωθεὶς, Χριστοῦ χάριτι, προκόψαι εἰς τήνδε τὴν κατάστασιν. Τὸ δὲ καὶ ταύτην ὑπερπλεῦσαι, καὶ τῆς πνευματικῆς ἀξιωθῆναι προσευχῆς, καὶ τυχεῖν τῆς ἀποκαλύψεως τῶν μυστηρίων τοῦ μέλλοντος αἰῶνος, πάνυ ὀλίγων, καὶ κατὰ γενεὰς καὶ γενεὰς εὑρισκομένων, εὐδοκίᾳ τῆς χάριτος, καθάπερ γράφει καὶ ὁ ἅγιος Ἰσαάκ· « Ὥσπερ μόλις ἐκ μυριάδων ἀνθρώπων, εἷς εὑρίσκεται πληρώσας τὰς ἐντολὰς, καὶ τὰ νόμιμα μικρὸν ἐνδεῶς, καὶ φθάσας εἰς τὴν τῆς ψυχῆς καθαρότητα, οὕτως εἷς ἐκ χιλίων εὑρίσκεται, καταξιωθεὶς φθάσαι μετὰ πολλῆς παραφυλακῆς, εἰς τὴν καθαρὰν προσευχὴν, καὶ διαρρῆξαι τοῦτον τὸν ὅρον, καὶ τυχεῖν ἐκείνου τοῦ μυστηρίου. Διότι πολλοὶ τῆς καθαρᾶς προσευχῆς οὐδαμῶς ἠξιώθησαν, ἀλλ' ὀλίγοι. Πρὸς δὲ τὸ μυστήριον ἐκεῖνο τὸ μετ' ἐκείνην, καὶ πέραν, ὁ φθάσας, μόλις εὑρίσκεται γενεᾷ καὶ γενεᾷ, τῇ χάριτι τοῦ Χριστοῦ. » Καὶ μετ' ὀλίγα· « Καὶ εἰ μετὰ καθαρότητος μόλις τις προσεύχεται, τί εἴπωμεν περὶ τῆς πνευματικῆς; Πᾶσα δὲ πνευματικὴ κατ' αὐτὸν αὖθις κινήσεως ἠλευθέρωται· καὶ ἡ κλίνουσα κάτωθέν ἐστι τῆς πνευματικῆς. » Διόπερ καὶ αὐτὸς εἰ βούλει τῶν τοιούτων καινῶν μυστηρίων, ἔργῳ καὶ πράγματι, ἦτοι αὐτῇ τῇ πείρᾳ, ἐν Χριστῷ Ἰησοῦ καταξιωθῆναι, ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ, καὶ ἐργασίᾳ σου, ἐπείρου

Quod major omni operatione est munda oratio.

38. Cum his quæ indicata sunt et hæc, scito, frater, quod omnis methodus et omnis regula, si velis, et variæ actiones, ita formatæ sunt et determinatæ, eo quod non possumus in corde pure et constanter orare. Quod enim benevolentia et gratia Domini nostri Jesu Christi perfecte adepti, et multa illa varia et transeuntia relinquentes, cum eo qui unus est et simplex et uniendi vim habet, conjungimur immediate supra rationem, ut ab illustri theologo dictum est: « Deus divinis hominibus conjunctus et cognitus; quod est ea, per Spiritum sanctum, in corde interior illuminatio, quæ gignitur, ut dictum est, ex memorata pura et constanti cordis oratione. » Rarum autem illud est, et vix unus ex mille, Christi gratia, dignus effectus est qui ad hunc statum perveniat. Hunc autem statum transgredi et spiritualem adorationem assequi, et futuræ vitæ mysteriorum revelationem adipisci, omnino paucorum est, et ii per generationes et generationes reperiuntur, gratiæ beneficio, ut scribit pius Isaac: « Quemadmodum vix ex decem hominum millibus unus invenitur qui mandata adimpleat et leges modo fere perfecto, et in animæ puritatem tendat, ita unus ex mille reperitur, qui dignus judicatus sit qui attingeret cum multa custodia, puram orationem, et hunc terminum perfrangeret, et mysterium illud obtineret. Ideo non multi ad mundam orationem pervenere, sed pauci. Qui autem ad mysterium quod eam sequitur et ultra cucurrit, vix reperitur de generatione in generationem, Christi gratia. » Et paulo post: » Et si vix aliquis cum puritate orat, quid dicemus de spirituali oratione? Omnis autem spiritualis oratio motu libera est. Et quæ paululum vergit, infra spiritualem est. » Itaque si ipse talibus novis mysteriis in Christo dignus esse velis, opere et re, ipsa nempe experientia, omni tempore et omni hora et in omni operatione tua, orare in corde festina, pure et non distracte, ut sic ex

infante lacteute ad virum perfectum perventas, in mensuram ætatis plenitudinis Christi, et cum fideli ac prudenti servo beatitudinem et coronam consequaris, ut dirigens in judicio sermones tuos; nempe secundum rationem agens, unde non perturberis in sæculum, quemadmodum de eo scribit sanctus Philemon, ita : « Frater, sive nocte, sive die, dignatus erit te Deus orare mente pura absque distractione, ne propriæ tuæ regulæ adhæreas; sed quantum tibi licebit, nitere cum Deo uniri ; et ipse cor tuum illuminabit de oratione spirituali. » Et quidam ex sanctis : « Si vis in corpore tanquam sine corpore Deo servire, indesinentem orationem posside secreto in corde tuo, et ante mortem fiet anima tua quasi angelus. » Iis consentanea scribit sanctus Isaac. Interrogatus enim ab aliquo quodnam esset universorum hujus operis profectuum summum, tranquillitatis nempe, ita ut [quis ad id perveniens sciat se vitæ perfectionem adeptum esse, respondit : « Quando] quis dignus factus est continua oratione; postquam enim id attigerit, omnium virtutum summam attigit, ac deinceps Spiritus sancti domicilium factus est. Si quis enim gratiam Paracleti non perfecte assecutus sit, orationis perseverantiam non potest in otio perficere. » Spiritus enim, inquit, cum in viro quodam habitat, non cessat orare. Ipse enim spiritus semper orat. Tunc neque in somno, neque in vigilia, oratio ex ejus anima deficit; sed sive manducet, sive bibat, sive dormiat, sive quid aliud faciat, atque etiam in profundo somno, suavis odor et halitus orationis erumpunt absque labore; et tunc oratio divisionem non habet ; sed omnibus horis, etiamsi talis ejus oratio tranquilla sit exterius, sed rursum in eo servit abscondite. Silentium enim mundorum, orationem vocat quidam sanctus ; quoniam eorum cogitationes quidam divini motus sunt ; motus autem mundi cordis et mentis, dulces voces sunt, quibus clam abscondito Deo psallunt. » Et alii multi sancti viri, divina ipsa gratia initiati, talia multa admiratione digna edidere ; quæ nos propter sermonis longitudinem omittimus.

προβάσαι εἰς τὸ προσευχεσθαι ἐν καρδίᾳ, καθαρῶς καὶ ἀρρεμβάστως· ἵν' οὕτως, ὡς ἐκ νηπίου θηλάζοντος, προκόψῃς εἰς ἄνδρα τέλειον· εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ μετὰ τοῦ πιστοῦ οἰκονόμου καὶ φρονίμου, τοῦ μακαρισμοῦ καὶ τῆς ἀναῤῥήσεως ἐπιτύχῃς, ὡς οἰκονομῶν ἐν κρίσει τοὺς σοὺς λόγους· ἦγουν κατὰ λόγον πολιτευόμενος, ὅθεν καὶ οὐ σαλευθήσῃ εἰς τὸν αἰῶνα, καθὼς περὶ τούτου γράφει ὁ ἅγιος Φιλήμων, οὕτως· « Ἀδελφὲ, εἴτε ἐν νυκτὶ, εἴτε ἐν ἡμέρᾳ, ἀξιώσει σε ὁ Θεὸς καθαρῶς τῷ νοΐ προσεύξασθαι ἀπερισπάστως, μὴ πρόσχῃς τῷ ἰδίῳ κανόνι· ἀλλ' ὅση σοι δύναμις ἐπεκτείνου τῷ Θεῷ κολλώμενος· καὶ αὐτὸς φωτίζει τὴν καρδίαν σου περὶ ἐργασίας πνευματικῆς. » Καί τις τῶν θεοπόρων· « Εἰ θέλεις ἐν σώματι ὡς ἀσώματος Θεῷ λειτουργεῖν, εὐχὴν ἀδιάλειπτον κτῆσαι κρυπτῶς ἐν τῇ καρδίᾳ σου, καὶ γίνεται πρὸ θανάτου ἡ ψυχή σου, ὡς ἄγγελος. » Τούτοις συνᾴδοντα γράφει καὶ ὁ ἅγιος Ἰσαάκ. Ἐρωτηθείς γάρ παρά τινος, τί ἐστι τὸ περιεκτικὸν τῶν κόπων ὅλων τοῦ ἔργου τούτου, δηλαδὴ τῆς ἡσυχίας, ἵνα τις καταντήσας εἰς αὐτὸ, μάθῃ ὅτι τὴν τελειότητα τῆς πολιτείας ἔφθασεν, ἀπεκρίθη οὕτως· « Ὅταν ἀξιωθῇ τις τῆς διαμονῆς τῆς προσευχῆς· ὅταν γὰρ φθάσῃ ταύτην, πρὸς τὴν ἄκραν πασῶν τῶν ἀρετῶν ἔφθασε, καὶ τουλοιποῦ, κατοικητήριον τοῦ ἁγίου Πνεύματος ἐγένετο. Ἐὰν γάρ τις τὴν χάριν τοῦ Παρακλήτου ἀκριβῶς οὐκ ἐδέξατο, τὴν διαμονὴν ταύτην τῆς προσευχῆς τελειῶσαι ἐν ἀνέσει οὐ δύναται. Τὸ γὰρ Πνεῦμα, φησὶν, ὅταν κατοικήσῃ ἐν τινι τῶν ἀνθρώπων, οὐ παύεται ἐκ τῆς προσευχῆς. Αὐτὸ γὰρ τὸ Πνεῦμα ἀεὶ προσεύχεται. Τότε, οὔτε ἐν τῷ καθεύδειν αὐτὸν, οὔτε ἐν ἐγρηγόρσει, ἡ προσευχὴ ἐκ τῆς ψυχῆς αὐτοῦ κόπτεται· ἀλλ' ἐὰν ἐσθίῃ, καὶ ἐὰν πίνῃ, καὶ ἐὰν κοιμᾶται, καὶ ἐάν τι πράττῃ, καὶ ἕως ἐν βαθεῖ ὕπνῳ, αἱ εὐωδίαι, καὶ τὰ ἄτμοι τῆς προσευχῆς ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναβλύουσι, ἄνευ κόπου· καὶ χωρισμὸν τότε ἡ προσευχὴ οὐκ ἔχει· ἀλλὰ πάσας τὰς ὥρας αὐτοῦ, κἂν ἡσυχάσῃ ἕνεκεν αὐτοῦ ἡ τοιαύτη, ἀλλ' οὖν πάλιν ἡ αὐτὴ λειτουργεῖ ἐν αὐτῷ κρυπτῶς. Τὴν σιωπὴν γὰρ τῶν καθαρῶν, λογισμοὶ αὐτῶν, θεῖαι κινήσεις εἰσίν· αἱ κινήσεις δὲ τῆς καθαρᾶς καρδίας, καὶ διανοίας, φωναὶ πρακτικαί εἰσιν, ἐν αἷς κρυπτῷ; τῷ κρυπτῷ ψάλλουσι. » Καὶ ἄλλοι δὲ πολλοὶ τῶν θεοφόρων, ἐκ τῆς χάριτος αὐτῆς πεῖρᾳ μεμυσταγωγημένοι, τοιαῦτα πλεῖστα θαύματος ἄξια ἐξέθεντο· ἅπερ καὶ διὰ τὸ τοῦ λόγου μῆκος ἐλάσαμεν.

De numero genuflexionum per spatium unius noctis dieique.

39. De numero autem genuflexionum, scimus triginta a divinis Patribus esse præscriptas, quas per noctis dieique spatium quinque hebdomadæ diebus facere nos oportet. Etenim omni Sabbato et omni Dominica, et etiam aliis ex consuetudine signatis diebus et hebdomadis, juxta mystica et arcana oracula, ut ab iis abstineamus nobis præcipitur. Sunt autem qui hunc numerum prætergrediuntur. Quidam vero eum non attingunt, unusquisque pro viribus et voluntate. Et tu igitur fac, prout valebis. Sed tamen vere beatus est qui in omnibus quæ secundum Deum sunt sibi vim intu-

Περὶ τῆς κατὰ τὸ νυχθήμερον ποσότητος τῶν γονυκλισιῶν.

λθ'. Περὶ δέ γε ποσότητος γονυκλισιῶν, τριακοσίας ἴσμεν τῷ ἀριθμῷ, τὰς τοῖς θείοις ἡμῶν Πατράσι διωρισμένας, ἃς καὶ ὀφείλομεν ποιεῖν καθ' ἕκαστον νυχθήμερον τῶν τῆς ἑβδομάδος πέντε ἡμερῶν· καὶ γὰρ ἐν παντὶ Σαββάτῳ, καὶ πάσῃ Κυριακῇ, ναὶ μὴν καὶ ἐν ἄλλαις ἐξ ἔθους σεσημειωμέναις ἡμέραις, καὶ δὴ καὶ ἑβδομάσι, κατά τινας μυστικοὺς καὶ ἀποῤῥήτους λόγους, σχολὴν τούτων ἄγειν ἐντετάλμεθα. Εἰσὶ μέντοι τινὲς ὑπερβαίνοντες τοῦτον τὸν ἀριθμόν. Ἔνιοι δὲ καὶ ὑστερίζοντες, ἕκαστος καθὼς ἔχει ἰσχύος, ἢ προαιρέσεως. Καὶ σὺ τοίνυν ποίει τοκαταδύναμιν· μενοῦν γε μακάριος τῷ ὄντι, καὶ τοῦτο πολ-

λάκις, ὁ ἐν πᾶσι τοῖς κατὰ Θεὸν, πάντοτε ἐκβιάζων ἑαυτόν. « Βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. »

lerit. « Vim enim patitur Regnum cœlorum, et violenti rapiunt illud [1]. »

Ὅτι οὐ μόνον, ὡς προείρηται, κατὰ τὸν ἀγῶνα, καὶ τὸ μέτρον τῆς ἡμῶν ἐργασίας, ἡ τῶν θείων δωρεῶν διανομὴ ἐπιχορηγεῖται, ἀλλὰ καὶ κατὰ τὴν ἕξιν, καὶ ἐπιτηδειότητα, καὶ τὴν πίστιν, καὶ τὴν προσοῦσαν ἡμῖν διάθεσιν φυσικήν.

Quod non solo, ut dictum est, pro certamine ac nostræ operationis mensura, divinorum distributio donatur, sed et pro nostro habitu, et habilitate et fide et nobis præstita naturali dispositione.

μ'. Καὶ τοῦτο τοίνυν ἰστέον ὡς οὐ μόνον, καθάπερ προειρήκαμεν, κατὰ τὸν ἀγῶνα καὶ τὸ μέτρον τῆς ἐργασίας ἡμῶν ἡ τῶν θείων δωρεῶν διανομὴ ἐπιχορηγεῖται ἡμῖν, ἀλλὰ καὶ κατὰ τὴν τῆς πολιτείας ἕξιν καὶ ἐπιτηδειότητα, ναὶ μὴν, καὶ κατὰ τὴν πίστιν ἡμῶν πρὸς τὰ προκείμενα, καὶ τὴν προσφυῶς προσοῦσαν ἡμῖν διάθεσιν φυσικήν. Καὶ λέγει ὁ ἅγιος Μάξιμος· « Ὁ νοῦς, σοφίας ὄργανον· ὁ λόγος, γνώσεως· ἡ κατ' ἄμφω φυσικὴ πληροφορία, τῆς κατ' ἄμφω συνισταμένης πίστεως· τοῦ δὲ τῶν ἰαμάτων χαρίσματος, ἡ φυσικὴ φιλανθρωπία. Πᾶν γὰρ χάρισμα θεῖον, ἐπιτήδειον ἐν ἡμῖν ἔχει καὶ προσφυὲς, ὥσπερ δύναμιν, ἢ ἕξιν, ἢ διάθεσιν, ὄργανον δεκτικόν· οἷον ὁ τὸν νοῦν πασῶν αἰσθητῶν φαντασιῶν ποιήσας καθαρὸν, δέχεται σοφίαν· ὁ δὲ τὸν λόγον, τῶν ἐμφύτων παθῶν, θυμοῦ, λέγω, καὶ ἐπιθυμίας καταστήσας δεσπότην, δέχεται γνῶσιν· ὁ δὲ τὴν κατὰ νοῦν καὶ λόγον περὶ τὸ Θεῖον ἀσάλευτον πληροφορίαν ἔχων, τὴν πάντα δυναμένην δέχεται πίστιν· ὁ δὲ τὴν φυσικὴν κατορθώσας φιλανθρωπίαν, μετὰ τὴν τελείαν τῆς φιλαυτίας ἀναίρεσιν, ἰαμάτων δέχεται χαρίσματα. » Καὶ ταῦτα μὲν οὕτως. Ὅρα δὲ, ἵνα μηδεὶς γινώσκῃ τὸ ἔργον σου, ἐκτὸς τοῦ ἐπιστατοῦντος, καὶ ὁδηγοῦντός σε· ὑπερευχόμενος καὶ ἡμῶν τῶν ἀναξίων, τῶν λεγόντων μὲν, μὴ ποιούντων δὲ τὸ ἀγαθὸν, ἵνα καταξιωθῶμεν τοῦ ποιεῖν πρῶτον τὰ Θεῷ ἀρέσκοντα· εἶτα καὶ τοῖς ἄλλοις λέγειν, καὶ παραινεῖν. Ὁ γὰρ ποιήσας καὶ διδάξας, κατὰ τὸ θεῖον λόγιον, οὗτος μέγας κληθήσεται. Σὲ δ' αὐθις ὁ παντοκράτωρ καὶ παντοικτίρμων Κύριος ἐνισχύσαι, καὶ εὐοδῶσαι, τούτων ἀκροᾶσθαι συνετῶς, καὶ ποιεῖν αὐτὰ, μετὰ πάσης ἐφέσεως. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, δίκαιοι παρὰ τῷ Θεῷ, κατὰ τὸν θεῖον Παῦλον, ἀλλ' οἱ ποιηταὶ, καὶ ὁδηγήσαι εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σωτήριον καὶ πρὸς τὴν προκειμένην νοεράν, καὶ ἱερὰν ἐργασίαν χειραγωγήσαι ἐν πνεύματι, εὐχαῖς ἁγίων. Ἀμήν. Ἀλλ' ἐπειδήπερ προλέλεκται ἡμῖν περὶ διακρίσεως μικρόν τι πρακτικῆς, εὔκαιρον ἀρτίως καὶ περὶ τῆς καθόλου, καὶ τελειοτάτης διακρίσεως, κατὰ τὸ ἐγχωροῦν, ὡς ἐν συντόμῳ διαλαβεῖν· ἐπεὶ καὶ μείζων αὕτη πασῶν τῶν ἀρετῶν, κατὰ τοὺς κλεινοὺς ἡμῶν Πατέρας, πέφυκε.

40. Et illud quoque sciendum est quod, non modo, prout diximus, secundum certamen et mensuram nostræ operationis divinorum munerum nobis conceditur distributio, sed et juxta vitæ nostræ habitum et habilitatem et fidem iis quæ proposita sunt, et nobis apte inhærentem naturalem dispositionem. Et dicit sanctus Maximus : « Mens, sapientiæ organum ; ratio, scientiæ, naturalis per utramque persuasio, hujus quæ per utramque est, fidei ; gratiæ autem curationum, naturalis misericordia. Omnis autem gratia divina aliquid in nobis habet habile et aptum, tanquam potentiam aut habitum, aut dispositionem, organum capax. Sic quicunque mentem omnibus sensibilibus phantasiis liberam fecerit, sapientiam accipit ; quicunque rationes naturalium cupiditatum, iræ scilicet ac desiderii dominam constituerit, scientiam accipit : qui vero per mentem ac rationem de Deo immutabilem persuasionem habet, fidem quæ omnia potest accipit; qui autem naturalem misericordiam perfecerit, postquam omnino proprium amorem sustulerit, sanationum gratiam accipit. » Atque hæc ita dicit. Cave ergo ne quisquam tuum opus noverit, præter eum qui te monet, ac dirigit; orans pro nobis indignis, qui dicimus quidem, sed non facimus bonum, ut digni fiamus qui primo Deo grata agamus ; ac deinde aliis loquamur suadeamusque. Qui enim fecerit ac docuerit juxta divinum oraculum, hic magnus vocabitur. Te autem rursum omnipotens et misericors Dominus corroboret et dirigat, ut ea plene intelligas et cum magno ardore adimpleas. Non enim auditores legis justi sunt apud Deum, secundum divinum Paulum, sed factores tantum ; te ducat Dominus ad omne opus bonum ac salutare, et ad propositum spirituale ac sanctum opus manu ferat in spiritu, sanctorumque orationibus. Amen. – Sed postquam a nobis dictum est aliquid de agente discretione, opportunum quoque est de perfectissima in universum discretione, prout possumus, pauca loqui, quoniam hæc est omnibus virtutibus major, secundum illustres Patres nostros.

Περὶ τῆς καθόλου, καὶ τελειοτάτης διακρίσεως· καὶ τίς ὁ παρὰ φύσιν, καὶ σαρκικῶς ζῶν· καὶ τίς ὁ κατὰ φύσιν καὶ ψυχικῶς· καὶ τίς ὁ ὑπὲρ φύσιν, καὶ πνευματικῶς πολιτευόμενος.

De perfectissima discretione ; et quis contra naturam et carnaliter vivit ; et quis secundum naturam, et animaliter ; et quis supra naturam et spiritualiter conversatur.

μα'. Ὁ σαρκικῶς καὶ παρὰ φύσιν ζῶν καὶ πολιτευόμενος, οὗτος τὸ οἰκεῖον διακριτικὸν παντελῶς ἀπώλεσεν· ὁ δὲ τῶν κακῶν ἀποχὴν μὲν ποιησάμενος,

41. Qui carnaliter et contra naturam vivit, hic propriam discretionem amisit ; qui vero a malo abstinet, ac principium bene agendi abjicit, ut

[1] Matth. xi, 12.

scriptum est : « Declina a malo et fac bonum [8] : » hic ut ductorius (et aurem doctrinæ adhibens, leviter sensum quemdam discretionis attingit et incipienti congruam. Qui secundum naturam et animam, qui vitam in cogitatione et secundum rationem agit, qui et medius vocatur, ille ad propriam mensuram videt ac discernit quæ ad se pertineant et ad quæ cæteros homines : qui vero supra naturam et spiritualiter vivit, ille, utpote qui cupidum, et ductorium et medium transgreditur, et Christi gratia ad perfectum et substantiale lumen pervenit, et perfectissimam discretionem, videt et seipsum et discernit quam clarissime : et sane, omnes videt, et pure discernit, ipse vero a nemine, etsi conspicitur, introspicitur et judicatur : imo vero judicatur, ut qui sit vir spiritualis ac nominetur. « Non scriptis et atramento, sed opere et gratia, ut ait Apostolus [9] : spiritualis omnes judicat, ipse vero a nemine judicatur. »

A ἀρχὴν δὲ βαλὸν τοῦ ποιεῖν τὸ ἀγαθὸν, ὡς γέγραπται « Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· » οὗτος ὡς εἰσαγωγικὸς, καὶ οὓς ὑπέχων πρὸς διδασκαλίαν, παρακύπτει μικρόν πως, πρὸς αἴσθησίν τινα διακρίσεως, καὶ ἀρχαρίῳ πρέπουσαν. Ὁ δὲ κατὰ φύσιν, καὶ ψυχικῶς, ἅτε διενεργῶν ἐν διανοίᾳ, καὶ κατὰ λόγον βιοὺς, ὃς καὶ μέσος καλεῖται, οὗτος πρὸς τὸ ἴδιον μέτρον, ὁρᾷ τε καὶ διακρίνει τά τε καθ' ἑαυτὸν, καὶ τὰ τῶν ὁμοίων αὐτῷ. Ὁ δὲ ὑπὲρ φύσιν, καὶ πνευματικῶς πολιτευόμενος, οὗτος, ὡς τὸν ἐμπαθῆ, καὶ τὸν εἰσαγωγικὸν, καὶ τὸν τῆς μεσότητος ὅρον ὑπερβὰς, καὶ Χριστοῦ χάριτι προκόψας εἰς τὸν τέλειον, ἦγουν τὸν ἀνυπόστατον φωτισμὸν, καὶ τὴν τελειοτάτην διάκρισιν, ὁρᾷ τε ἑαυτὸν, καὶ διακρίνει τηλαυγέστατα· καὶ δὴ, καὶ πάντας ὁρᾷ, καὶ διακρίνει ἀκραιφνῶς· B αὐτὸς ὑπ' οὐδενὸς, εἰ καὶ ὁρᾶται, ὁρώμενος, καὶ διακρινόμενος· ναὶ μὴν καὶ ἀνακρινόμενος, ὡς πνευματικὸς, ἀληθῶς ὢν καὶ καλούμενος. « Οὐ χάρτῃ καὶ μέλανι, ἀλλὰ πράξει καὶ χάριτι, ὡς φησιν ὁ θεῖος Ἀπόστολος· ὅτι ὁ μὲν πνευματικὸς πάντας ἀνακρίνει· αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. »

Adhuc de discretione, ut in exemplo.

42. Eorum quidem primus similis est ei qui in profunda ac tristi nocte et tenebrosa incedit, unde et in tantis tenebris errans et contectus, non modo non seipsum videt ac discernit, sed neque ubi incedat aut ambulet, ut ait Salvator : « Qui ambulat in tenebris nescit quo vadit [10]. » Secundus ei similis est qui in nocte serena et astris illustrata, procedit, unde et stellarum splendore paululum illustratus, sensim ambulat, pedes offendens sæpius ad indiscretionis lapides, casusque frequentes patiens. Hic igitur paululum et seipsum videt ac discernit, sed tanquam in umbra, ut scriptum est : « Surge qui dormis, et exsurge ex mortuis, et illuminabit te Christus [11]. » Tertius autem similis est ei qui in nocte tranquilla et lunæ fulgore illustrata iter facit : unde et lunæ radiis directus, absque errore procedit, et ante se vadit, videtque seipsum, tanquam in speculo, et judicat simul eos qui cum ipso iter faciunt, ut dictum est : « Bene facitis : legi adhærentes, tanquam lucernæ lucenti in caliginoso loco, donec lucescat dies et Lucifer oriatur in cordibus vestris [12]. » Quartus autem similis est ei qui incedit meridie firmo ac purissimo, fulgentibus solis radiis illustrato : itaque is et seipsum perfecte videt, in solis luce, et se discernit, et alios judicat et omnes, secundum divinum Apostolum, imo vero et omnia quæ ipsi occurrunt undequaque et quomodocunque, absque errore ipse incedens et eos qui ipsum sequuntur sine offensione dirigens ad regum lumen et ad veritatem : de quibus et scriptum est : « Vos estis lux mundi [13]. » Dicit autem et sanctus Paulus : « Deus qui dixit de tenebris lumen splendescere, et ipse *illuxit* in cordibus vestris, ad illuminationem scientiæ gloriæ Dei, in facie Jesu Christi [14]. » Et beatus

Ἔτι περὶ διακρίσεως, ὡς ἐν παραδείγματι.

μβ'. Τούτων ὁ μὲν ἔοικε τῷ ὡς ἐν νυκτὶ βαθείᾳ καὶ στυγνῇ σκοτομήνῃ πορευομένῳ· ὅθεν καὶ τῷ ἁψηλαφήτῳ σκότει περιπλανώμενος καὶ σκοτούμενος, οὐ μόνον ἑαυτὸν οὐχ ὁρᾷ καὶ διακρίνει, ἀλλ' οὐδὲ ὅπου ὑπάγει καὶ περιπατεῖ, ὡς φησιν ὁ Σωτήρ· « Ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. » Ὁ δὲ, νυκτὶ αἰθρίᾳ, ἀστράσιν αὐγαζομένῃ, ὅθεν καὶ C ταῖς τῶν ἀστέρων μαρμαρυγαῖς μικρόν πως αὐγαζόμενος, κατ' ὀλίγον βαδίζει, προσκόπτων τοὺς πόδας πολλάκις ἐν λίθοις ἀδιακρισίας, καὶ πάσχων συμπτώματα· οὗτος τοίνυν βραχύ τι καὶ ἑαυτὸν ἱρᾷ, καὶ διακρίνει, καὶ ὡς ἐν σκιᾷ, καθὰ γέγραπται· « Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Ὁ δὲ, νυκτὶ παντελήνῳ, καὶ γαληνῇ· ὅθεν καὶ ταῖς σεληνιακαῖς βολαῖς εὐθυνόμενος, ἁπλανέστερόν τε ὁδεύει, καὶ εἰς τὰ ἔμπροσθεν ἔρχεται· ὁρᾷ τε αὐτὸν, ὡς ἐν ἐσόπτρῳ, καὶ διακρίνει καὶ τοὺς ὁμοίως συνοδεύοντας αὐτῷ, ὡς εἴρηται· « Καλῶς ποιεῖτε, τῷ νόμῳ δηλαδὴ προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν. » Ὁ δὲ, μεσημβρίᾳ σταθερᾷ καὶ καθαρωτάτῃ, D ἡλιακαῖς ἀκτῖσιν ἀκράτοις φαιδρυνομένῃ· διόπερ ὁ τοιοῦτος καὶ ἑαυτὸν εἰλικρινῶς καθορᾷ, τῷ ἡλιακῷ φωτὶ, καὶ διακρίνει· καὶ τοὺς πολλοὺς ἀνακρίνει· μᾶλλον δὲ καὶ τοὺς πάντας, κατὰ τὸν θεῖον Ἀπόστολον· ναὶ μὴν, καὶ πάντα τὰ παρεμπίπτοντα αὐτῷ σχεδὸν ὁπηδήτινα ὁπωσδήποτε, ἀπλανῶς αὐτός τε πορευόμενος, καὶ τοὺς ἑπομένους αὐτῷ, ἀπταίστως ὁδηγῶν, πρὸς τὸ ὄντως φῶς, καὶ τὴν ζωὴν, καὶ τὴν ἀλήθειαν· περὶ ὧν καὶ γέγραπται· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. » Λέγει δὲ καὶ ὁ θειότατος Παῦλος· « Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. »

[8] *Psal.* xxxvi, 27. [9] II Cor. iii, 3. [10] Joan. iii, 8. [11] Ephes. v, 14. [12] II Petr. i, 19. [13] Matth. v, 14. [14] II Cor. iv, 6.

Καὶ ὁ μακάριος Δαυὶδ· « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » Καί· « Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » Καὶ ὁ Κύριος· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. »

David: « Signatum est super nos lumen vultus tui, Domine [15]. » Et: « In lumine tuo videbimus lumen [16]. » Et Dominus: « Ego sum lux mundi; qui sequitur me, non ambulat in tenebris, sed habebit lumen vitæ [17]. »

Περὶ τροπῆς, καὶ ἀλλοιώσεως τῆς πρὸς ἕκαστον, καὶ τοῦ ὑπερέχοντος κλέους τῆς ταπεινώσεως.

De conversione et mutatione ad singula. Et de eminenti humilitatis gloria.

μγ'. Εἰδέναι δέ σε καὶ τοῦτο βουλόμεθα, ὡς καὶ οἱ εἰς τὸ τέλειον διὰ καθάρσεως, καὶ φωτισμοῦ, καθὼς ἔχει δυνάμεως, πεφθακότες· οὐ γὰρ ἔστι τελεία τελείωσις ἐν τῷ ἀτελεῖ αἰῶνι, ἀλλὰ μᾶλλον ἀτέλεστος τελειότης· καὶ οἱ τοιοῦτοι τοίνυν οὐ πάντοτε μεθ' ἑαυτῶν τὸ ἀναλλοίωτον ἔχουσι, διά τε τὴν φυσικὴν ἀσθένειαν, καὶ τὴν ἐφέρπουσαν [ἴσ. ὑφέρπουσαν] ἐνίοτε οἴησιν· ἀλλὰ γὰρ καὶ ἀλλοιώσεις, καὶ κλοπάς, πρὸς δοκιμασίαν ἔσθ' ὅτε πάσχουσι, καὶ αὖθις δὲ ἀντιλήψεις εἰσδέχονται μείζονας· καὶ ὃ δὲ τούτοις ἐναντίον, μέρος τῶν λύκων οἱ Πατέρες εἶναι ὁρίζονται. Ἡ γὰρ ἀτρεψία, καὶ τὸ ἀναλλοίωτον ἐν αἰῶνι τῷ μέλλοντι συντετήρηται· ἐν δέ γε τῷ παρόντι, ὁτὲ μὲν, καθαρότητος, εἰρήνης τε καὶ παρακλήσεως θείας καιρός· ὁτὲ δὲ φύρσεως, καὶ ζάλης, καὶ κατηφείας, καὶ τοῦτο δὲ πρὸς τὸ μέτρον τῆς ἑκάστου πολιτείας, καὶ προκοπῆς, καὶ οἷς οἶδεν ὁ Κύριος κρίμασι· ναὶ μὴν, καὶ ἵνα διὰ τούτων τὸ ἀσθενὲς ἡμῶν τεκμαιρόμενοι· « Μακάριος γὰρ, φησὶν, ὁ γινώσκων τὴν ἑαυτοῦ ἀσθένειαν, μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, κατὰ Παῦλον· ἀλλ' ἐπὶ τῷ ἐγείροντι τοὺς νεκρούς· » καὶ οὕτω διηνεκῶς, ἐν ταπεινώσει καὶ μετανοίᾳ, καὶ ἐξομολογήσει, πρὸς Θεὸν ἀνατρέχωμεν. Καὶ λέγει ὁ ἅγιος Ἰσαάκ· « Κατὰ μίαν καὶ μίαν, ποσάκις παραβαίνουσί τινες, καὶ ἐν τῇ μετανοίᾳ, ἰατρεύουσι τὰς ψυχὰς αὐτῶν· καὶ ἡ χάρις ὑποδέχεται αὐτούς. Ἐν πάσῃ γὰρ τῇ φύσει τῇ λογικῇ, ἡ τροπὴ ἀδιορίστως διέρχεται. Καὶ ἀλλοιώσεις διέρχονται κατὰ παντὸς ἀνθρώπου, ἐν πάσαις ταῖς ὥραις αὐτοῦ· ἐξ ὧν πολλῶν εὑρίσκει ὁ διακριτικὸς συνιέναι τοῦτο· ἀλλ' αἱ δοκιμασίαι αἱ μετ' αὐτοῦ καθ' ἑκάστην ἡμέραν, μάλιστα δύνανται σοφίσαι αὐτὸν ταῦτα, ἐὰν νήφῃ· ἵνα καὶ παρατηρήσηται ἑαυτὸν ἐν τῷ νῷ, καὶ μάθῃ πόσην ἀλλοίωσιν πραότητος καὶ ἐπιεικείας ὑποδέχεται ἡ διάνοια καθ' ἑκάστην ἡμέραν· καὶ πῶς ἐκ τῆς εἰρήνης αὐτῆς, ἐξαίφνης εἰς θόλωσιν στρέφεται, ὅταν αἰτία τις ἐκ τόπου μὴ ἔστιν αὐτῷ· καὶ πῶς ἐν κινδύνῳ μεγάλῳ καὶ ἀῤῥήτῳ γίνεται. Καὶ τοῦτό ἐστιν, ὅπερ ὁ μακάριος Μακάριος ἔγραψε φανερῶς ἐν πολλῇ προνοίᾳ καὶ σπουδῇ, εἰς μνήμην τῶν ἀδελφῶν καὶ διδασκαλίαν, τοῦ μὴ ἐκκλῖναι, ἐν τῷ καιρῷ τῆς ἀλλοιώσεως τῶν ἐναντιώσεων, εἰς τὴν ἀπόγνωσιν, ὅτι τοῖς ἐν τῇ τάξει τῆς καθαρότητος ἱσταμένοις, ἀεὶ συμβαίνει αὐτοῖς πτώματα, καθὼς συμβαίνει τῷ ἀέρι ψύχος· καὶ χωρὶς τοῦ εἶναι αὐτοὺς ἐν ἀμελείᾳ, ἢ ἐν λύσει· οὐ μὴν δὲ, ἀλλὰ καὶ ἡνίκα κατὰ τάξιν αὐτῶν πορεύονται, συμβαίνει αὐτοῖς πτώματα, ἐναντιούμενα τῷ σκοπῷ τοῦ ἑαυτῶν θελήματος. Καὶ παρακατιών· Τί οὖν ἐστιν ἄρτι; Ἀλλοιώσεις, φησὶ, γίνονται εἰς ἕκαστον κατὰ τὸν ἀέρα.

43. Scire autem volumus te quod ii qui ad perfectionem per puritatem et lumen pervenere, non magis virium quam tu, habuere. Non enim completa est perfectio in hoc imperfecto sæculo, sed potius incompleta perfectio. Ac igitur non omnimodo secum immutabilitatem habent, tum propter naturalem infirmitatem, tum aliquando propter subrepentem opinionem. Sed enim et mutationes et raptus ad vanam gloriam nonnunquam patiuntur, et rursum opitulationes majores recipiunt; et quod iis contrarium est, partem esse luporum definiunt Patres. Firmitas enim et immutabilitas futuro sæculo reservatur; in præsenti autem, modo quidem puritatis et pacis et consolationis est tempus, modo vero sordium et tempestatis et tristitiæ; atque id pro ratione uniuscujusque vitæ et profectus, et pro arcanis Domini judiciis, imo vero ut sic propriam infirmitatem agnoscamus: « Beatus enim, ait, qui propriam infirmitatem novit, ne simus fidentes in nobismetipsis, secundum Paulum [18]; sed in illo qui suscitat mortuos. » Et ut sic continuo in humilitate et pœnitentia et confessione ad Deum accurramus. Et dicit sanctus Isaac: « Semel atque iterum transgrediuntur aliquando quidam, et pœnitentia suis animabus remedium afferunt; et gratia subintrat in eos. In omni enim rationabili natura locum habet sæpius immutatio. Et mutationes cuivis homini accidunt omnibus horis ejus; ex quibus multis potest is qui vim habet discernendi illud intelligere; et probationes quas apud se singulis diebus experitur, plurimum possunt eum sapientem efficere, si vigilet; ut se in spiritu servet et discat, quot dulcedinis et clementiæ mutationes singulis diebus cogitatio suscipiat; et quomodo ex ipsius pace, subito in tumultum convertatur, cum causa non sit cur eo loco convertatur, et quomodo in magno et horrendo periculo versetur. » Et idem est quod scripsit beatus Macarius multa cura et zelo, in fratrum memoriam et doctrinam, ne contrariorum mutationis tempore in desperationem incidant, docens iis qui in puritatis loco stant accidere ut cadant, quemadmodum aeri, frigescere, ac etiam si non in incuria et negligentia vivant, sed et cum secundum ordinem procedunt, iis accidit succumbere, ita ut scopum voluntatis suæ non attingant. Et persequitur dicens: « Quid igitur est nunc? Mutationes in unoquoque fiunt, ut in aere. » Illud autem intellige *in unoquoque*. Natura nempe una est. Ne credas eum de infirmioribus et fragilioribus lo-

[15] Psal. IV, 7. [16] Psal. XXXV, 10. [17] Joan. VIII, 12. [18] II Cor. I, 9.

τὸ πρότερα, καὶ λυπεῖσθαι ὑπὲρ αὐτῶν. Καὶ τί ἐστιν ἡ καθαρότης συντόμως; Καρδία ἐλεήμων ὑπὲρ πάσης κτιστῆς φύσεως. Καὶ τί ἐστιν ἡ τελειότης; Βίβλος ταπεινώσεως, ὅπερ ἐστὶ κατάλειψις πάντων ὁρατῶν τε καὶ ἀοράτων, ὁρατῶν μὲν, πάντων τῶν αἰσθητῶν· ἀοράτων δὲ, τῶν νοητῶν· καὶ ἐκτὸς μερίμνης τῆς ὑπὲρ αὐτῶν. Ἔτι, μετάνοιά ἐστι, διπλῆ νίκρωσις ἐκουσίως ἐκ πάντων. Καρδία ἐλεήμων ἐστὶ, καῦσις καρδίας ὑπὲρ πάσης τῆς κτίσεως, ὑπὲρ τῶν ἀνθρώπων, καὶ τῶν ὀρνέων, καὶ τῶν ζώων, καὶ τῶν δαιμόνων, καὶ ὑπὲρ παντὸς κτίσματος. Καὶ πάλιν, ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ καὶ ἐν τῇ σαρκὶ καταλελειμμένοι, ἐὰν ἕως τῆς ἀψίδος τῶν οὐρανῶν ὑψωθῶμεν, χωρὶς ἔργων, καὶ μόχθου γενέσθαι ἡμᾶς, ἐν ἀμεριμνίᾳ τε εἶναι, οὐ δυνάμεθα· τοῦτό ἐστι τὸ τελείωμα, Συγχώρησόν μοι· τὸ πλέον δὲ τούτου, μελέτη ἐστί· τουτέστι χωρὶς διανοίας. Καὶ ὁ ἅγιος Μάξιμος· « Ἡ κατὰ ἀρετὴν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ' οὐ φύσεως, ἐργάζεσθαι πέφυκε· καθ' ἣν δηλαδὴ τὴν γνωμικὴν ἀπάθειαν, ἡ κατὰ νοῦν τῆς Θείας ἡδονῆς ἐπιγίνεται χάρις. » Καὶ αὖθις· « Ὁ λύπης καὶ ἡδονῆς σαρκὸς πεῖραν λαβὼν, λέγοιτ' ἂν δόκιμος, ὡς εὐχερείας, καὶ δυσχερείας τῶν περὶ σάρκα πραγμάτων πεπειραμένος, τέλειος δὲ, ὁ τὴν ἡδονὴν τῆς σαρκὸς, καὶ τὴν ὀδύνην, τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας, ὁλόκληρος δὲ, ὁ τὰς κατὰ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν ἕξεις, ἀτρέπτους τῇ περὶ τὸ Θεῖον συντονίᾳ διατηρήσας. Διὰ δὴ ταῦτα, καὶ μείζων πασῶν τῶν ἀρετῶν ἡ διάκρισις εἶναι διώρισται, ὡς, ἐν οἷς ἂν ἐγγένηται, εὐδοκίᾳ Θεοῦ, ἐξὸν τῷ Θείῳ φωτὶ αὐγαζομένοις, καὶ θεῖα, καὶ ἀνθρώπινα διακρίνειν ἠκριβωμένως πράγματα, καὶ μυστικὰ, καὶ ἀπόκρυφα θεάματα, εἶεν· ὥρα δὲ καθεξῆς μικρόν πως ὡς ἐφικτὸν διαμεθοδεῦσαί σοι καὶ τὴν τῆς προεπηγγελμένης ἱερᾶς καὶ θεοποιοῦ ἡσυχίας ἀρχὴν, οἵονεὶ ἐκδηλότερον, ὁ δὲ Θεὸς ἡγείσθω καὶ τῶν ἤδη ῥηθησομένων.

A Et quid est compendiose puritas? Profunda humilitas, quæ est omnium visibilium et invisibilium derelictio, visibilium quidem, omnium sensibilium; invisibilium autem, intelligibilium nempe; et extra etiam eorum memoriam. Et adhuc pœnitentia est dupliciter omnibus mori. Cor misericors est cordis ustio super omni creatura, super hominibus et avibus et animalibus et dæmonibus et super omnibus quæ creata sunt. Et rursum, quantum sumus in hoc mundo et in carne relicti, donec ad cœlorum fornicem attolamur, absque operibus et labore nos esse et in securitate non licet. Ea est perfectio. Dimitte mihi: quod autem ultra id est, sollicitudo est, id est absque ratione. » Et sanctus Maximus: « Quæ secundum virtutem est philosophia, mentis B tranquillitatem, non naturæ, operari potest; per quam spiritualem tranquillitatem, menti divinæ gratiæ gaudium subintrat. » Et rursum: « Qui carnis tristitiæ et lætitiæ experimentum accepit, probatus dici potest, quippe qui de studio aut tædio carnalium actuum tentatus est; perfectus autem qui carnis lætitiam aut dolorem rationis virtute domuit; victor omnino qui actu et contemplatione habitus constantia circa Deum immutabiles servavit. Per hæc sane et major omnibus virtutibus discretio esse demonstratur, ita ut iis in quibus gignitur, divino lumine illustratis liceat et divina et humana et mystica et arcana spectacula accurate discernere. Tempus autem est ordine tibi paululum pro viribus ostendendi sacræ ac deificæ quam annuntiatimus C pacis principium, ut manifestim; Deus autem et ea quæ dicturi sumus, dirigat.

Περὶ τῶν πέντε ἐργασιῶν τῆς πρώτης καὶ οἷον εἰσαγωγικῆς ἡσυχίας τῶν ἀρχαρίων, ἤγουν προσευχῆς, ψαλμῳδίας, ἀναγνώσεως, μελέτης, καὶ ἐργοχειρου.

De quinque operationibus primæ et ut ductoriæ incipientium paris, nempe oratione, psalmodia, lectione, meditatione et manuum labore.

με'. Διὰ πέντε ἐργασιῶν, δι' ὧν ὁ Θεὸς θεραπεύεται, ὀφείλει ὁ ἐν ἡσυχίᾳ ἀρχάριος διέρχεσθαι τὸ νυχθήμερον, δηλαδὴ ἐν προσευχῇ, ἤτοι μνήμῃ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ διηνεκῶς εἰσαγομένῃ [*ἐν ἄλλ.* προσαγομένῃ], ὡς προείρηται διὰ πνοῆς ῥινὸς ἐν τῇ καρδίᾳ ἠρέμα, καὶ αὖθις οὕτως ἐξαγομένῃ, μεμυκότων χειλέων, δίχα τῆς οἱασοῦν ἄλλης ἐννοίας, καὶ φαντασίας, ἧτις δι' ἐγκρατείας περιεκτικῆς γαστρὸς, φαμὲν, ὕπνου τε καὶ τῶν ἄλλων αἰσθήσεων, ἔνδον τοῦ κελλίου, σὺν ταπεινώσει εἰλικρινεῖ κατορθοῦται, ἐν ψαλμῳδίᾳ, ἐν ἀναγνώσει ἔκ τε τοῦ ἱεροῦ Ψαλτηρίου, Ἀποστόλου, καὶ τῶν ἁγίων Εὐαγγελίων, τῶν τε συγγραμμάτων τῶν Θεοφόρων, καὶ ἁγίων Πατέρων, καὶ μάλιστα τῶν περὶ προσευχῆς, καὶ νήψεως κεφαλαίων, πρὸς δὲ, καὶ τῶν λοιπῶν ἐνθέων λογίων τοῦ Πνεύματος, ἐν ἐμπόνῳ καρδίας ἐνήμῃ τῶν ἁμαρτημάτων, καὶ ἐν μελέτῃ κρίσεως Θεοῦ, ἢ θανάτου, ἢ κολάσεως, ἢ ἀπολαύσεως, καὶ τῶν ὁμοίων· καὶ ἐν ἐργοχείρῳ μικρῷ ὡς ἀκηδίας φιμώτρῳ, καὶ πάλιν ἐπανακάμπτειν εἰς προσευχὴν, κἂν

45. Per quinque operationes, quibus Deus colitur, noctem ac diem transire debet is qui incipit, nempe orationem, et memoriam Domini Jesu Christi continuam, inductam, ut dictum est, per naris inspirationem suaviter in corde et rursum eductam, D compressis labiis, sine ulla alia cogitatione et imaginatione quæ per universam ventris temperantiam dicimus, somni et aliorum sensibilium, intra cellulam, cum sincera humilitate, perficitur, in lectione sacri psalterii, Apostoli, sanctorum Evangeliorum, sacræ Scripturæ, et sanctorum Patrum, ac præsertim capitum de oratione et vigilantia, et ad hæc cæterorum divinorum sancti Spiritus oraculorum, in laboriosa cordis peccatorum memoria, et in meditatione Judicii Dei aut mortis, aut supplicii æterni, aut cœli deliciarum et similium, et in manuum labore tenui, ut acedia constringatur; et rursum oportet genua flectere ad orationem, etsi id vim patiatur, donec mens assuefacta sit propriam inconstantiam deponere frequenti ad Dominum Jesum

qui, perfectos vero mutatione liberos esse et stare absque defectu in uno ordine, longe a cupidis sensibus, ut Euchitæ dicunt, ideo illud addidit : *in unoquoque*. Quomodo igitur illud, o Macari, similiter tu dicis : frigus, et paulo post, æstus ; et similiter grando, et paulo post tranquillitas. Et in vita nostra ita fit : bellum ac gratiæ receptio, et in tempore anima in tempestate jacet, et in eam insurgunt horrendi fluctus. Et rursum fit mutatio, gratia protegente et cor adimplente lætitia et divina pace, et prudentibus ac pacificis consiliis. Hæc prudentiæ consilia ita nectit, hortans eos qui prius bruti ac impuri erant, et eos excitat dicens : « Si igitur post hæc prudentia et clementia consilia, sequatur calamitas, ne tristemur neque desperemus. » Et in gratiæ rursum quiete, ne superbiamus, sed lætitiæ tempore, afflictionem accipiamus. Et pergens : « Scito omnes sanctos in hac operatione fuisse. Quantum in hoc mundo sumus, et consolatio cum afflictionibus nobis abundat. Ideo quotidie et omni horæ a vobis quæritur divini amoris probatio in certamine et pugna adversus tentationes : quæ est vos non tristari, neque negligentes esse in certamine. Atque ita dirigitur via vestra. Qui autem vult ex his dejici et ab hac declinare, is est pars luporum. « O mirus viri sermo ! Quomodo paucis verbis oraculum illud firmavit, illudque sensu plenum ostendit ac perfecte dubitationem ex legentis mente repulit ! » — « Ille vero, ait, qui ex his declinat et pars luporum factus est, in invio vult incedere, et in sua mente posuit eam sortem habere, et in propriis semitis, non a Patribus conculcatis vult incedere. « Et paulo post : « Humilitas sine operibus, multa admittit peccata : opera vero sine humilitate, prorsus inutilia sunt. » Et paulo post : « Quemadmodum sal cibo, ita humilitas omni virtuti ; et vim omnium peccatorum ea potest conterere ; ultra eam necesse est ut indesinenter secundum mentem tristemur in humiliatione et mœrore dijudicationis ; et eam si possideamus filios Dei nos efficit ; et absque bonis operibus nos præstat Deo ; itaque sine illa, omnia opera nostra vana sunt, et omnes virtutes et omnes operationes. Cæterum cogitationis mutationem vult Deus. » Et : « Mente meliores fiamus : ea sola potest nos absque auxilio coram Deo statuere, et pro nobis loqui. » Dicit adhuc : « Dixit quidam sanctorum : cum supervenerit tibi superbiæ sensus, dicens tibi : Memento virtutum tuarum, dic Senex, inspice tuam fornicationem. »

Σύνες ἐκεῖνο τὸ, εἰς ἕκαστον· ὅτι καὶ ἡ φύσις, μία ἐστίν. Ἵνα γὰρ μὴ νομίσῃς ὅτι περὶ τῶν ὑποδεεστέρων καὶ ἐλαχίστων μόνων εἶπε, καὶ οἱ τέλειοι ἐλεύθεροι τῆς ἀλλοιώσεως, καὶ ἐν μιᾷ τάξει ἀκλινῶς ἵστανται οὗτοι, χωρὶς ἐμπαθῶν λογισμῶν, καθὼς καὶ οἱ Εὐχῖται λέγουσι, διὰ τοῦτο ἔθηκε τὸ, εἰς ἕκαστον. Πῶς οὖν τοῦτο, ὦ Μακάριε ; Ὅμως σὺ λέγεις, τὸ ψύχος, καὶ μετὰ μικρὸν, καύσων· καὶ ἴσως χάλαζα· καὶ μετ' ὀλίγον, εὐδία. Καὶ ἐν τῇ γυμνασίᾳ ἡμῶν, οὕτω γίνεται· πόλεμος, καὶ ἀντίληψις τῆς χάριτος· καὶ ἐν καιρῷ, γίνεται ἡ ψυχὴ ἐν χειμῶνι· καὶ ἐπανίστανται ἐπ' αὐτὴν κύματα σκληρά. Καὶ πάλιν ἀλλοίωσις, ἐπισκεπτομένης τῆς χάριτος, καὶ πληρούσης τὴν καρδίαν αὐτοῦ, χαρᾶς τε καὶ εἰρήνης τῆς ἀπὸ τοῦ Θεοῦ· καὶ λογισμῶν σωφρόνων καὶ εἰρηνικῶν· τούτους τοὺς λογισμοὺς τῆς σωφροσύνης ἐκφαίνει ὧδε, αἰνιττόμενος τοὺς πρὸ τούτου, κτηνώδεις ὄντας, καὶ ἀκαθάρτους. Καὶ παραινεῖ λέγων· « Ἐὰν οὖν μετὰ τούτους τοὺς λογισμοὺς τοὺς σώφρονας, καὶ ἐπιεικεῖς, ἀκολουθῇ ἐπιφορὰ, μὴ λυπηθῶμεν καὶ ἀπογνῶμεν. » Καὶ ἐν τῇ ὥρᾳ τῆς ἀναπαύσεως τῆς χάριτος, μὴ καυχησώμεθα πάλιν, ἀλλ' ἐν καιρῷ τῆς χαρᾶς, ἐκδεξώμεθα τὴν θλῖψιν. Καὶ προῖών· « Γνῶθι ὅτι πάντες οἱ ἅγιοι ἐν τούτῳ τῷ ἔργῳ ἐγένοντο. Ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἡ παράκλησις ἡ περισσὴ, μετὰ τούτων γίνεται ἡμῖν ἐν τῷ κρυπτῷ. Διότι ἐν πάσῃ ἡμέρᾳ, καὶ ἐν πάσῃ ὥρᾳ, ἐκζητεῖται παρ' ἡμῶν ἡ δοκιμὴ τῆς πρὸς Θεὸν ἀγάπης ἡμῶν, ἐν πάλῃ καὶ ἀγῶνι, πρὸς τοὺς πειρασμούς. Καὶ τοῦτό ἐστι τὸ μὴ λυπεῖσθαι ἡμᾶς, τὸ μὴ ἀκηδιᾷν τῷ ἀγῶνι. Καὶ οὕτω κατευθύνεται ἡ ὁδὸς ἡμῶν. Ὁ δὲ θέλων ἐκ τούτων τραπῆναι, ἢ κλῖναι, οὗτος τῶν λύκων μέρος ἐστίν. » Ὦ θαῦμα ἐκ τούτου τοῦ ἁγίου ! Πῶς ἐν λόγῳ μικρῷ, βεβαίωσε τὴν χρῆσιν ταύτην, καὶ ἀπέδειξεν αὐτὴν πεπληρωμένην συνέσεως, καὶ ἐξέβαλε τὸν δισταγμὸν τελείως ἐκ τῆς διανοίας τοῦ ἀναγινώσκοντος ! « Ἐκεῖνος δὲ, φησὶν, ὁ ἐκκλίνων ἐκ τούτων, καὶ μέρος τῶν λύκων ὤν, ἐν οὐχ ὁδῷ θέλει πορεύεσθαι, καὶ τοῦτο ἔθηκεν ἐν τῇ διανοίᾳ αὐτοῦ κτήσασθαι, καὶ ἐν τρίβῳ ἰδικῇ, τῇ μὴ πατηθείσῃ ὑπὸ τῶν Πατέρων, πορεύεσθαι βούλεται. » Καὶ μετὰ μικρόν· « Ἡ ταπείνωσις, καὶ χωρὶς ἔργων, πολλὰ συγχωρεῖ πλημμελήματα· ταῦτα δὲ, χωρὶς αὐτῆς, ἐξεναντίας ἀνωφελῆ εἰσι. » Καὶ μετὰ βραχύ· « Καθάπερ ἅλας τῇ τροφῇ, οὕτως ἡ ταπείνωσις πάσῃ ἀρετῇ· καὶ ἰσχὺν πολλῶν ἁμαρτημάτων αὕτη δύναται συντρῖψαι· ὑπὲρ ταύτης λοιπὸν χρεία τοῦ λυπεῖσθαι ἀδιαλείπτως κατὰ διάνοιαν, ἐν ταπεινότητι, καὶ ἐν τῇ λύπῃ τῆς διακρίσεως· καὶ ταύτην ἐὰν κτησώμεθα, υἱοὺς ἡμᾶς ποιεῖ τοῦ Θεοῦ· καὶ χωρὶς ἔργων ἀγαθῶν παριστᾷ ἡμᾶς τῷ Θεῷ· διότι χωρὶς ταύτης, πάντα τὰ ἔργα ἡμῶν μάταιά εἰσι, καὶ πᾶσαι αἱ ἀρεταὶ, καὶ πᾶσαι αἱ ἐργασίαι. Λοιπὸν τὴν ἀλλοίωσιν τῆς διανοίας θέλει ὁ Θεός. » Καὶ· « Ἐν διανοίᾳ βελτιούμεθα· αὐτάρκεῖ αὕτη μόνη ἀβοηθήτως ἱστασθαι ἐνώπιον τοῦ Θεοῦ· καὶ λαλεῖν ὑπὲρ ἡμῶν. » Ἔτι φησὶν· Εἶπέ τις τῶν ἁγίων· Ὅταν ἔλθῃ σοι ὁ λογισμὸς τῆς ὑπερηφανίας, λέγων σοι, Μνημόνευσον τῶν ἀρετῶν σου, εἰπέ· Γέρον, βλέπε τὴν πορνείαν σου. »

De pœnitentia, puritate et perfectione.

44 Omnis cursus perfectio in his tribus est : in *pœnitentia* et puritate et perfectione. Quid autem est *pœnitentia* ? Priora relapsus et de his tristari,

Περὶ μετανοίας, καθαρότητος καὶ τελειότητος.

μδ'. Τελειότης παντὸς δρόμου, ἐν τοῖς τρισὶ τούτοις ἐστίν· ἐν τῇ μετανοίᾳ, καὶ τῇ καθαρότητι, καὶ τῇ τελειότητι. Τί δέ ἐστιν ἡ μετάνοια ; Καταλείψαι

τὸ πρίτερα, καὶ λυπεῖσθαι ὑπὲρ αὐτῶν. Καὶ τί ἐστιν ἡ καθαρότης συντόμως; Καρδία ἐλεήμων ὑπὲρ πάσης κτιστῆς φύσεως. Καὶ τί ἐστιν ἡ τελειότης; Βίβλος ταπεινώσεως, ὅπερ ἐστὶ κατάλειψις πάντων ὁρατῶν τε καὶ ἀοράτων, ὁρατῶν μὲν, πάντων τῶν αἰσθητῶν· ἀοράτων δὲ, τῶν νοητῶν· καὶ ἐκτὸς μερίμνης τῆς ὑπὲρ αὐτῶν. Ἔτι, μετάνοιά ἐστι, διπλῆ νέκρωσις ἐκουσίως ἐκ πάντων. Καρδία ἐλεήμων ἐστὶ, καῦσις καρδίας ὑπὲρ πάσης τῆς κτίσεως, ὑπὲρ τῶν ἀνθρώπων, καὶ τῶν ὀρνέων, καὶ τῶν ζώων, καὶ τῶν δαιμόνων, καὶ ὑπὲρ παντὸς κτίσματος. Καὶ πάλιν, ὅσον ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ καὶ ἐν τῇ σαρκὶ καταλελειμμένοι, ἐὰν ἐως τῆς ἁψίδος τῶν οὐρανῶν ὑψωθῶμεν, χωρὶς ἔργων, καὶ μόχθου γενέσθαι ἡμᾶς, ἐν ἀμεριμνίᾳ τε εἶναι, οὐ δυνάμεθα· τοῦτό ἐστι τὸ τελείωμα, Συγχώρησόν μοι· τὸ πλέον δὲ τούτου, μελέτη ἐστί· τουτέστι χωρὶς διανοίας. Καὶ ὁ ἅγιος Μάξιμος· « Ἡ κατὰ ἀρετὴν φιλοσοφία, γνώμης ἀπάθειαν, ἀλλ' οὐ φύσεως, ἐργάζεσθαι πέφυκε· καθ' ἣν δηλαδὴ τὴν γνωμικὴν ἀπάθειαν, ἡ κατὰ νοῦν τῆς θείας ἡδονῆς ἐπιγίνεται χάρις. » Καὶ αὖθις· « Ὁ λύπης καὶ ἡδονῆς σαρκὸς πεῖραν λαβὼν, λέγοιτ' ἂν δόκιμος, ὡς εὐχερείας, καὶ δυσχερείας τῶν περὶ σάρκα πραγμάτων πεπειραμένος, τέλειος δὲ, ὁ τὴν ἡδονὴν τῆς σαρκὸς, καὶ τὴν ὀδύνην, τῇ τοῦ λόγου δυνάμει καταπαλαίσας, ὁλόκληρος δὲ, ὁ τὰς κατὰ τὴν πρᾶξιν καὶ τὴν θεωρίαν ἕξεις, ἀτρέπτους τῇ περὶ τὸ Θεῖον συντονίᾳ διατηρήσας. Διὰ δὴ ταῦτα, καὶ μείζων πασῶν τῶν ἀρετῶν ἡ διάκρισις εἶναι διώρισται, ὡς, ἐν οἷς ἂν ἐγγένηται, εὐδοκίᾳ Θεοῦ, ἐξὸν τῷ θείῳ φωτὶ αὐγαζομένοις, καὶ θεῖα, καὶ ἀνθρώπινα διακρίνειν ἠκριβωμένως πράγματα, καὶ μυστικὰ, καὶ ἀπόκρυφα θεάματα, εἶεν· ὥρα δὲ καθεξῆς μικρόν πως ὡς ἐφικτὸν διαμεθοδεῦσαί σοι καὶ τὴν τῆς προειρημένης ἱερᾶς καὶ θεοποιοῦ ἡσυχίας ἀρχὴν, οἱονεὶ ἐκλεπτότερον, ὁ δὲ Θεὸς ἡγείσθω καὶ τῶν ἤδη ῥηθησομένων.

A Et quid est compendiose puritas? Profunda humilitas, quæ est omnium visibilium et invisibilium derelictio, visibilium quidem, omnium sensibilium; invisibilium autem, intelligibilium nempe; et extra etiam eorum memoriam. Et adhuc pœnitentia est dupliciter omnibus mori. Cor misericors est cordis ustio super omni creatura, super hominibus et avibus et animalibus et dæmonibus et super omnibus quæ creata sunt. Et rursum, quantum sumus in hoc mundo et in carne relicti, donec ad cœlorum fornicem attolamur, absque operibus et labore nos esse et in securitate non licet. Ea est perfectio. Dimitte mihi: quod autem ultra id est, sollicitudo est, id est absque ratione. » Et sanctus Maximus: « Quæ secundum virtutem est philosophia, mentis B tranquillitatem, non naturæ, operari potest; per quam spiritualem tranquillitatem, menti divinæ gratiæ gaudium subintrat. » Et rursum: « Qui carnis tristitiæ et lætitiæ experimentum accepit, probatus dici potest, quippe qui de studio aut tædio carnalium actuum tentatus est; perfectus autem qui carnis lætitiam aut dolorem rationis virtute domuit; victor omnino qui actu et contemplatione habitus constantia circa Deum immutabiles servavit. Per hæc sane et major omnibus virtutibus discretio esse demonstratur, ita ut iis in quibus gignitur, divino lumine illustratis liceat et divina et humana et mystica et arcana spectacula accurate discernere. Tempus autem est ordine tibi paululum pro viribus ostendendi sacræ ac deificæ quam annuntiavimus C pacis principium, ut manifestim; Deus autem et ea quæ dicturi sumus, dirigat.

Περὶ τῶν πέντε ἐργασιῶν τῆς πρώτης καὶ οἷον εἰσαγωγικῆς ἡσυχίας τῶν ἀρχαρίων, ἤγουν προσευχῆς, ψαλμῳδίας, ἀναγνώσεως, μελέτης, καὶ ἐργοχειρου.

De quinque operationibus primæ et ut ductoriæ incipientium paris, nempe oratione, psalmodia, lectione, meditatione et manuum labore.

με'. Διὰ πέντε ἐργασιῶν, δι' ὧν ὁ Θεὸς θεραπεύεται, ὀφείλει ὁ ἐν ἡσυχίᾳ ἀρχάριος διέρχεσθαι τὸ νυχθήμερον, δηλαδὴ ἐν προσευχῇ, ἤτοι μνήμῃ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ διηνεκῶς εἰσαγομένῃ [*ἐν ἄλλ.* προσαγομένῃ], ὡς προείρηται διὰ πνοῆς ῥινὸς ἐν τῇ καρδίᾳ ἠρέμα, καὶ αὖθις οὕτως ἐξαγομένῃ, μεμυκότων χειλέων, δίχα τῆς οἱασοῦν ἄλλης ἐννοίας, καὶ φαντασίας, ἧτις δι' ἐγκρατείας περιεκτικῆς γαστρὸς, φαμὲν, ὕπνου τε καὶ τῶν ἄλλων αἰσθήσεων, ἔνδον τοῦ κελλίου, σὺν ταπεινώσει εἰλικρινεῖ κατορθοῦται, ἐν ψαλμῳδίᾳ, ἐν ἀναγνώσει ἔκ τε τοῦ ἱεροῦ Ψαλτηρίου, Ἀποστόλου, καὶ τῶν ἁγίων Εὐαγγελίων, τῶν τε συγγραμμάτων τῶν θεοφόρων, καὶ ἁγίων Πατέρων, καὶ μάλιστα τῶν περὶ προσευχῆς, καὶ νήψεως κεφαλαίων, πρὸς δὲ, καὶ τῶν λοιπῶν ἐνθέων λογίων τοῦ Πνεύματος, ἐν ἐμπόνῳ καρδίας ἐνημῇ τῶν ἁμαρτημάτων, καὶ ἐν μελέτῃ κρίσεως Θεοῦ, ἢ θανάτου, ἢ κολάσεως, ἢ ἀπολαύσεως, καὶ τῶν ὁμοίων· καὶ ἐν ἐργοχείρῳ μικρῷ ὡς ἀκηδίας φιμώτρῳ, καὶ πάλιν ἐπανακάμπτειν εἰς προσευχὴν, κἂν

45. Per quinque operationes, quibus Deus colitur, noctem ac diem transire debet is qui incipit, nempe orationem, et memoriam Domini Jesu Christi continuam, inductam, ut dictum est, per naris inspirationem suaviter in corde et rursum eductam, D compressis labiis, sine ulla alia cogitatione et imaginatione quæ per universam ventris temperantiam dicimus, somni et aliorum sensibilium, intra cellulam, cum sincera humilitate, perficitur, in lectione sacri psalterii, Apostoli, sanctorum Evangeliorum, sacræ Scripturæ, et sanctorum Patrum, ac præsertim capitum de oratione et vigilantia, et ad hæc cæterorum divinorum sancti Spiritus oraculorum, in laboriosa cordis peccatorum memoria, et in meditatione Judicii Dei aut mortis, aut supplicii æterni, aut cœli deliciarum et similium, et in manuum labore tenui, ut acedia constringatur; et rursum oportet genua flectere ad orationem, etsi id vim patiatur, donec mens assuefacta sit propriam inconstantiam deponere frequenti ad Dominum Jesum

Christum locutione, et continua memoria et continua ad internum thesaurum, cordis nempe absconditum locum, inclinatione et firma radicum emissione. Scribit enim et sanctus Isaac : « Nitere in thesaurum qui intra te est ingredi et videbis cœlestem thesaurum. Unam enim aliquid et idem est hic et ille ; et in eodem introitu ambo contemplaris. » Et sanctus Maximus : « Cor totum organum dirigit, et postquam cordis pascua comprehenderit gratia, omnibus cogitationibus membrisque imperat. Ibi enim est mens et omnes animæ cogitationes ; ibi igitur oportet attendere, num inscripserit leges gratia sancti Spiritus. » Ibi : ubi? In organo quod cætera dirigit, in gratiæ sede, ubi est mens, ubi omnes animæ cogitationes, scilicet in corde.

Α βίαν ἔχῃ τὸ πρᾶγμα, ἕως οὗ ἐρίσῃ ὁ νοῦς, τὸν ἴδιον ῥεμβασμὸν ἀποτίθεσθαι ῥᾳδίως τῇ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀδολεσχίᾳ ὁλικῇ, καὶ μνήμῃ διηνεκεῖ, καὶ τῇ πρὸς τὸ ἔνδον ταμεῖον, ἤγουν τὸν περὶ τῆς καρδίας ἀπόκρυφον χῶρον, συνεχεῖ ἐπινεύσει, καὶ ἐρριζώσει πεπηγυίᾳ. Γράφει καὶ γὰρ ὁ ἅγιος Ἰσαάκ· « Σπούδασον εἰσελθεῖν εἰς τὸ ταμεῖον τὸ ἐνδοθέν σου, καὶ ὄψει τὸ ταμεῖον τὸ οὐράνιον· ἐν γάρ ἐστι τοῦτο κἀκεῖνο· καὶ ἐν μιᾷ εἰσόδῳ θεωρεῖς τὰ ἀμφότερα. » Καὶ ὁ ἅγιος Μάξιμος· « Ἡ καρδία ἡγεμονεύει ὅλου τοῦ ὀργάνου, καὶ ἐπὶν κατάσχῃ τὰς νομὰς τῆς καρδίας ἡ χάρις, βασιλεύει ὧν τῶν λογισμῶν καὶ τῶν μελῶν. Ἐκεῖ γάρ ἐστιν ὁ νοῦς, καὶ πάντες οἱ λογισμοὶ τῆς ψυχῆς, ἐκεῖ τοίνυν δεῖ σκοπεῖν· εἰ ἐνέγραψεν ἡ χάρις τοῦ παναγίου Πνεύματος τοὺς νόμους. » Ἐκεῖ· ποῦ; Ἐν τῷ ἡγεμονικῷ ὀργάνῳ, ἐν τῷ τῆς χάριτος θρόνῳ, ὅπου ὁ νοῦς, καὶ τῆς ψυχῆς πάντες οἱ λογισμοί, ἐν τῇ καρδίᾳ δηλαδή.

Unde incipiendum est iis qui secundum rationem pacem agere volunt ; et quodnam est principium, et incrementum, et quinam profectus et quænam perfectio.

Ὅθεν ἄρχεσθαι δεῖ τοὺς ἐθέλοντας κατὰ λόγον ἡσυχάσαι, καὶ τίς ἡ ἀρχὴ, καὶ ἡ αὔξησις, καὶ ἡ προκοπὴ καὶ ἡ τελείωσις.

46. Ipsa priscorum monachorum operatio, primo et tanquam introductoria eorum qui secundum rationem pacem agere student, qui incipiunt a timore Dei, et omnium divinorum mandatorum pro viribus adimpletione, contemptus rationabilium ac irrationabilium rerum, et præsertim fides ac eorum quæ huic sunt contraria præceps fuga, et ad eum qui vere est sincera dispositione, ut dictum est ; qui autem crescunt spe immaculata, et in mensuram ætatis plenitudinis Christi : pergunt per amorem qui oratione cordis pura et constanti oritur, qui omnino divinus est et excellens atque ita perfectus, per immobilem et indesinentem spiritualem orationem et ex perfecta charitate scaturientem, ad solum verum Deum immediata exstasi, receptu ac unione summi mandati, quod est profectus per actus contemplatione directos, et resurrectio, quam expertus avus Domini David, et beata illa conversione mutatus, magna voce clamabat : « Ego dixi in excessu meo : Omnis homo mendax [19] » Et alius eorum qui in veteri Testamento exceliuere . » « Oculus non vidit, neque auris audivit, neque in cor hominis ascendit quæ præparavit Deus diligentibus se [20]. » Atque idem innuens magnus Paulus dicit : « Nobis autem revelavit per Spiritum suum : Spiritus enim omnia scrutatur, etiam profunda Dei [21]. »

Αὕτη ἡ ἐργασία τῶν ἀρχαίων μοναχῶν, ἡ πρώτη, καὶ οἷον εἰσαγωγικὴ τῶν αἱρουμένων κατὰ λόγον ἡσυχάσαι, ἀρχομένων μὲν ἀπὸ φόβου Θεοῦ, καὶ ἐκπληρώσεως τῆς κατὰ δύναμιν πασῶν τῶν θεοποιῶν ἐντολῶν· ἀμεριμνίας ἐξ εὐλόγων, καὶ ἀλόγων πραγμάτων, καὶ πρό γε πίστεως καὶ ἀποφυγῆς τῶν ἐναντίων παντελοῦς, καὶ πρὸς τὸ ὄντως ὂν ἀκραιφνοῦς διαθέσεως, ὡς προείρηται, αὐξανομένων δὲ ἐλπίδι ἀκαταισχύντῳ, καὶ εἰς μέτρον ἡλικίας προβαινόντων τοῦ πληρώματος τοῦ Χριστοῦ, τῷ διὰ προσευχῆς καρδιακῆς καθαρᾶς, καὶ ἀῤῥεμβάστου ἐγγινομένῃ, ὁλικῷ ἐνθέῳ, καὶ διαφόρῳ ἔρωτι, καὶ οὕτω τελειουμένῳ, τῇ ἀκινήτῳ καὶ ἀκλινεῖ πνευματικῇ προσευχῇ, καὶ τῇ ἐκ τῆς τελείας ἀγάπης πηγαζομένῃ πρὸς μόνον μόνῃ ἀμέσῳ ἐκστάσει, ἁρπαγῇ τε καὶ ἑνότητι τοῦ ἄκρου ἐφετοῦ, ὅπερ ἐστὶν ἡ διὰ πράξεως πρὸς θεωρίαν ἁπλανὴς προκοπὴ καὶ ἀνάστασις [*lat.* ἀνάτασις], ἣνπερ παθὼν καὶ ὁ θεοπάτωρ Δαβὶδ, καὶ ἀλλοιωθεὶς τὴν μακαρίαν ἐκείνην ἀλλοίωσιν μέγα ἀνεβόησεν· « Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης. » Καὶ ἕτερος τῶν ἐν τῇ Παλαιᾷ διαπρεψάντων· « Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Καὶ τοῦτο συμπεραίνων ὁ μέγας Παῦλος ἐπάγει τό· « Ἡμῖν δὲ ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ· » τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

De ordinatione incipientium pacis.

Περὶ τάξεως ἡσυχίας ἀρχαρίων.

47. Incipiens igitur, ut diximus, debet non continuo e cella egredi, omnium conversatione de visu abstinere, nisi magna adsit necessitas, et tunc cum animadversione et securitate, et raro, ut ait divinus Isaac : De omni re ea remaneat in te memoria, nempe quod melius est auxilium quod ex custodia oritur quam quod ex operibus. » Nec modo incipientibus, sed et iis qui jam dissipationem

μζ'. Ὁ τοίνυν ὡς προείπομεν ἀρχάριος ὀφείλει μὴ συνεχῶς ἐξέρχεσθαι τῆς αὐτοῦ κέλλης, ὁμιλίας τε καὶ θεωρίας ἀπέχεσθαι πάντων, εἰ μὴ διὰ πολλὴν ἀνάγκην, καὶ τότε μετὰ προσοχῆς καὶ ἀσφαλείας, καὶ σπανίως, ὡς φησιν ὁ θεῖος Ἰσαάκ· « Περὶ παντὸς πράγματος αὕτη ἡ μνήμη ἐμμεινάτω ἐν σοὶ, ὅτι κρείττων ἐστὶν ἡ βοήθεια ἡ ἐκ τῆς παραφυλακῆς, ὑπὲρ τὴν βοήθειαν τὴν ἐξ ἔργων, » καὶ ὅτι γε-

[19] Psal. cxv, 11. [20] Isa. lxiv, 4. ; I Cor. II, 9. [21] ibid 10.

μὴ μόνον ἀρχαρίοις, ἀλλὰ καὶ αὐτοῖς τοῖς προκόπτουσιν ἤδη σκορπισμὸν, καὶ διάχυσιν τὰ τοιαῦτα προξενεῖ, ὡς ὁ αὐτὸς αὖθις ἅγιος Ἰσαὰκ φησιν, ὅτι « Ἡ ἀνάπαυσις τοὺς νέους βλάπτει μόνον, ἡ δὲ λύσις καὶ τοὺς νέους, καὶ τοὺς γέροντας, καὶ ἡ ἡσυχία τὰς ἔξω αἰσθήσεις νεκροῖ, καὶ τὰς ἔσω κινήσεις ἐγείρει, ἡ δὲ ἔξω ἀναστροφὴ τὰ ἐναντία τούτων πράττει, ἡγοῦν τὰς ἔξω αἰσθήσεις ἐγείρει, καὶ τὰς ἔσω κινήσεις νεκροῖ. » Καὶ ὁ μὲν τὴν πρᾶξιν, ναὶ μὴν καὶ τὴν κατὰ τὸ εὖ πράττειν ὁδὸν τῆς ἡσυχίας οὕτως εἰπὼν ὑπεμφαίνει· ὁ δὲ τῆς Κλίμακος, τὸν κατὰ τὴν τρίβον καλῶς πράττοντα καὶ βαδίζοντα, διὰ τῶν ἑξῆς ἐπισημαίνει γράφων· « Ἡσυχαστής ἐστιν ὁ τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περιορίζειν φιλονεικῶν, τὸ παραδοξότατον· καὶ ἡσυχαστής ἐστιν ἐκεῖνος ὁ εἰπών· Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ· καὶ κλεῖε μὲν θύραν κέλλης σώματι, καὶ θύραν γλώττης φθέγματι, καὶ ἔνδον πύλην πνεύμασιν.

A reciderunt et confusionem hæc utilia sunt, ut idem rursum dicit sanctus Isaac « Requies solummodo recentiores lædit, relaxatio autem et juvenes et senes, et pax externos sensus mortificat, internos autem excitat motus; et ad externa conversio iis contraria efficit, scilicet externos excitat motus, et internos mortificat. » Ac ille quidem actionem, imo vero per bonum pacis viam his verbis indicat; Climax, eum qui hac semita bene agit et procedit, per ea quæ sequuntur significat scribens. « Pacificus est qui incorporeum in corporea domo determinare studens, quod est maxima laude dignum; et pacificus est ille qui dixit: « Ego dormio, sed cor meum vigilat; et clausit quidem corporis cellulæ ostium, et linguæ ostium sono, et intus B spiritibus ostium clausit. »

Περὶ τῆς διὰ προσοχῆς, καὶ νήψεως προσευχῆς καρδιακῆς, καὶ τῆς ἐργασίας αὐτῆς.

μη'. Ἡ σὺν προσοχῇ καὶ νήψει γινομένη ἔνδον καρδίας, ὡς εἴρηται, προσευχὴ, χωρὶς ἄλλης ἐννοίας, δηλονότι, καὶ φαντασίας τῆς οἱασοῦν, διὰ μὲν τοῦ, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, πρὸς αὐτὸν τὸν μνημονευόμενον Κύριον Ἰησοῦν Χριστὸν ἀῦλως, καὶ ἀλαλήτως παντάπασιν ὁ νοῦς ἀνατείνεται, διὰ δὲ τοῦ, Ἐλέησόν με, παλινδρομεῖ, καὶ κινεῖται πρὸς ἑαυτὸν ὡς οὐκ ἀνεχόμενος ἑαυτοῦ μὴ ὑπερεύχεσθαι· πρὸς ἀγάπην δὲ προκόψας διὰ πείρας ἐνικῶς, τὸ καθόλου πρὸς αὐτὸν τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀνατείνεται· τοῦ δευτέρου πληροφορίαν ἐναργῆ λαβών.

De oratione quæ cum attentione et cordis vigilantia fit, et de ejus operatione.

48. Quæ cum attentione ac vigilantia intra cor fit oratio, ut dictum est, absque alia cogitatione et imaginatione per eas voces: Domine Jesu-Christe, Fili Dei, ad ipsum memoratum Dominum Jesum Christum absque sono ac locutione omnino, mens protenditur. Per illud autem « Miserere mei » recurrit et ad seipsam movetur, tanquam non sustinens pro se non orare; ad charitatem vero proficiens singulariter per experimentum, ad ipsum Dominum Jesum Christum vertitur, secundi enim manifestam persuasionem accepit. C

Ὅπως τὴν προσευχὴν οἱ θεῖοι Πατέρες παρέδοσαν λέγειν ἡμᾶς, καὶ ὅτι διαφόρως, καὶ τίς ἡ προσευχή.

μθ'. Διόπερ οὐκ ἀεὶ τὴν προσευχὴν ὁλόκληρον οἱ θεῖοι Πατέρες πάντες παραδιδόντες φαίνονται, ἀλλ' ὁ μὲν, ὁλόκληρον, ὁ δὲ, τὸ ἥμισυ· ὁδὲ, ἀπὸ μέρους, καὶ ἕτερος, ἑτέρως, πρὸς τὴν τοῦ προσευχομένου ἕξιν δύναμιν καὶ κατάστασιν. Καὶ ὁ μὲν θεῖος Χρυσόστομος ὁλόκληρον αὐτὴν παραδίδωσιν οὕτω λέγων· « Παρακαλῶ ὑμᾶς, ἀδελφοὶ, τὸν κανόνα τῆς προσευχῆς μηδέποτε καταπατήσητε, ἢ καταφρονήσητε. Ἤκουσα γάρ ποτε τῶν Πατέρων λεγόντων, ὅτι Ποῖος ἐκεῖνος ὁ μονάζων, ἐὰν τὸν κανόνα καταφρονήσῃ, ἢ καταπατήσῃ; ἀλλὰ ὀφείλει εἴτε ἐσθίει εἴτε πίνει, εἴτε καθέζεται, εἴτε διακονεῖ, εἴτε ὁδεύει, εἴτε τι ἕτερον ποιεῖ, ἀδιαλείπτως κράζειν τὸ, Κύριε Ἰησοῦ Χριστὲ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, ἵνα αὐτὴ ἡ μνήμη τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐρεθίσῃ πρὸς πόλεμον τὸν ἐχθρόν. Πάντα γὰρ διὰ τῆς μνήμης ἔχει εὑρεῖν ἡ βιαζομένη ψυχὴ, εἴτε πονηρὰ, εἴτε ἀγαθά. Πρῶτον δὲ τὸ κακὸν ἔχει ἰδεῖν ἔσωθεν ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ τότε τὰ καλά· ἡ γὰρ μνήμη ἔχει κινῆσαι τὸν δράκοντα, καὶ ἡ μνήμη ἔχει αὐτὸν ταπεινῶσαι· ἡ μνήμη ἐλέγξαι τὴν ἐν ἡμῖν οἰκοῦσαν ἁμαρτίαν, καὶ ἡ μνήμη ἔχει αὐτὸν δαπανῆσαι καὶ κινῆσαι πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ ἐν τῇ καρδίᾳ, καὶ ἡ μνήμη ἔχει αὐ-

Quomodo orationem divini Patres nobis dicere tradiderunt, et quod excellenter, et quænam est oratio.

49. Itaque non semper orationem universam divini Patres omnes tradidisse videntur, sed unus quidem universam, alius autem dimidiam; alter ex parte, alter alio modo, ad orantis vires et statum. Et divinus quidem Chrysostomus, universam eam tradidit, dicens. « Hortor vos, fratres, ut nunquam orationis regulam conculcetis aut contemnatis. Audivi enim Patres dicentes. Quis est monachus iste, qui regulam contemnat aut conculcet, sed debet, sive manducet, sive bibat, sive sedeat, sive serviat, sive iter faciat, sive quid aliud agat, indesinenter id clamare. « Domine Jesu Christe, Fili Dei, miserere mei, » ut ipsa Domini nostri Jesu Christi memoria eum excitet ad impugnandum inimicum. Omnia enim per memoriam potest invenire vim patiens anima, sive mala, sive bona. Primum autem malum ei licet in corde suo videre, et deinde bona. Memoria enim potest draconem movere, et memoria potest eum humiliare. Memoria potest peccatum in nobis habitans deprehendere, et memoria potest ipsum pessumdare, et movere in corde omnem virtutem inimici, et memoria potest eam vincere et eradicare per partes; ut nomen Domini Jesu Christi in cordis profundum descendens,

draconem qui pascua occupat, humiliet, animam vero salvet ac vivificet. Indesinenter igitur adhærere nomini Domini Jesu, ut ebibat cor tuum Dominum, et Dominus cor, et duo in unum fiant. Sed hoc opus est non unius diei, sed multi temporis ; multo certamine et tempore opus est, ut ejiciatur inimicus, et introducatur Christus. » Et rursum, « Oportet confirmare et intus habere mentem, et fræna ipsi injicere, et omnem cogitationem omnesque malignos vires per invocationem Domini nostri Jesu-Christi castigare. » Et ubi stat corpus, ibi sit et mens, ut inter Deum et cor nihil inveniatur, intermedium aut septum cor obscurans idque a Deo sejungens. Si vero quid mentem rapiat, non cogitationibus morandum est ; ne assensus hisce cogitationibus ipsi imputetur in die judicii coram Domino, quando judicabit Deus occulta hominum. Vacate igitur semper, et adhærete Domino Deo nostro, donec miscreatur vestri, nec quidquam aliud quærite, nisi solam misericordiam *a Domino gloriæ*. Quærentes autem misericordiam, in humili et miserabili corde quærite, et clamate a mane ad vesperam, et si fieri possit totam noctem illud « Domine Jesu Christe, miserere mei, et cogite mentem vestram ad illud opus usque ad mortem. Multa enim violentia opus est, quoniam angusta et porta et arcta via, quæ ducit ad vitam, et violenti ingrediuntur in ea ; violentorum est enim regnum cœlorum. Hortor igitur vos, ne separetis a Deo corda vestra ; sed adhæreatis ei et corda custodiatis ubique et semper cum memoria Domini nostri Jesu Christi, donec implantetur nomen Domini intus in corde, et nihil aliud cogitetis, ut magnificetur Christus in vobis. » Ante eum magnus Paulus Dominum Jesum proponens dicit « Si confitearis in ore tuo Dominum Jesum, et credideris in corde tuo, quod Deus suscitavit illum a mortuis, salvus eris. Corde enim creditur ad justitiam, ore autem confessio fit ad salutem. Et rursum : « Nemo dicit : Dominus Jesus, nisi in Spiritu sancto [23]. » Addit autem *in Spiritu sancto*, id est, quando vim Spiritus illud, sancti cor acceperit, per quam ei erat, quod est proficientium, et eorum qui Christo in ipsis manifeste habitante, divites facti sunt. Iis congrua dictitat et sanctus Diadochus « Postulat a nobis omnino mens cum ejus omnes aditus memoria Dei obstruamus, opus quoddam quod ejus solertiæ satisfacere possit. Oportet igitur nos ei dare illud : « Domine Jesu, » solummodo in universam operationem, qua tendat ad scopum. Nemo enim dicit Dominum Jesum, nisi in Spiritu sancto. Sed id stricte verbum in thesauris suis contempletur, ne in phantasias quasdam aberret. Quicunque enim illud gloriosum et amabile nomen in profundo corde continue meditantur, ii possunt et lumen mentis aliquando cernere ; arcto enim studio a cogitatione occupatum, omnes sordes in anima emergentes, in sufficienti sensu adurit. Deus enim

A τὴν νηπτικὴν καὶ ἐκριζοῦται κατὰ μέρος, ἵνα τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ κατερχόμενον εἰς τὸ βάθος τῆς καρδίας, τὸν μὲν δράκοντα τὸν κρατοῦντα τὰς νομὰς ταπεινώσῃ, τὴν δὲ ψυχὴν σώσῃ καὶ ζωοῦ σώσῃ. Ἀδιαλείπτως τοίνυν παράμεινον τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένηται τὰ δύω εἰς ἕν. Ἀλλὰ τὸ ἔργον τοῦτο οὐκ ἔστι μιᾶς ἡμέρας, ἢ δύω, ἀλλὰ χρόνου πολλοῦ καὶ καιροῦ πολλοῦ γὰρ ἀγῶνος καὶ χρόνου χρεία, ὅπως ἐκβληθῇ ὁ ἐχθρὸς, καὶ ἐνοικήσῃ ὁ Χριστός. » Καὶ αὖθις· « Χρὴ ἀσφαλίζεσθαι, καὶ ἡνιοχεῖν τὸν νοῦν, καὶ χαλιναγωγεῖν αὐτὸν, καὶ πάντα λογισμὸν, καὶ πᾶσαν τοῦ πονηροῦ ἐνέργειαν κολάζειν διὰ τῆς ἐπικλήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. » Καὶ B ὅπου τὸ σῶμα ἵσταται, ἐκεῖ ἔστω καὶ ὁ νοῦς, ἵνα μέσον τοῦ Θεοῦ καὶ τῆς καρδίας μηδὲν ἕτερον εὑρίσκηται ὡς μεσότοιχον, ἢ φραγμὸς ἐπισκοτοῦν τὴν καρδίαν, καὶ χωρίζον τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ. Ἐὰν δὲ καί ποτε ἁρπάζῃ τὸν νοῦν, οὐ χρὴ τοῖς λογισμοῖς ἐγχρονίζειν, ἵνα μὴ ἡ συγκατάθεσις τῶν λογισμῶν εἰς πρᾶξιν αὐτῷ λογισθῇ ἐν ἡμέρᾳ κρίσεως ἐνώπιον τοῦ Κυρίου, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. Σχολάσατε τοίνυν διαπαντὸς, καὶ παραμείνατε Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως οὗ οἰκτιρήσῃ ὑμᾶς, καὶ μηδὲν ἕτερον ζητεῖτε, ἢ μόνον ἔλεος παρὰ τοῦ Κυρίου τῆς δόξης. Ζητοῦντες δὲ ἔλεος ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε, καὶ βοᾶτε ἀπὸ πρωΐ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὅλην τὴν νύκτα, τὸ, Κύριε Ἰησοῦ Χριστὲ, ἐλέησόν με, καὶ βιάσασθε C τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου· πολλῆς γὰρ βίας χρείαν ἔχει τὸ ἔργον τοῦτο, ὅτι στενή ἐστιν ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ· βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Παρακαλῶ οὖν ὑμᾶς, μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ Θεοῦ, ἀλλὰ προσμένετε, καὶ φυλάσσετε αὐτὰς μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐν τῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοῇ, ἵνα μεγαλυνθῇ ὁ Χριστὸς ἐν ὑμῖν » Πρὸ δέ γε τούτου ὁ μέγας Παῦλος τὸν Κύριον Ἰησοῦν γράφων φησίν· « Ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν D ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. » Καὶ αὖθις· « Οὐδεὶς λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. » Προστίθησι δὲ τὸ, ἐν Πνεύματι ἁγίῳ, τουτέστιν, ὅταν ἐνέργειαν Πνεύματος ἁγίου δέξηται ἡ καρδία, δι' ἧς καὶ προσεύχεται, ὅπερ ἐστὶ τῶν προκοψάντων, καὶ ἐν αὐτοῖς ἐναργῶς ἐνοικοῦντα τὸν Χριστὸν πεπλουτηκότων. Ἀκόλουθα τούτῳ φάσκει καὶ ὁ ἅγιος Διάδοχος· « Ἀπαιτεῖ ἡμᾶς πάντως ὁ νοῦς, ὅταν αὐτοῦ πάσας τὰς διεξόδους τῇ μνήμῃ ἀποφράξωμεν τοῦ Θεοῦ, ἔργον ὄφελον πληροφορεῖν αὐτοῦ τὴν ἐντρέχειαν. Δεῖ οὖν αὐτῷ διδόναι τὸ, Κύριε Ἰησοῦ, μόνον εἰς ὁτιοῦν πραγματείαν τοῦ σκο-

[23] Rom. x, 9, 10. I Cor. xii, 3.

πῦ· Οὐδεὶς γὰρ, φησὶ, λέγει Κύριον Ἰησοῦν, εἰ μὴ Πνεύματι ἁγίῳ. Ἀλλ' αὐτὸ στενῶς τὸ ῥῆμα διαπαντὸς ἐν τοῖς ταμείοις αὐτοῦ θεωρείτω, ἵνα μὴ εἰς φαντασίας ἐκτρέποιτό τινας. Ὅσοι γὰρ τοῦτο τὸ ἔνδοξον, καὶ πολυπόθητον ὄνομα ἐν τῷ βάθει τῆς καρδίας μελετῶσιν ἀπαύστως, οὗτοι δύνανται καὶ τὸ φῶς τοῦ νοῦ ὁρᾷν ποτε· στενῇ γὰρ μερίμνῃ ὑπὸ τῆς διανοίας κρατούμενον, πάντα τὸν ἐπιπολάζοντα βύσσον τῇ ψυχῇ ἐν αἰσθήσει ἱκανῇ καταφλέγει. Καὶ γὰρ ὁ θεὸς ἡμῶν, φησὶ, πῦρ καταναλίσκον, ὅθεν καὶ εἰς ἀγάπην λοιπὸν παλλὴν τὴν ψυχὴν τῆς αὐτοῦ δόξης προσκαλεῖται ὁ Κύριος· ἐγχρονίζον γὰρ ἐκεῖνο τὸ ἔνδοξον καὶ πολυπόθητον ὄνομα, διὰ τῆς μνήμης τοῦ νοῦ, τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν ἐμποιεῖ πάντως τοῦ ἀγαπᾷν τὴν ἀγαθότητα αὐτοῦ μηδενὸς ὄντος λοιπὸν τοῦ ἐμποδίζοντος. Οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος· ὄντινα πωλήσας πᾶσάν τις τὴν περιουσίαν αὐτοῦ κτήσασθαι δύναται, καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν. Ὁ δὲ ἅγιος Ἡσύχιος τὸν Χριστὸν Ἰησοῦν οὕτω γράφων ἐπιτίθησιν· Ἀναπτᾶσα ψυχὴ διὰ θανάτου ἐν ἀέρι ἐν πύλαις οὐρανίαις μεθ' ἑαυτῆς ὑπὲρ αὐτῆς Ἰησοῦν ἔχουσα, οὔτε ἐκεῖ τοὺς ἐχθροὺς αὐτῆς αἰσχυνθήσεται, ἀλλὰ παῤῥησίᾳ ὡς νῦν, καὶ τότε λαλήσει ἐν πύλαις πρὸς αὐτοὺς, μόνον ἕως ἐξόδου αὐτῆς μὴ ἐκκακήσῃ βοᾷν πρὸς Χριστὸν Ἰησοῦν ἡμέρας τε καὶ νυκτός· καὶ αὐτὸς ποιῶν ποιήσῃ τὴν ἐκδίκησιν αὐτῆς ἐν τάχει, κατὰ τὴν ἀψευδῆ αὐτοῦ καὶ θείαν ὑπόσχεσιν, ἣν ἔφη περὶ τοῦ κριτοῦ τῆς ἀδικίας, καὶ ναὶ λέγω ὑμῖν ποιήσει καὶ ἐν τῇ ζωῇ τῇ παρούσῃ, καὶ μετὰ τὴν τοῦ σώματος αὐτῆς ἔξοδον. Ὁ δέ γε τῆς Κλίμακος, ὃν Ἰησοῦν μόνον φάσκων· Ἰησοῦ ὀνόματι μάσσιζε πολεμίους· οὐ γὰρ ἔστιν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἰσχυρότερον ὅπλον, καὶ οὐδὲν ἄλλο προστίθησι. Καὶ αὖθις δέ φησιν· Ἰησοῦ μνήμῃ κολληθήτω ἡ πνοή σου, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν.

A noster, inquit, ignis consumens, unde et in multam suæ gloriæ dilectionem animam Dominus advocat. Immanens enim illud gloriosum et amabile nomen, per mentis memoriam in cordis calore, habitum nobis ingerit omnino bonitatem ejus diligendi, nullo jam remanente impedimento. Ipse enim est gemma pretiosa, quam aliquis emens, omnes ejus divitias acquirere potest et habere ineffabilem ex ejus inventione lætitiam. Sanctus autem Hesychius, Christum Jesum ita ponens, ait : Evolans anima per mortem in aera ad portas cœlorum secum ac supra se Jesum habens, neque ibi inimicos ejus formidabit, sed cum fiducia, ut nunc et tunc in portis loquetur ad eos, dummodo in exitu non cesset clamare ad Dominum Jesum Christum die ac nocte, et ipse ultionem ipsius peraget cito, juxta suum Deique promissum, quod expressit de judice iniquitatis ; et sane dico vobis, faciet et in vita præsenti et postquam anima ex corpore exierit. » Climacicus vero Jesum solum dicens : Jesu nomine hostes propelle : non enim sunt in cœlo et in terra arma fortiora, et nihil aliud addit. Et rursum dicit : « Memoriæ Jesu uniatur respiratio tua, et tunc bonum pacis voveris. »

B

Ἔτι, ὅτι οὐ μόνον παρὰ τῶν εἰρημένων ἁγίων Πατέρων, ἀλλὰ καὶ ἀπὸ αὐτῶν τῶν κορυφαίων ἀποστόλων, Πέτρου, καὶ Παύλου, καὶ Ἰωάννου εὑρηται μεμυσταγωγημένα πως ἐν πνεύματι τὰ τῆς ἱερᾶς καὶ θεοποιοῦ προσευχῆς ῥήματα.

Item, quod non modo apud dictos sanctos Patres, sed et apud ipsos apostolorum duces, Petrum et Paulum et Joannem inveniuntur mystica in spiritu sacræ ac vivificæ orationis verba.

ν'. Οὐ μόνον δὲ πρὸς τουτοισὶ τῶν εἰρημένων ἐνφόρων Πατέρων, καὶ τῶν κατ' αὐτοὺς, εὑρήσει τις τὰ τῆς ἱερᾶς προσευχῆς τοιαῦτα ῥήματά πως μεμυσταγωγημένα, ἀλλ' οὖν πρό γε τούτων, καὶ ἀπ' αὐτῶν τῶν πρώτων, καὶ κορυφαίων ἀποστόλων, τοὺς περὶ Πέτρον φαμὲν, καὶ Παῦλον, καὶ Ἰωάννην. Ὁ μὲν γάρ φησιν, ὡς προέῤῥηται, « Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ· » ὁ δὲ, « Ἡ χάρις, καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· » καὶ, « Πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν. » Ὁ δέ γε πρόκριτος τῶν τοῦ Χριστοῦ μαθητῶν πρὸς τὴν πρὸς αὐτοὺς τοὺς ἀποστόλους τοῦ Σωτῆρος, καὶ διδασκάλου ἐπερώτησιν, τὴν, « Τίνα με λέγουσιν εἶναι οἱ ἄνθρωποι ; » τὴν μακαριωτάτην ἀντεπάγων ὁμολογίαν, ἀπεκρίνατο· « Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. » Διά τοι τοῦτο καὶ οἱ μετ' αὐτοὺς, ἡμῶν κλεινοὶ παιδοτρίβαι· καὶ μᾶλλον οἱ τὸν ἄζυγον καὶ ἐρημικὸν καὶ ἥσυχον βίον ὁδεύσαντες, τὰς τοιαύτας χρήσεις ὡς σποράδην, καὶ ἀκαιρέρως τοῖς τρισὶ τουτοισὶ στύλοις τῆς εὐαγοῦς Ἐκκλησίας προδιαγγελθείσας, ὡς θείας φωνὰς κατὰ ἀποκάλυψιν ἐν ἁγίῳ Πνεύματι προτεθησαμέ-

50. Nec modo apud hos dictos sanctos Patres et alios inveniri possunt sacræ orationis verba quodammodo mystice consignata, sed et ante eos, apud primos ac duces Apostolorum, Petrum scilicet, Paulum ac Joannem. Unus enim dicit : « Nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto [36] ; » alius : « Omnis spiritus qui confitetur Dominum ipsum in carne venisse, ex Deo est [37]. » Discipulorum autem Christi princeps ad eam quæ ad apostolos a Salvatore ac Magistro directa est, interrogationem : « Quem me dicunt esse homines [38], » beatissimam illam confessionem adducens, respondit : « Tu es Christus, Filius Dei viventis [39]. » Propter id igitur qui eos secuti sunt, inclyti nostri præceptores, et potius qui liberam et eremiticam et tranquillam vitam percurrere, talia oracula collegere sparsa per partes in tribus his purissimæ Ecclesiæ columnis, ut divinas voces per revelationem in Spiritu sancto propositas, imo vero per tres viros fide dignos pleraque annuntiante ac testante, « In tribus enim, inquit, testibus stabit omne verbum cœlestes illi viri in unum optimo colligentes et cum Spiritu in ipsis habitante. Or-

[36] I Cor. xii, 3. [37] I Joan. iv, 2. [38] Matth. xvi, 13. [39] Ibid. 16.

ἑκάστης τῶν δηλωθεισῶν προσηγοριῶν τοῦ θεανθρώπου Λόγου ἱκανούμενοι, καὶ διὰ ταύτης εἰς ἁρπαγάς, καὶ γνώσεις, καὶ ἀποκαλύψεις ὑπεραιρόμενοι, καὶ καταξιούμενοι ἀλαλήτους ἐν πνεύματι. Τούτων εἰς ἐναργῆ πληροφορίαν, καὶ πίστωσιν σαφεστάτην, ὁ γλυκύτατος καὶ φιλόψυχος Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, οὗ αἱ λόγοι ἔργα, καὶ τὰ ῥήματα κατ' αὐτὸν, Πνεῦμά εἰσι, καὶ ζωή εἰσιν, ἀπεφήνατο μάλα διαπρυσίως, ὅτι « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Καί· « Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. » Καὶ αὖθις· « Ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· » καὶ τὰ ἑξῆς κατὰ τὰ προαποδοθέντα ἡμῖν.

Ὅτι ἔξεστι καὶ τοῖς ἀρχαρίοις ποτὲ μὲν ὅλοις τῆς προσευχῆς ῥήμασι, ποτὲ δὲ ἐν μέρει ταύτης προσεύχεσθαι, ἔνδον μέντοι τῆς καρδίας καὶ ἀεὶ, καὶ περὶ τοῦ μὴ μετατάσσειν [Ἰσ. *μετα Διάσσειν*] *συνεχῶς τὰ ῥήματα.*

Quod licet vel incipientibus nunc omnibus orationis verbis, nunc parte tantum ejus orare intra cor tamen et semper, et quod non oportet continuo verba mutare.

να'. Ἔξεστι δὲ καὶ τοῖς ἀρχαρίοις ποτὲ μὲν ὅλοις τοῖς τῆς προσευχῆς ῥήμασι, ποτὲ δὲ ἐν μέρει ταύτης προσεύχεσθαι, ἔνδον μέντοι καρδίας, καὶ διηνεκῶς· κατὰ γὰρ τὸν ἅγιον Διάδοχον, « Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ, ἐκδημεῖ πάντως τῶν ὡραίων τοῦ βίου. Πνεύματι γὰρ περιπατῶν, τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται, ἐπειδὴ λοιπὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τοὺς περιπάτους ὁ τοιοῦτος ποιεῖται, αὐτὰς ὥσπερ τὰς ἀρετὰς πυλωροὺς ἔχων τοῦ τῆς ἀγνείας πολίσματος. Διὸ δὴ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων γίνονται μηχαναὶ ἐπ' αὐτῷ. Γράφει δὲ καὶ ὁ ἅγιος Ἰσαάκ· Τοῦ ἐπισκεπτομένου τὴν ψυχὴν αὐτοῦ ἐν πάσῃ ὥρᾳ, εὐφραίνεται ἡ καρδία ἐν ταῖς ἀποκαλύψεσι, καὶ ὁ συνάγων τὴν θεωρίαν αὐτοῦ ἔσωθεν ἐν ἑαυτῷ θεωρεῖ τὴν αὐγὴν τοῦ Πνεύματος. Ὅστις ἐβδελύξατο πάντα μετεωρισμὸν, θεωρεῖ τὸν Δεσπότην αὐτοῦ ἔσωθεν τῆς καρδίας αὐτοῦ, μηδέ γε συνεχῶς ἐναλλάσσειν τὰς ῥήσεις τῆς προσευχῆς, ἵνα μὴ τῇ συνεχεῖ ἐναλλαγῇ, καὶ μεταφορᾷ, ἀστασίαν ὡσανεί τινα, καὶ ἐκκλινισμὸν ἐθίσας ὁ νοῦς, ἀπαγὴς καὶ ἄκαρπος διαμείνῃ, ὡς τὰ συνεχῶς μετακινούμενα, καὶ μεταφυτευόμενα δένδρα. »

51. Licet vel incipientibus tunc quidem omnibus orationis verbis, nunc autem ejus parte tantum ad orandum uti, intra cor tamen et perpetuo; secundum enim sanctum Diadochum, « Qui semper in corde suo habitat, egreditur semper ex vitæ hujus fluxis temporibus. Spiritus enim ambulans, carnis desideria scire non potest, quoniam in virtutum custodia ingressus suos vir ille facit, eas virtutes habens tanquam puræ suæ vitæ propugnatrices. Ideo sane inefficaces sunt in eum dæmonum machinæ. » Scribit autem et sanctus Isaac: « Ejus qui suæ animæ omni hora invigilat, cor lætatur. in revelationibus; et qui colligit intra seipsum suam contemplationem, spiritus fulgorem in se intuetur. Quicunque elationem fastidit, Dominum in corde contemplatur. Neque oportet perpetuo orationis verba mutare, ne continua hac mutatione et translatione, cuidam inconstantiæ et inclinationi assuefacta mens, infirma ac infructuosa remaneat, ut illæ perpetuo commotæ ac loco mutatæ arbores.

Ὅτι ὁ καρπὸς ἔνδον καρδίας προσεύχεσθαι, καὶ χρόνου μακροῦ δεῖται, καὶ ἀγῶνος, καὶ βίας, ἁπλῶς πᾶν ἀγαθὸν διὰ πολλοῦ μόχθου, καὶ καιροῦ κατορθοῦται.

Quod internæ orationis fructus multo eget tempore ac certamine et violentia, et quod omne bonum multo labore et tempore efficitur.

νβ'. Καὶ τοῦτο δὲ τὸ ἀεὶ ἔνδον καρδίας προσεύχεσθαι, ὁμοίως δὲ καὶ τὰ τούτου ἐπέκεινα, οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, καὶ διὰ βραχέως πόνου, καὶ μικροῦ κατορθοῦται. Εἴπερ ἄρα καὶ τοῦτο σπανίως ἔν τισι κατὰ ἀπόῤῥητον οἰκονομίαν εὕρηται, ἀλλὰ καὶ χρόνου μακροῦ, καὶ καμάτου, καὶ ἀγῶνος σωματικοῦ τε καὶ ψυχικοῦ, καὶ βίας πολλῆς, καὶ ἐπιτεταμένης πρὸς κατόρθωσιν δεῖται. Κατὰ γὰρ τὸ ἐπιβάλλον μέρος τῆς ἐλπιζομένης ἐν μεθέξει γενέσθαι ἡμᾶς [Ἰσ. ἡμῖν] δωρεᾶς τε καὶ χάριτος, ἀναλόγους τὸ κατὰ δύναμιν χρὴ, καὶ τοὺς ὑπὲρ αὐτῆς ἀγῶνας καταβαλέσθαι, καὶ τὰς ὥρας ἐπιμετρεῖν, ἡ δέ ἐστι κατὰ τοὺς ἱεροδιδασκάλους, τὸ ἐκβληθῆναι ἐκ τῶν τῆς καρδίας νομῶν τὸν ἐχθρὸν, καὶ κατοικῆσαι ἐναργῶς ἐν αὐτῇ τὸν Χριστόν. Λέγει καὶ γὰρ ὁ ἅγιος Ἰσαάκ· « Ὁ θέλων ἰδεῖν τὸν Κύριον, μηχανᾶται καθαρίσαι αὐτοῦ τὴν καρδίαν ἐν ἀδιαλείπτῳ μνήμῃ τοῦ Θεοῦ, καὶ οὕτως ἐν τῇ λαμπρότητι τῆς διανοίας αὐτοῦ ἐν πάσῃ ὥρᾳ ὄψεται τὸν Κύριον. » Καὶ ὁ ἅγιος Βαρσανούφιος· « Ἐὰν μὴ ἡ ἔσωθεν ἐργασία μετά γε Θεοῦ βοηθήσῃ τῷ ἀνθρώπῳ, ἐπὶ ματαίῳ πρὸς τὴν ἔξωθεν

52. Ea perpetua oratio intus in corde facta ac similiter quæ ultra eam sunt, non simpliciter et prout occurrit et per brevem aut momentaneum laborem perficiuntur. Si igitur et id raro apud quosdam ineffabili providentia reperiatur, sed multo eget tum tempore, tum labore, tum corporeo certamine et mentali et multa ad perfectionem directa violentia. Parti enim nobis propositæ doni gratiæque, in cujus participationem ingressuros esse nos speramus, pro viribus nos proportionate agere decet, et initium facere certaminum ad eam consequendam, et horas metiri; quod est juxta sanctos Patres ex cordis pascuis inimicum ejicere et manifeste in ipsis Christum statuere. Dicit autem sanctus Isaac: « Qui vult Dominum videre, conetur cor suum indesinenter memoria Dei mundare, atque ita in cogitationis splendore omni hora Dominum videbit. Et sanctus Barsanuphius: » Nisi interna cum Deo unita operatio hominem adjuvet, frustra exterius laborat. Interna autem operatio cum cordis labore puritatem affert; puritas autem rursus

cordis tranquillitatem, tranquillitas vero humilitatem, humilitas Deo domicilium præparat hominem. Ex hac porro habitatione cum cupiditatibus ejiciuntur dæmones, et sic homo fit templum Dei plenum sanctitate, plenum lumine, munditie et gratia. Beatus igitur ille qui Dominum suum in adytis cordis intuetur, effundens suas preces cum gemitu in conspectu ejus bonitatis. » Et pius Joannes Carpathius; « Multo certamine ac tempore opus est in orationibus ut inveniamus cogitationis libertate alterum quoddam in corde cœlum, ubi habitat Christus, ut ait Apostolus : « Nescitis quoniam Jesus Christus habitat in vobis? Ne igitur reprobi sitis [81]. » Et magnus Chrysostomus : « Incessanter adhære nomini Domini Jesu, ut ebibat cor tuum Dominum, et Dominus cor tuum, et duo in unum fiant. Sed opus illud non est unius diei, sed longi ac multi temporis; multo enim certamine ac tempore opus est ut ejiciatur inimicus et inhabitet Christus. » Et hæc quidem de illis. Sermo autem redeat ad ea quæ ex ordine nobis proposita sunt.

A κοπῇ· ἡ γὰρ ἐσωτέρα ἐργασία σὺν πόνῳ καρδίας φέρει τὴν καθαρότητα· ἡ δὲ καθαρότης τὴν ἀληθινὴν τῆς καρδίας ἡσυχίαν, ἡ δὲ ἡσυχία αὕτη τὴν ταπείνωσιν, ἡ δὲ ταπείνωσις κατοικητήριον Θεοῦ κατασκευάζει τὸν ἄνθρωπον· ἀπὸ δὲ τῆς κατοικήσεως ταύτης, σὺν τοῖς πάθεσιν οἱ δαίμονες ἐξορίζονται, καὶ γίνεται ὁ ἄνθρωπος οὕτω ναὸς τοῦ Θεοῦ πλήρης ἁγιάσματος, πλήρης φωτισμοῦ, καθαρότητός τε καὶ χάριτος. Μακάριος οὖν ἐκεῖνος, ὁ τὸν ἑαυτοῦ Κύριον ἐν ἀδύτοις καρδίας ἐνοπτριζόμενος, ἐχέων τὴν ἑαυτοῦ δέησιν μετὰ κλαυθμοῦ ἐνώπιον τῆς αὐτοῦ ἀγαθότητος. » Καὶ ὁ ὅσιος Ἰωάννης ὁ Καρπάθιος· « Πολλοῦ ἀγῶνος καὶ χρόνου χρεία ἐν ταῖς προσευχαῖς, ὅπως εὕρωμεν ἐν τῇ ἀπαρενοχλήτῳ τῆς διανοίας καταστάσει ἕτερόν τινα ἐγκάρδιον οὐρανὸν, B ἔνθα οἰκεῖ ὁ Χριστὸς, ὥς φησιν ὁ Ἀπόστολος· ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Ἰησοῦς Χριστὸς οἰκεῖ ἐν ὑμῖν; εἰ μήτι ἄρα ἀδόκιμοί ἐστέ. » Καὶ ὁ μέγας Χρυσόστομος· « Ἀδιαλείπτως παράμεινον τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένηται τὰ δύο ἕν. » Ἀλλὰ τὸ ἔργον τοῦτο οὐκ ἔστι μιᾶς ἡμέρας, ἢ δύω, ἀλλὰ χρόνου πολλοῦ καὶ καιροῦ· πολλοῦ γὰρ ἀγῶνος καὶ χρόνου χρεία ὅπως ἐκβληθῇ ὁ ἐχθρὸς, καὶ ἐνοικήσῃ ὁ Χριστός. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον· ὁ δὲ λόγος ἐπανερχέσθω πρός γε τὰ καθ' εἱρμὸν προκείμενα.

De oratione cordis non munda : et quomodo aliquis ad mundam et constantem orationem perveniat.

53. Ex adhæsione huic prædictæ methodo internæ et mundæ et constantis orationis, etsi non sit alioquin forte munda et constans, manifestum est luctantem, per phantasias quæ ei obstant orationi, et cogitationes, pervenire ad habitum orandi absque violentia et inconstantia, mundeque ac vere, et mentem intus applicandi, neque cum vi ac contemptu per inspirationem adducendi, et rursum extrahendi, sed ei semper adhærendi ac ita perpetuo orandi. Etenim sanctus Hesychius dicit : « Qui enim non cogitationibus liberam orationem habet, arma non habet ad bellum; orationem autem nuncupo eam quæ in adytis cordis operatur, ut Jesu Christi invocatione, qui secreto pugnat, vincatur hostis et incendatur. » Et rursum : « Beatus ille, qui sic oratione cum Jesu unitur in cogitatione, eumque indesinenter invocat in corde, quemadmodum aer nostris corporibus unitur, et ceræ flamma! » Et rursum : « Et sol terram penetrans, diem efficit : Domini autem Jesu sanctum et venerabile nomen continuo in mente lucens, gignet innumerabiles cogitationum radios.

Περὶ προσευχῆς καρδιακῆς μὴ καθαρᾶς, καὶ ὅπως ἔρχεταί τις εἰς τὴν καθαρὰν, καὶ ἀῤῥέμβαστον προσευχήν.

νγ'. Ἐκ τοῦ προσμένειν τῇ εἰρημένῃ μεθόδῳ τῆς καρδιακῆς καθαρᾶς, καὶ ἀῤῥεμβάστου, εἰ καὶ μὴ καθαρᾶ; ἴσως ἄλλως, καὶ ἀῤῥεμβάστου προσευχῆς, δῆλον ὅτι διὰ τὰς ἐμποδὼν ταύτῃ γενομένας προλήψεις, καὶ τοὺς λογισμοὺς, ἔρχεται ὁ ἀγωνιζόμενος ἐν ἕξει τοῦ ἀδιάστως, καὶ ἀῤῥεμβάστως, καὶ καθαρῶς, καὶ ἀληθῶς προσεύχεσθαι, δηλαδὴ τῷ προσμένειν ἐν τῇ καρδίᾳ τὸν νοῦν, καὶ μὴ μετὰ βίας, καὶ ὀλιγώρως διὰ τῆς εἰσπνοῆς εἰσάγεσθαι, καὶ αὖθις ἀποπηδᾷν, ἀλλὰ αὐτὸν ἀεὶ προσμένειν ταύτῃ καὶ ὁσονοῦν οὕτω προσεύχεσθαι. Λέγει καὶ γὰρ ὁ ἅγιος Ἡσύχιος· « Ὁ μὲν [*Isc.* μὴ] ἔχων εὐχὴν καθαρὰν λογισμῶν, ὅπλον οὐκ ἔχει εἰς πόλεμον· εὐχὴν δὲ λέγω τὴν ἀενάως ἐνεργουμένην ἐν ἀδύτοις καρδίας, ἵνα τῇ τοῦ Ἰησοῦ Χριστοῦ ἐπικλήσει ὁ κρυφίως πολεμῶν μαστίζηται, καὶ φλέγηται πολέμιος. » Καὶ D αὖθις· « Μακάριος οὗτος, ὃς οὕτω κεκόλληται Ἰησοῦ εὐχῇ, ἐν διανοίᾳ, καὶ φωνεῖ αὐτὸν ἀδιαλείπτως ἐν καρδίᾳ, ὥσπερ ἥνωται ὁ ἀὴρ τοῖς ἡμῶν σώμασιν, ἢ ὡς φλὸξ κηρῷ. » Καὶ πάλιν· « Καὶ διερχόμενος μὲν ἥλιος ὑπὲρ γῆν, ποιεῖ ἡμέραν· τὸ δὲ τοῦ Κυρίου Ἰησοῦ ἅγιον ὄνομα, καὶ σεβάσμιον ἐν τῇ διανοίᾳ λάμπον τῇ συνεχείᾳ, γεννήσει ἀναριθμήτους ἡλιοφεγγοειδεῖς ἐννοίας.

Περὶ τῆς ἀῤῥεμβάστου καὶ καθαρᾶς καρδιακῆς προσευχῆς, καὶ τῆς ἐξ αὐτῆς τικτομένης θέρμης.

νδ'. Καὶ τοῦτο ἔστι τε καὶ ὀνομάζεται προσευχὴ καρδιακὴ, καθαρὰ, καὶ ἀῤῥέμβαστος, ὡς εἴρηται, ἐξ ἧς γεννᾶταί τις θέρμη ἐν τῇ καρδίᾳ, κατὰ τὸ·

De constanti ac munda cordis oratione, et de ardore ex ea oriente.

54. Ea est ac nominatur cordis oratio, munda et constans, ut dictum est, ex qua gignitur aliquis ardor in corde, secundum illud : « Calefactum est

[81] II Cor. XIII, 5.

« Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ· » πῦρ, ὅπερ ὁ Κύριος Ἰησοῦς Χριστὸς ἦλθε βαλεῖν εἰς τὰς γαίας τῶν καρδιῶν ἡμῶν, τὰς πρὶν μὲν ἀκανθηφόρους τοῖς πάθεσι, νῦν δὲ πνευματοφόρους τῇ χάριτι, ὡς φησιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· « Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλον εἰ ἤδη ἀνήφθη; » Ὁ δὴ καὶ τοὺς περὶ τὸν Κλεόπαν ποτὲ, ἀναθερμάνασα, καὶ ἐκκαύσασα [*Ισ.* ἀναθερμᾶναν καὶ ἐκκαῦσαν] ἐκστατικῶς πρὸς ἀλλήλους βοᾷν ἐποίησε, τό· « Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ἐν τῇ ὁδῷ; » Λέγει δὲ καὶ ὁ ἐκ Δαμασκοῦ Ἰωάννης ὁ πάνυ, ἔν τινι τροπαρίῳ τῶν πρὸς τὴν ὑπέραγνον Θεοτόκον αὐτοῦ μελισμάτων· « Ἕλκει με πρὸς ὑμνῳδίαν πόθου τοῦ παρθενικοῦ, τὸ πῦρ τὸ ἐγκάρδιον. » Γράφει δὲ καὶ ὁ ἅγιος Ἰσαάκ· « Ἐκ τῆς ἐργασίας τῆς βιαίας τίκτεται ἡ θέρμη ἡ ἄμετρος, ἡ πυρπολουμένη ἐν τῇ καρδίᾳ ἐκ τῶν θερμῶν ἐνθυμήσεων τῶν καινῶς ἐπιπολευόντων τῇ διανοίᾳ. Αὕτη δὲ ἡ ἐργασία καὶ ἡ φυλακὴ λεπτύνουσι τὸν νοῦν ἐν τῇ θέρμῃ αὐτῶν, καὶ παρέχουσιν αὐτῷ ὅρασιν, καὶ προῶν, καὶ ἐκ τῆς θέρμης ταύτης τῆς ἐκ τῆς χάριτος τῆς θεωρίας ἐπιγινομένης, γεννᾶται ἡ ἐπιῤῥοὴ τῶν δακρύων, καὶ μετὰ μικρὸν, καὶ ἐκ τῶν ἀπαύστων δακρύων δέχεται ἡ ψυχὴ τὴν εἰρήνην τῶν λογισμῶν. Ἐκ δὲ τῆς εἰρήνης τῶν λογισμῶν, ὑψοῦται εἰς τὴν καθαρότητα τοῦ νοός· διὰ δὲ τῆς τοῦ νοῦ καθαρότητος ἔρχεται ὁ ἄνθρωπος εἰς τὸ βλέπειν τὰ μυστήρια τοῦ Θεοῦ. » Καὶ μετὰ βραχέα· « Μετὰ δὲ ταῦτα φθάνει ὁ νοῦς ἰδεῖν ἀποκαλύψεις, καὶ σημεῖα, ὡς εἶδεν Ἰεζεκιὴλ ὁ προφήτης. » Ἔτι· « Τὰ δάκρυα καὶ ὁ ῥαπισμὸς τῆς κεφαλῆς ἐν τῇ προσευχῇ, καὶ τὸ κυλινδεῖσθαι μετὰ θερμότητος, ἐξυπνίζουσι τὴν θέρμην τῆς γλυκύτητος αὐτῶν ἔνδοθεν τῆς καρδίας· καὶ μετὰ ἐπαινουμένης ἐκστάσεως πέτεται ἡ καρδία πρὸς τὸν Θεὸν, καὶ βοᾷ· Ἐδίψησεν ἡ ψυχή μου πρὸς σὲ τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ σου, Κύριε; » καὶ τὰ ἑξῆς. Καὶ ὁ τῆς Κλίμακος· « Πῦρ μὲν ἐπιδημῆσαν ἐν καρδίᾳ, προσευχὴν ἀνέστησεν· ταύτης δὲ ἐγερθείσης καὶ εἰς οὐρανὸν ἀναληφθείσης, καὶ πυρὸς ἐν ἀνωγαίῳ ψυχῆς κατάβασις γέγονεν. » Ἔτι· « Τίς ἄρα ἐστὶν ὁ πιστὸς καὶ φρόνιμος μοναχὸς, ὃς τὴν θέρμην τὴν ἑαυτοῦ ἐφύλαξεν ἀσβεστον, καὶ μέχρι τῆς ἑαυτοῦ ἐξόδου καθ' ἡμέραν προστιθεὶς πῦρ πυρὶ, καὶ θέρμην θέρμῃ, καὶ πόθον πόθῳ, καὶ σπουδὴν σπουδῇ, οὐκ ἐπαύσατο; » Καὶ ὁ ἅγιος Ἠλίας ὁ ἐκδικος· « Ὑπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ἡ ψυχὴ συναφθῇ τῇ ψυχῇ, τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην ἐκείνη, σίδηρον καθάπερ τὸ πῦρ, πεπυρακτωμένην ὅλην καθίστησιν. Οὐδὲ γὰρ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς. » Ἔτι· « Μακάριος ὁ ἐν τῷ βίῳ τούτῳ οὕτως θεωρηθῆναι ἀξιωθεὶς· καὶ τὸν ἑαυτοῦ φύσει πήλινον ἀνδριάντα, χάριτι, πύρινον κατιδών! »

cor meum intra me, et in meditatione mea exardescet ignis [37], » Ignis, quem Dominus Jesus Christus venit mittere in terram cordis nostri, quæ prius quidem cupiditatum causa spinas ferebat, nunc autem gratia fert Spiritum, ut ait Dominus noster Jesus Christus : « Ignem veni mittere in terram, et quid volo nisi ut accendatur [38] ? » Qui ignis Cleopham olim calefaciens ac urens, clamorem eorum admirantem expressit : « Nonne cor nostrum ardens erat in nobis in via [39] ? » Dicit autem Joannes Damascenus, in quodam suorum de beata et purissima Deipara canticorum loco : « Attrahit me ad virginum amorem canendum ignis qui in corde latet. » Scribit autem et sanctus Isaac : « Ex vivida operatione gignitur immensus ardor, qui in corde ex ardentibus desideriis quæ cogitationi supervenere accenditur. Ea autem operatio et custodia mentem suo ardore extenuant, et ei visionem præstant. » Ac pergit : « Ex hoc ardore qui ex contemplationis gratia oritur, gignitur lacrymarum effusio. » Et paulo post : » Ex incessantibus lacrymis accipit anima cogitationum pacem, erigitur in mentis puritatem : ac per eam mentis puritatem pervenit homo ad mysteriorum Dei contemplationem. » Et post pauca : « Deinde mens properat videre revelationes, et signa, ut vidit Ezechiel propheta. » Et adhuc : « Lacrymæ et capitis tunsio in oratione et cum calore motus excitant intra cor suæ dulcedinis ardorem, et cum laudante exstasi evolat cor ad Deum et clamat : « Sitivit anima mea ad te Deum fortem, vivum. Quando veniam et apparebo ante faciem tuam, Domine ? » et cætera. Et Climax : « Ignis in corde residens orationem excitavit. Ea autem excitata et in cœlum erecta, ignis in animæ summitate fundamentum factum est. » Et ad hæc : « Quis igitur fidelis et prudens monachus, qui suum ardorem inextinguibilem servavit, et usque ad mortem quotidie ignem igni adjicieus, et ardorem ardori, et desiderium desiderio, et zelum zelo, non asservit ? » Et sanctus Elias vindex cognominatus : « Quando ab externis quiescens anima animæ adhæsit, tanquam flamma eam circumdans, quemadmodum ferrum ignis, ita eam ignitam reddit. Est quidem eadem anima, non autem, ut ante tractabilis. Non enim ignitum ferrum jam potest corripi. » Et adhuc : « Beatus qui in hac vita, ut sic videatur, dignus est ; et eam quæ natura lutea est, statuam, jam gratia ignitam factam vidit.

Καὶ ἔστι μὲν ψυχὴ ἡ αὐτή· οὐκ ἔτι δὲ καὶ ἀπτή.

Ὅτι καὶ ἡ θέρμη διαφόρως ἔχει τὴν γένεσιν· καὶ [ἴσ. τὸ καὶ περιττὸν] κυριωτέρα δὲ ἡ ἐκ τῆς καθαρᾶς καρδιακῆς προσευχῆς.

Quod et ardor differentem habet originem ; et quod excellentior ea quæ ex cordis oratione procedit.

νε'. Γίνωσκε δὲ ὅτι καὶ ἡ τοιαύτη θέρμη διαφόρων καὶ πολυτρόπως ἔχει τὴν ἐν ἡμῖν αὐτῆς γένεσίν

55. Scito autem quod talis ardor ex diversis rebus ac diversis modis in nobis suam habet originem et

[37] Psal. xxxviii, 4. [38] Luc. xii, 49. [39] Luc. xxiv, 32.

ἡ καθαρὰ προσευχή. Διὰ ταύτης γὰρ πρὸς τὸν Θεὸν πτερούμενος, ἔξω γίνεται πάντων. »

Περὶ δακρύων καρδιακῶν· καὶ ἔτι περὶ θείου πόθου καὶ ἔρωτος.

νη'. Ἐξ ἧς καρδίας, καὶ δάκρυον ὅτι πλεῖστον ἀποβρεῖ καθαίρον, καὶ πιαῖνον τὸν ἐξ ἀγάπης ταῦτα πεπλουτηκότα, ἀλλ' οὐ τῆκον, καὶ ξηραῖνον· τοῦτο καὶ γὰρ, τὸ ἐκ τοῦ θείου φόβου, κἀκεῖνο, τὸ ἐκ τοῦ θείκοῦ ἔρωτος τῷ σφοδρῷ καὶ ἀσχέτῳ πόθῳ, καὶ ἔρωτι τοῦ μνημονευομένου Κυρίου Ἰησοῦ Χριστοῦ. Καί γε ἐνθουσιῶσα βοᾷ· Ἔθελξας πόθῳ με, Χριστὲ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. Καί· Ὅλος εἶ, Σῶτερ, γλυκασμὸς, ὅλος εἶ ἐπιθυμία καὶ ἔφεσις, ὅλος ἀκόρεστος, ὅλος ὑπάρχεις κάλλος ἀμήχανον. Καὶ μετὰ Παύλου κραυγάζει τοῦ Χριστοκήρυκος· « Ἡ ἀγάπη τοῦ Θεοῦ συνέχει ἡμᾶς. » Καί· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; » Καὶ αὖθις· « Πέπεισμαι, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε Ἄγγελοι, οὔτε Ἀρχαὶ, οὔτε Ἐξουσίαι, οὔτε Δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. »

Παραίνεσις περὶ τοῦ μὴ ζητεῖν ὑπὲρ τὸ μέτρον· καὶ ἔτι περὶ τῆς ἐν καρδίᾳ διηνεκοῦς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προτροπή.

νθ'. Ἵν' οὖν τις ἀξιωθείη τούτων δὴ, καὶ τῶν μετὰ ταῦτα πάντων, ἅπερ νυνὶ λέγειν οὐκ εὔκαιρον. Μὴ ζήτει γὰρ, φησὶ, πρὸ καιροῦ τὰ τοῦ καιροῦ. Καὶ τὸ καλὸν οὐκ ἔστι καλὸν, ὅταν οὐ καλῶς γένηται. Καὶ κατὰ τὸν ἅγιον Μάρκον, οὐ συμφέρει πρὸ τῆς ἐργασίας τῶν προτέρων, εἰδέναι τὰ δεύτερα· ἡ γὰρ γνῶσις φυσιοῖ διὰ τὴν ἀργίαν· ἡ δὲ ἀγάπη οἰκοδομεῖ διὰ τὸ τὰ πάντα ὑπομένειν. Χρὴ σπεύδειν καὶ ἀεὶ ἀγωνίζεσθαι, καθάπερ εἴρηται, τὴν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μνήμην ἔνδον βάθους καρδίας διηνεκῶς περιφέρειν, καὶ οὐκ ἐκτὸς, καὶ ἐπιπολαίως, ὡς λέγει καὶ περὶ τούτου ὁ αὐτὸς μακάριος Μάρκος· ὅτι « Ἐὰν μὴ διὰ καθολικῆς καὶ νοερᾶς ἐλπίδος ἀνοιγῇ τὸ ἐνδότατον, καὶ ἀπόκρυφον, καὶ εἰλικρινὲς τῆς καρδίας ἡμῶν χώρημα, οὐκ ἔστι βεβαίως ἐπιγνῶναι τὸν ἐνοικοῦντα, οὔτε εἰδέναι εἰ προσεδέχθησαν αἱ λογικαὶ ἡμῶν θυσίαι, ἢ οὔ. »

Περὶ θερμοῦ ζήλου, καὶ τῆς ἐν ἡμῖν ἐμφανείας θείας, καὶ τοῦ τῆς χάριτος ἐνυποστάτου φωτισμοῦ.

ξ'. Οὕτω γὰρ ἐκκλινεῖ ῥᾳδίως, οὐ τῶν ἔργων τῶν πονηρῶν μόνον, ἀλλὰ καὶ τῶν ἐμπαθῶν λογισμῶν, καὶ τῶν ἀπρεπῶν φαντασιῶν, καθὰ γέγραπται· « Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. » Μᾶλλον δὲ παντὸς λογισμοῦ, καὶ πάσης φαντασίας ἐκστήσεται ὡς τῷ ὑπὲρ ἀρετῆς αὐτοῦ θερμῷ ζήλῳ καταφλέγων, καὶ ἀφαντῶν πᾶσαν πονηροπραξίαν αἰσθητῶς, καὶ νοητῶς, τὸ πρὶν ἐνεργοῦσαν ἐν ἑαυτῷ, σὺν τοῖς ἀρχηγοῖς αὐτῶν κακοχάρ-

maxime autem munda oratio. Per eam enim ad Deum evolans, extra omnia constituitur. »

De lacrymis cordis, et adhuc de divino desiderio et amore.

58. Ex hoc corde et lacrymæ plerumque defluunt mundæ et pinguefaciunt eum qui charitate eos obtinuit, non autem molliunt ac siccant. Hoc etenim operantur ex divino timore, et illud ex divino amore per vehemens et non cohibitum desiderium amoremque Domini Jesu Christi qui in memoria est. Cor enim inspiratum clamat, « Mulsisti me desiderio, Christe, et mutasti divino tuo amore. » Et : « Totus es, dulcedo, Domine, totus desiderium et ardor, totus es desiderabilis, totus pulchritudo indubitanter. » Et cum Paulo, Christi præcone, clamat : « Charitas Dei comprehendit nos [37]. » Et : « Quis nos separabit a charitate Christi ? Tribulatio an angustia, an persecutio, an periculum, an gladius [38] ? » Et rursum : « Certus sum quod neque mors, neque vita, neque angeli, neque principatus, neque dominationes, neque potestates, neque præsentia, neque futura, neque altitudo, neque profundum, neque alia creatura poterit nos separare a charitate Dei quæ est in Christo Jesu Domino nostro [39]. »

Exhortatio ad nihil quærendum supra modum; et adhuc excitatio ad continuam Jesu Christi in corde memoriam.

59. Ut igitur aliquis his dignus fiat et aliis quæ hæc sequuntur, hæc nunc dicere non intempestivum : « Ne inquiras, inquit, ante tempus ea quæ temporis alicujus sunt. Et bonum non est bonum, quando non bene fit. Et secundum sanctum Marcum : « Non utile est antequam priora facta sint, posteriora scire. Scientia enim inflat per otiositatem, charitas autem ædificat omnia patienter ferendo. » Oportet festinare et semper pugnare, ut dictum est, Domini Jesu Christi memoriam perpetuo in imo corde perferre, neque extra aut in superficie, ut ait et idem beatus Marcus : « Nisi per universalem ac spiritualem spem pateat interius et occultius cordis nostri alveus, non est firmiter cognoscere eum qui inhabitat, neque scire utrum acceptæ sint rationabiles nostræ victimæ, annon. »

De ardenti zelo et divina in nobis apparitione et substantiali gratiæ lumine.

60. Ita enim facile declinabit, non modo ab operibus malis, sed et a cupidis cogitationibus et non decentibus phantasiis, ut scriptum est : « Spiritu ambulate, et desideria carnis ne perfeceritis [40]. » Imo vero ab omni cogitatione ac phantasia exibit, ardenti virtutis zelo, ut ita dicam eas adurens, et expellens omnem malitiæ sive per sensus sive per mentem actum, qui prius in ipso operabatur cum ducibus ipsius dæmonibus alieni mali gauden-

[37] II Cor. v, 14. [38] Rom. VIII, 35 ; 36. [39] Ibid. 39. [40] Galat. v, 16.

φιλάνθρωπον ἀπεργάζεται· καὶ ἕτεροι δὲ ὡσαύτως. Ἀλλ' ὅμως ἅτε τὰ προειρημένα διὰ ζώσης ἠκουσα φωνῆς, οὕτω δὴ καὶ περὶ τούτου κατὰ καιρὸν ἀκούσεις· νῦν γὰρ οὐ καιρός.

A illudque tempore opportuno audies; nunc autem non est tempus audiendi.

Περὶ φαντασίας ἀπρεποῦς τε καὶ εὐπρεποῦς, καὶ ὅπως χρὴ μετιέναι αὐτάς.

De phantasia indecentique ac decenti, et quomodo oportet ad eas accedere.

ξδ'. Ἐπεὶ δὲ μικρῷ πρόσθεν περὶ φαντασίας ἐμνήσθημεν, καὶ φαντασίας ἀπρεποῦς, ὠνησιμώτατον, ὡς γε ἡμῖν δοκεῖ, ἐν βραχεῖ καὶ περὶ αὐτῆς, μᾶλλον δὲ περὶ πάσης φαντασίας ὡς δυνατὸν διαλαβεῖν. Λίαν γὰρ ἀνθίσταται ἡ ἐπάρατος τῇ καθαρᾷ καὶ καρδιακῇ προσευχῇ, καὶ τῇ ἐνιαίᾳ, καὶ ἁπλανεῖ τοῦ νοῦ ἐργασίᾳ. Ὅθεν καὶ οἱ θεῖοι Πατέρες πολλαχῶς περὶ αὐτῆς, καὶ κατ' αὐτῆς ἀποφθέγγονται. Αὕτη τοίνυν, ἡ ποικιλόμορφος, ὡς ὁ μυθευόμενος Δαίδαλος, καὶ πολυκέφαλος κατὰ τὴν ὕδραν φαντασία, οἷόν τις γέφυρα τῶν δαιμόνων, τοῖς ἁγίοις προείρηται· δι' αὐτῆς γὰρ διερχόμενοι, καὶ διαπερῶντες οἱ φόνιοι ἀλάστορες, κοινωνοῦσί πως καὶ συμμίγνυνται τῇ ψυχῇ, σίμβλον κηφήνων ταύτην ἀπεργαζόμενοι, καὶ ἐννοιῶν ἀκάρπων, καὶ ἐμπαθῶν οἰκητήριον· ἣν δὴ φαντασίαν ἀποβλητέον τοσοῦτον· εἰ μή που βούλει, ἕνεκα μετανοίας, καὶ συντριβῆς, πένθους τε καὶ ταπεινοφροσύνης, πρὸ δὲ καὶ τῆς τῶν ὄντων μελέτης, καὶ μὴν καὶ χάριν ἀπρεποῦς φαντασίας, εὐπρεπῆ φαντασίαν παραβαλεῖν, καὶ ἀντισηκῶσαι· κἀκείνην ταύτῃ συμμίξας, καὶ ἀντιστρατευσάμενος, καὶ ὡς ῥίψασπιν τὴν ἄσεμνον, καὶ ἰταμὸν κατὰ κράτος βαλών, οὕτω κατ' αὐτῆς ἄραι τὰ νικητήρια. Καὶ γοῦν οὕτω ποιῶν οὐ μόνον ζημίας, ἀλλὰ καὶ κέρδους σαυτῷ αἴτιος εἶῃ· ὡς ἐν ἁπταίστῳ κρίσει τὰ κατ' αὐτὸν διευθύνων, ἅτε φαντασίαν ἀπρεπῆ φαντασίᾳ εὐπρεπεῖ καταργῶν, καὶ τοῖς τῶν ἐναντίων ὅπλοις τούτους δὴ τοὺς ὑπεναντίους καιρίως πλήττων ἢ ἀποκτείνων, ὡς πάλαι τὸν Γολιὰθ ὁ θεῖος Δαβίδ.

64. Quoniam paulo ante De phantasia mentionem fecimus et de phantasia indecenti, utilissimum, ut nobis videtur, erit breviter de ea et de qualibet, ut poterimus, dicere. Nimium enim nocet exsecrabilis puræ cordis orationi, et simplici ac rectæ mentis operationi. Unde et divini Patres sæpissime de ea et contra eam Verba faciunt. Ea enim, multiformis, ut fabulosus Dædalus, et multa capita habens ut Hydra, tanquam dæmonum pons quidam dicta est a sanctis. Per eam enim transeuntes et penetrantes homicidæ scelesti, communicant et commiscentur animæ, fucorum alveare eam facientes, et sterilium cupidarumque cogitationum domicilium. Quæ sane phantasia omnino repellenda est; nisi velis, pœnitentiæ causa et tribulationis, dolorisque et humilitatis, ac præcipue propter eorum quæ sunt, meditationem, cum indecenti phantasia decentem comparare ac librare, illamque cum ista miscere; ita ut adversus eam incedens et, de ea turpiter, clypeo amisso, victa ac dejecta, triumphum agere queas. Atque igitur ita faciens, non modo non detrimenti cujusquam, sed lucri tibi auctor eris, quippe qui constanti judicio tuas res direxeris, phantasiam indecentem decenti phantasia destruens, et contrariorum armis eos hostes opportune feriens et trucidans, ut olim Goliath divinus David.

Ὅτι οὐ μόνον ἡ ἀπρεπὴς φαντασία, ἀλλὰ καὶ ἡ εὐπρεπὴς ἀπόβλητος τοῖς ἁγίοις εἰς τὴν καθαρὰν προσευχὴν, καὶ εἰς τὴν ἁπλῆν καὶ ἑνιαίαν ἐργασίαν τοῦ νοός.

Quod non modo indecens phantasia, sed et decens rejicienda sanctis est in mundam orationem et in simplicem et unam mentis operationem.

ξε'. Τοῦτο δὲ, τῶν ἔτι νηπίων, ἤτοι τῶν ἀρχαρίων ἆθλόν ἐστιν. Οἱ γὰρ τῷ χρόνῳ προβεβηκότες, ὁλικῶς τὴν ἀπρεπῆ φαντασίαν σὺν τῇ εὐπρεπεῖ ἀποβάλλονται, καὶ φρούδην ἐργάζονται· ὡς κηρὸν τηκόμενον ἀπὸ προσώπου πυρὸς, ἀποτεφροῦντες, καὶ διαλύοντες, διὰ τὴν καθαρὰν προσευχὴν, καὶ τὴν ἐκ πάντων τοῦ νοὸς ἀτύπωτον ἀπόθεσίν τε καὶ γύμνωσιν, ἕνεκα τῆς πρὸς Θεὸν ἁπλῆς ἐπιβολῆς· εἰ βούλει δὲ, καὶ παραδοχῆς, καὶ ἀσχηματίστου, καὶ ἑνιαίας ἑνώσεως. Λέγει καὶ γὰρ ὁ ἅγιος Ἡσύχιος· Πᾶς λογισμὸς, φαντασία ἐστὶν ἐν τῷ νῷ αἰσθητοῦ τινος πραγματος. Νοῦς γὰρ ὢν ὁ Ἀσσύριος οὐκ ἄλλως ἀπατᾷν ἐξισχύει, εἰ μὴ χρήσηται τοῖς παρ' ἡμῶν αἰσθητοῖς καὶ συνήθεσι. Καὶ ὁ ἅγιος Διάδοχος· Ἐπειδὴ πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινων εἰσέρχεται ἐν τῇ καρδίᾳ, τότε αὐγάζει αὐτῇ τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντη εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται, εἴπερ ἡ λαμπρότης ἐκείνης, κατὰ στέρησιν τῶν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ.

65. Illud vero est, infantium adhuc et incipientium certamen. Qui enim tempore processerunt, omnino indecentem phantasiam cum decenti rejiciunt, et expellunt, tanquam ceram a facie ignis, eam in cinerem redigentes et dissolventes, per mundam orationem, et mentis ab omnibus rudem separationem ac nuditatem, simplicis ad Deum elevationis causa; si vis quoque, receptionis Dei causa, et simplicis et absque figura unionis. Dicit enim et sanctus Hesychius: « Omne ratiocinium est phantasia in mente alicujus sensibilis rei. Cum enim spiritus sit *Assyrius*, non aliter decipere potest, nisi utatur iis quæ a nobis sentiuntur et nobis solita sunt. » Et sanctus Diadochus: « Postquam omnis cogitatio per quorumdam sensibilium imaginationem in cor introierit, tunc ei lucebit beatum Deitatis lumen, cum omnino ab omnibus recesserit, et ex iis minime formatum fuerit, siquidem illius splendor per privationem omnium cogitationum puræ menti apparet. » Et magnus Basilius:

Περὶ ψυχῆς καθαρᾶς. — Ψυχὴ καθαρά ἐστιν, ἡ παθῶν ἐλευθερωθεῖσα, καὶ ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.

De anima pura. — Anima pura est quæ a cupiditatibus libera est, et divina charitate indesinenter lætatur.

Περὶ καρδίας καθαρᾶς. — Καρδία καθαρά ἐστιν, ἡ παντάπασιν ἀνείδεον τῷ Θεῷ, καὶ ἀδιαμόρφωτον παραστήσασα τὴν μνήμην· καὶ μόνοις τοῖς αὐτοῦ ἕτοιμον ἐνσημαθῆναι τύποις, δι' ὧν ἐμφανὴς γίνεσθαι πέφυκε. Τούτοις ἑπομένως, καὶ τάδε προσκείσθω.

De corde puro. — Cor purum est quod Deo præstat memoriam sine forma ac figura; et quod paratum est solis ipsius typis informari, per quos seipsum manifestare solet. His consequenter, et quæ dicenda sunt, se habeant.

Περὶ τελείου νοός. — Νοῦς ἐστι τέλειος, ὁ διὰ πίστεως ἀληθοῦς τὸν ὑπεράγνωστον ἐγνωκὼς, καὶ τῶν αὐτοῦ δημιουργημάτων [*Ισ.* τὰ καθόλου] θεασάμενος· καὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως τὴν περιληπτικὴν γνῶσιν παρὰ Θεοῦ εἰληφώς· ὡς ἄνθρωπος δέ φημι.

De mente perfecta. — Mens perfecta est quæ per veram fidem eum noscit, qui penetrari nequit, ejusque opera contemplata est; et quæ Providentiæ et judicii, quæ in iis sunt, intelligentem scientiam a Deo accepit, quantum homini possibile est.

Περὶ ψυχῆς τελείας. — Ψυχή ἐστι τελεία, ἧς ἡ παθητικὴ δύναμις νένευκεν ὁλοτελῶς πρὸς Θεόν.

De anima perfecta. — Anima est perfecta, cujus passiva potentia inclinavit prorsus ad Deum.

Περὶ καρδίας τελείας. Καρδία τελεία τάχα ἐκείνη λέγεται, ἡ μηδεμίαν ἔχουσα φυσικὴν καθ' οἱονδήποτε τρόπον πρὸς ὁτιοῦν κίνησιν, ἐν ᾗ καθάπερ πτυχίῳ λειανθέντι καλῶς διὰ τὴν ἄκραν ἁπλότητα, παραγενόμενος ὁ Θεὸς τοὺς ἰδίους νόμους ἐγγράφει.

De corde perfecto. — Cor perfectum illud dicitur, quod nullum naturalem quoquo modo, ad quodcunque motum habet, in quo, tanquam in polito libello, per suam summam simplicitatem, Deus suas leges inscripsit.

Περὶ νοῦ καθαροῦ. — Ἔτι νοῦν καθαρίσαι κατὰ τὸν ἅγιον Διάδοχον, μόνου τοῦ ἁγίου Πνεύματός ἐστι· Ἔτι νοῦν στῆναι, κατὰ τὸν τῆς Κλίμακος, μόνου τοῦ ἁγίου Πνεύματός ἐστιν. Ἔτι φησὶν ὁ ἅγιος Νεῖλος· Εἴ τις βούλοιτο ἰδεῖν τὴν τοῦ νοῦ κατάστασιν, στερησάτω ἑαυτὸν πάντων τῶν νοημάτων, καὶ τότε ὄψεται αὐτὸν σαπφείρῳ ἢ οὐρανίῳ χρώματι παρεμφερῆ. Καὶ αὖθις· Νοῦ κατάστασίς ἐστιν, ὕψος νοητὸν οὐρανίῳ χρώματι παρεμφερές· ᾧ καὶ τὸ τῆς ἁγίας Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς. Καὶ ὁ ἅγιος Ἰσαάκ· Ὅταν ὁ νοῦς ἀποδύηται τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδύηται τὸν καινὸν τῆς χάριτος, τότε τὴν ἑαυτοῦ καθαρότητα ὄψεται ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ· ἥτις Θεοῦ τόπος ὑπὸ τῆς γερουσίας τῶν υἱῶν Ἰσραὴλ ὠνόμασται, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. Οὕτω καὶ γοῦν ποιῶν, ὡς προείρηται, ἥτοι καθαρῶς, καὶ ἀφαντάστως, καὶ ἀδιατυπώτως προσευχόμενος, κατ' ἴχνος ἕσῃ ἑπόμενος τοῖς ἁγίοις. Εἰ δὲ μή γε, φαντασιαστὴς γενήσῃ ἀντὶ ἡσυχαστοῦ· καὶ ἀντὶ σταφυλῆς τρυγήσῃς ἀκάνθας· ὃ μή σοι γένοιτο.

De mente pura. — Mentem mundare secundum sanctum Diadochum, solius sancti Spiritus est: mentem autem sistere, secundum Climacem, solius adhuc sancti Spiritus est. Dicit adhuc sanctus Nilus: « Si quis velit mentis ordinationem videre, seipsum omnibus cogitationibus vacuefaciat, et tunc eam cernet, tanquam sapphiro aut cœlesti colori similem. » Et rursum: « Mentis ordinatio est, intellectualis celsitudo cœlesti colori similis: cui sanctissimæ Trinitatis, orationis tempore, supervenit lumen. » Et sanctus Isaac: « Quando mens exuerit veterem hominem, et novum gratiæ induerit, tunc suam puritatem cernet cœlesti colori similem; qui Dei locus nominatus a senatu filiorum Israel, quando ipsis in monte apparuit. Ita igitur faciens, ut dictum est, nempe pure et absque phantasia et figura orans, vestigiis sanctorum inhærebis. Si minus, pro pacifico, imaginatione delusus fies, et pro uvis colliges spinas. Quod utinam tibi non accidat!

Ὅπως οἱ προφῆται ἐφαντάζοντο.

Quomodo prophetæ imaginabantur.

ξζ'. Εἰ δέ τινες τὰς τῶν προφητῶν ὁράσεις, σχηματισμούς τε καὶ ἀποκαλύψεις, διὰ φαντασίας, καὶ ἀκολουθίας φυσικῆς γεγενῆσθαι ὑπολαμβάνουσι· οὗτοι πόρρω τοῦ ὀρθοῦ σκοποῦ καὶ τῆς ἀληθείας ἑστῶσαν φέρεσθαι· οἱ γὰρ προφῆται, καὶ νῦν οἱ καθ' ἡμᾶς ἱερομῦσται, οὐ κατὰ φυσικὴν ἀκολουθίαν τινὰ, καὶ τάξιν, καὶ μὴν καὶ φαντασίαν εἶδον, καὶ ἐφαντάζοντο, ἃπερ εἶδον, καὶ ἐφαντάζοντο, ἀλλὰ θείως, καὶ ὑπὲρ φύσιν τὸν νοῦν τῇ ἀῤῥήτῳ δυνάμει, καὶ χάριτι τοῦ ἁγίου Πνεύματος τυποῦμενοι, καὶ φαντασιούμενοι, ὡς φησιν ὁ μέγας Βασίλειος, ὅτι Ἀῤῥήτῳ τινὶ δυνάμει φαντασιούμενοι τὸν νοῦν οἱ ἀπερίσπαστον αὐτὸν καὶ καθαρὸν ἔχοντες, οἱονεὶ ἐνηχοῦντα αὐτοῖς ἔχουσι τὸν λόγον τοῦ Θεοῦ. Καὶ

67. Si quidam prophetarum visiones, figurationes et revelationes per phantasiam et naturalem consequentiam factas esse cogitaverint, ii longe a recto fine et veritate sciant se aberrasse. Prophetæ enim, et nunc nostri mystici scriptores, non per naturalem operationem quamdam, et ordinem, et phantasiam videbant et imaginabantur quæcunque videbant ac imaginabantur, sed divine et supernaturali ineffabilique virtute, et gratia sancti Spiritus, figurantes imaginantesque, ut ait magnus Basilius: « Ineffabili potentia imaginantes, mentem non distractam ac puram habentes, tanquam ipsis somnis Dei Verbum habent. » Et rursum: « Videbant prophetæ, in Spiritu qui ipsos dirigebat, ly-

Θεὸν ἐν πίστει ἀνατείνεσθαι· ἡ δὲ, ἡγοῦν ἡ κατὰ παράδοχήν, ἀμέσως παρ' αὐτοῦ τοῦ Θεοῦ ὑποστατικῶς ἔνδον καρδίας πέφυκε γίνεσθαι, ἔσθ' ὅτε καὶ ἔξωθεν, καὶ τῷ σώματι μεταδιδοῦσα ἐμφανῶς ὑπὲρ ἔννοιαν τῆς οἰκείας ἐλλάμψεως καὶ τοῦ θειοτάτου φωτισμοῦ, ὑπερφυῶς πασχούσης τῆς καρδίας, κατὰ τὸν σοφώτατον Μάξιμον, οὐ ποιούσης τὴν ἀγέννητον θέωσιν. Φησὶ γὰρ οὗτος ὁ ἅγιος· Ἀγέννητον λέγω θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον τῇ θεότητος ἔλλαμψιν· ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. Συνάδοντα τοῖς ῥηθεῖσι λέγει καὶ ὁ μέγας Διονύσιος· « Δέον εἰδέναι τὸν καθ' ἡμᾶς νοῦν, τὴν μὲν ἔχειν δύναμιν εἰς τὸ νοεῖν δι' ἧς τὰ νοητὰ βλέπει· τὴν δὲ ἕνωσιν ὑπεραίρουσαν τὴν τοῦ νοῦ φύσιν, δι' ἧς συνάπτεται πρὸς τὰ ἐπέκεινα ἑαυτοῦ. » Καὶ ὁ ὅσιος Ἰσαὰκ· « Δύο ὀφθαλμοὺς κεκτήμεθα ψυχικοὺς, καθὼς λέγουσιν οἱ Πατέρες, καὶ οὐχ ἡ αὐτὴ χρεία τῆς δι' ἑκατέρου θεωρίας· ἐν ἑνὶ μὲν γὰρ ὀφθαλμῷ, τὰ κεκρυμμένα ἐν ταῖς φύσεσιν ὁρῶμεν· ἥγουν τὴν δύναμιν τοῦ Θεοῦ, καὶ τὴν σοφίαν αὐτοῦ, καὶ τὴν περὶ ἡμᾶς πρόνοιαν αὐτοῦ, τὴν καταλαμβανομένην ἐκ τῆς ἁγιότητος τῆς κυβερνήσεως αὐτοῦ εἰς ἡμᾶς· καὶ ἐν τῷ ἑτέρῳ ὀφθαλμῷ, θεωροῦμεν τὴν δόξαν τῆς φύσεως αὐτοῦ τῆς ἁγίας, ὅτε εἰς τὰ μυστήρια τὰ πνευματικὰ εὐδοκήσει ὁ Θεὸς εἰσάξαι ἡμᾶς. » Καὶ ὁ θεῖος Διάδοχος· « Τοῦ μὲν ἑνὸς ἁγίου Πνεύματος εἰσὶ χαρίσματα, ἥ τε σοφία, καὶ ἡ γνῶσις, ὡς καὶ πάντα τὰ θεῖα χαρίσματα· ἰδίαν δὲ ὥσπερ ἕκαστον τὴν ἐνέργειαν ἔχει. Διόπερ ἄλλῳ μὲν δίδοσθαι σοφίαν, ἄλλῳ δὲ γνῶσιν κατὰ τὸ αὐτὸ Πνεῦμα, ὁ Ἀπόστολος μαρτυρεῖ· ἡ μὲν γὰρ γνῶσις, αὐτῇ πείρᾳ συνάπτει τὸν ἄνθρωπον τῷ Θεῷ, εἰς λόγους τῶν πραγμάτων τὴν ψυχὴν μὴ κινοῦσα. Διὸ καί τινες τῶν τὸν μονήρη βίον φιλοσοφούντων, φωτίζονται μὲν ὑπ' αὐτῆς ἐν αἰσθήσει· εἰς δὲ λόγους θείους οὐκ ἔρχονται. Ἡ δὲ σοφία, εἴπερ μετὰ ταύτης ἐν φόβῳ δοθῇ τινι (σπάνιον δὲ τοῦτο), αὐτὰς τὰς ἐνεργείας φανεροῖ τῆς γνώσεως· ἐπειδὴ ἡ μὲν, τῇ ἐνεργείᾳ· ἡ δὲ, τῷ λόγῳ φωτίζειν εἴωθεν. Ἀλλὰ τὴν μὲν γνῶσιν εὐχὴ φέρει, καὶ πολλὴ ἡσυχία ἐν ἀμεριμνίᾳ παντελεῖ. Τὴν δὲ σοφίαν, ἀκενόδοξος μελέτη τῶν λογίων τοῦ Θεοῦ. Καὶ πρῶτον ἡ χάρις τοῦ διδόντος Θεοῦ. » Πρὸς δὲ, καὶ ὁ ἅγιος φησι Μάξιμος ἐν τοῖς Σχολίοις· « Τὸ φρέαρ τοῦ Ἰακὼβ ἐστιν ἡ Γραφή· τὸ δὲ ὕδωρ ἐστὶν, ἡ ἐν τῇ Γραφῇ γνῶσις· τὸ δὲ βάθος, ἡ τῶν Γραφικῶν αἰνιγμάτων δυσδιεξίτητος θεωρία· τὸ δὲ ἄντλημά ἐστιν ἡ διὰ τῶν γραμμάτων τοῦ θείου λόγου μάθησις· ἣν οὐκ εἶχεν ὁ Κύριος, αὐτολόγος ὑπάρχων, καὶ οὐ τὴν ἐκ μαθήσεως καὶ μελέτης γνῶσιν διδοὺς τοῖς πιστεύουσιν, ἀλλὰ τὴν ἐκ χάριτος ἀενάου πνευματικῆς ἄένναον σοφίαν, καὶ μηδέ ποτε ἀφαιρούμενος τοῖς ἀξίοις δωρούμενος· τὸ γὰρ ἄντλημα, τοιούτεστιν ἡ μάθησις, μέρος ἐλάχιστον λαμβάνουσα γνώσεως, τὸ πᾶν ἐᾷ, μηδενὶ λόγῳ κρατούμενον. Ἡ δὲ κατὰ χάριν γνῶσις, ὅλην ἔχει, καὶ δίχα μελέτης, τὴν ἐφικτὴν ἀνθρώποις σοφίαν, πρὸς τὰς χρείας ποικίλως βλυστάνουσα. » Καὶ αὖθις ὁ ἅγιος Διάδοχος· « Ὁ νοῦς ἡμῶν, τὰ πολλὰ περὶ μὲν τὴν προσευχὴν,

ter mysteria, juxta sapientissimum Maximum, non autem sibi deificationem præstante non generatam. Dicit enim hic sanctus : « Non generatam dico deificationem, eam quæ per Divinitatis speciem fit, illuminationem : quæ quidem generationem non habet, sed in iis qui digni sunt, incogitabilem apparitionem. Iis quæ dicta sunt congruentia exprimit sanctus Dionysius : « Sciendum est mentem nostram, vim quidem habere cogitandi, per quam intelligibilia cernit : unionem vero mentis, naturam extollentem, per quam iis quæ ultra ipsam sunt, conjungitur. » Et pius Isaac : « Duos animæ oculos possidemus, ut dicunt Patres, neque eadem est utilitas per utrumque contemplationis : uno quidem oculo, quæ in naturis abscondita sunt, videmus; nempe Dei potentiam et sapientiam, et ejus erga nos Providentiam, quam percipimus ex sanctitate gubernationis ejus in nos ; altero autem oculo, sanctæ ejus naturæ gloriam contemplamur, quando in spiritualia mysteria nos Deus introducere dignabitur. » Et divinus Diadochus : « Unius quidem sancti Spiritus dona sunt et sapientia et scientia, ut et omnia divina dona. Singula autem propriam habent efficaciam. Itaque alii quidem dari sapientiam, alii vero scientiam in eodem spiritu testatur Apostolus. Scientia enim hominem experientia Deo conjungit, animam non movens ad rerum ratiocinia. Ideo et nonnulli eorum qui monasticam vitam agunt, per eam in sensu illuminantur; non autem ad divina ratiocinia perveniunt. Sapientia vero, si cui eum ea in timore donetur (rarum autem hoc est,) ipsas scientiæ viros explicat, quoniam altera quidem efficacia, altera vero ratione illuminare solet. Sed scientiam oratio affert et magna in securitate tranquillitas, non vanæ gloriæ appetens oraculorum Dei meditatio. Et primo gratia est Dei donantis. » Ad hæc, dicit quoque sanctus Maximus in Scholiis : « Puteus Jacob est Scriptura : aqua vero, ea quæ in Scriptura est scientia ; profundum vero, Scripturæ ænigmatum difficilis contemplatio : haustus autem est divini verbi per litteras disciplina, quam non habebat Dominus, cum ipse esset ipsissimum Verbum neque scientiam ex disciplina et meditatione credendibus dedit, sed eam quæ ex gratia permanente et spirituali, perennis est, neque unquam cessat, dignis donavit. Haustus enim, id est disciplina, nonnullas scientiæ partes apprehendens, totum relinquit, nulla ratione illud occupare valens. Quæ autem secundum gratiam est scientia, totam habet sapientiam, et absque meditatione, eam quæ hominibus competit, ad utilitatem variam, gignens. » Et rursum sanctus Diadochus : « Mens nostra, inquit, plerumque ad orationem difficile movetur; quia nempe virtus optativa nimis arcta et angusta est ; theologiæ vero libens seipsam tradit, quia divina contemplatio larga et soluta est. Ne autem ipsi multa dicendi voluntatem demus, ac supra modum evolare eam sinamus, lætitiæ, orationi plerumque et psalmodiæ

προτόντα, ἕως ἔστι καὶ ὑφέστηκεν, ἀναφαίρετα τυγχάνει. Ἡ ψυχὴ οὖν, ἀεί τε οὖσα ἀφ' οὗ γέγονε, καὶ ὑφισταμένη, διὰ τὸν οὕτως αὐτὴν δημιουργήσαντα Θεὸν, ἀεὶ νοεῖ, καὶ λογίζεται, καὶ γινώσκει, καὶ καθ' ἑαυτὴν, καὶ μετὰ σώματος, δι' ἑαυτὴν, καὶ τὴν ἑαυτῆς φύσιν. Οὐδεὶς οὖν εὑρεθήσεται λόγος, ὁ τὴν ψυχὴν τῶν προσόντων αὐτῇ φυσικῶς, καὶ οὐ διὰ τὸ σῶμα, μετὰ τὴν τούτου λύσιν, ἀλλοτριῶσαι δυνάμενος. » Ἐπεὶ οὖν τὸν νοῦν καὶ τὴν διάνοιαν ἐπιγινώσκομέν τε καὶ παρὰ τῶν ἁγίων μυσταγωγούμεθα, καὶ κατὰ τὸν νῦν αἰῶνα, καὶ κατὰ τὸν μέλλοντα, περὶ Θεὸν κινεῖσθαι καὶ συνεργεῖν [*Ισ.* ἐνεργεῖν]· τὰς δ' ἄλλας δυνάμεις κατὰ τὸν παρόντα καὶ μόνον αἰῶνα, ὡς ἰδίας αὐτῷ δέον καὶ τὴν ψυχὴν, οἷα ἔντεχνον κυβερνήτην, καὶ τὸ κῦρος τούτων φυσικῶς ἔχουσαν, καὶ μὴ κατὰ τὸ παρὸν εἰρημένην [*Ισ.* ἠρημένην], μόνον διενεργεῖν, ἀλλὰ κατὰ τὸ μέλλον μάλιστα, τὸν νοῦν, καὶ τὴν διάνοιαν ὁλοτρόπως σπεύδειν ἀνατείνειν πρὸς τὸν Θεὸν, καὶ κινεῖν, καὶ συνάπτειν, ἐν τῷ τῆς καθαρᾶς προσευχῆς, καὶ τῆς νοερᾶς, καὶ ἐνιαίας, καὶ ἁπλῆς ἐργασίας καιρῷ, τῆς δὲ φαντασίας τοκαθόλου τοῦτον χωρίζειν, καὶ τῶν ἄλλων δυνάμεων· κατὰ γὰρ τὸν ἅγιον Νεῖλον, « Κατάστασίς ἐστι προσευχῆς, ἕξις ἀπαθής· ἔρωτι ἀκροτάτῳ, εἰς ὕψος νοητὸν ἁρπάζουσα τὸν φιλόσοφον, καὶ πνευματικὸν νοῦν. » Οὕτω καὶ γὰρ πράττουσα ἡ ψυχὴ, τὸ εἰκὸς αὐτῇ, καὶ τίμιον ἀξίωμα, ἕσεται διαφυλάττουσα.

A quandiu subsistunt, auferri nequeunt. Anima igitur, quæ ex quo creata est, semper fuit ac substitit per Deum qui ipsam creavit, semper cogitat ac ratiocinatur, et cognoscit, et secundum se et cum corpore, per se et suam naturam. Nulla autem invenietur ratio quæ animam ab iis quæ ipsi insunt neque per corpus, post corporis dissolutionem, separare queat. » Cum igitur sciamus mentem et cogitationem (idque nos sancti doceant,) et in præsenti sæculo et in futuro, ad Deum moveri et operari, cæteras vero potentias, in præsenti tantum sæculo ut huic sæculo proprias; oportet igitur ut anima, tanquam peritus gubernator, in easque naturaliter dominans, neque in præsenti tantum sæculo, ut diximus, operam, mentem cogitationemque omnimodo et ardenter ad Deum dirigat et moveat, et cum eo B uniat in mundæ ac spiritualis et unius ac simplicis orationis tempore; oportet, inquam, ut eas a phantasia omino sejungat et ab aliis potentiis. Ut enim dicit sanctus Nilus, « Orationis ordinatio, habitus absque cupiditate: ardentissimo amore in spiritualem altitudinem sapientem spiritualemque mentem rapiens. » Sic enim agens anima, eam, quæ ipsam decet ornatque, dignitatem servabit.

Ἔτι περὶ νοός.

ο'. Ὡσαύτως δὲ δεῖ καὶ αὐτὸν τὸν νοῦν, ὡς ἀμερῆ, καὶ ἁπλῆν, καὶ αὐτοτελῆ ὄντα οὐσίαν, καθαρὰν, καὶ φωτοειδῆ, ἑαυτὸν τηρεῖν καὶ φυλάσσειν ἀμέτοχον, C καὶ μεμερισμένον ταύτης, ἤγουν τῆς φαντασίας, ὡς καὶ αὐτὸν ἀφ' ἑαυτοῦ δύναμιν φυσικὴν κεκτημένον εἰς τοῦτο, καὶ εἰς τὸ ἀσχέτως πρὸς ἑαυτὸν ἀναπολεῖν, καὶ συστρέφεσθαι, καὶ κινεῖσθαι. Τοῦτο γάρ ἐστιν ἡ στάσις τοῦ νοῦ, ὃ παρὰ τῆς θείας αὐτῷ ἐγγίνεται χάριτος, κατὰ τὸν τῆς Κλίμακος λέγοντα· « Τὸ στῆσαι τὸν νοῦν, μόνον τοῦ ἁγίου Πνεύματός ἐστι. » Κἂν γὰρ καὶ καθὸ δύναμις ὢν ὁ νοῦς τῆς ψυχῆς, καὶ ὑπ' αὐτῆς κινῆται καὶ ἄρχηταί πως, ἀλλ' οὖν γε καὶ ὀφθαλμὸς αὐτῆς ἔστι τε καὶ ὀνομάζεται, καί γε ἰδίαν τινὰ δύναμιν φυσικὴν ἁπλῆν, καὶ αὐτοτελῆ, ὡς εἴπομεν, πλουτεῖ. Διά τοι τοῦτο, καὶ ὁπηνίκα κατὰ φύσιν σχετικῶς πρός τε τὴν ψυχὴν, καὶ τὰς αὐτῆς δυνάμεις διατελεῖ διακείμενος, τότε δὴ καὶ δυνάμει νοῦς ἐστιν, ὅπερ καὶ ψυχικὸς ἄνθρωπος κέκληται. D Ὁπόταν δὲ τὴν ἰδίαν φυσικὴν, καὶ ἁπλῆν οὐσιώδη ἀναλάβῃ ἀξίαν, καὶ φαιδρότητα, τὴν ἀμερῆ, καὶ αὐτοτελῆ, καὶ αὐτοδέσποτον, ἤγουν ἀπαλλαγῇ τῶν τε σωματικῶν, καὶ ψυχικῶν φυσικῶν σχέσεων, καὶ κινήσεων, καὶ ἀπὸ τοῦ δυνάμει νοῦς εἶναι, εἰς τὸ ἐνεργείᾳ νοῦς γενέσθαι ἀξιωθῇ, ἤτοι εἰς τὸν ὑπὲρ φύσιν, καὶ πνευματικὸν προκύψῃ ἄνθρωπον, τότε δὴ ἀεὶ πρὸς ἑαυτὸν ἀκλινῶς ἐπανέρχεται, καὶ δι' ἑαυτοῦ, πρὸς τὴν τοῦ Θεοῦ ἔννοιαν ἀσχέτως ἀναβαίνει πάντῃ, καὶ ἀπολύτως, τὴν ἀδιαμόρφωτον, καὶ ἀνείδεον, καὶ ἁπλῆν, ὥς φησιν ὁ μέγας Βασίλειος· « Νοῦς μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτὸν, δι' ἑαυτοῦ δὲ πρὸς τὴν τοῦ Θεοῦ ἔννοιαν ἀναβαί-

Adhuc de mente.

70. Similiter autem oportet et ipsam mentem, ut partium expertem simplicem et per se absolutam, mundam ac lumine ornatam, seipsam servare ac custodire non participem et separatam ab illa, phantasia nempe: quippe quæ mens a seipsa naturalem possideat potentiam ad se revertendi et se alendi movendique. Ea est enim mentis requies, quæ ipsi divina gratia præstatur, ut dicit Climacicus: « Mentem requiescere, non est nisi a Spiritu sancto. » Etsi enim, in quantum animæ potentia est animus, et ab ipsa moveatur oriaturque quodammodo, sed tamen ejus oculus est ac nominatur, et propriam vim naturalem et per se subsistentem, ut diximus, possidet. Ideoque et quando mens remanet relative ad animam ejusque potentias disposita, tunc est ut potentia mens; et *animalis homo* nuncupatur. Si autem propriam, naturalem, simplicem, essentialem dignitatem recuperaverit splendoremque partium expertem, per se subsistentem independentemque; si nempe a corporalibus et animalibus, naturis et motibus sejuncta fuerit; si a potentiali mente ad mentem operantem assurrexerit, si ad supernaturalem spiritualemque hominem profecerit, tunc sane semper ad se non devia redit, et per se ad Dei cogitationem firmiter et constanter ascendit; quæ cogitatio neque formam neque figuram habet, sed simplex est, ut ait Magnus Basilius: « Mens quæ non ad externa dissipata est, neque sensibus per mundum diffusa, ad seipsam revertitur, per se quoque ad Dei cogitationem ascendit; et illa pulchritudine coruscans et illuminata, ipsius naturæ oblivionem suscipit. » Atque ita igitur Dei imagi-

nem ac similitudinem mens induit et servat, cum mens sit et per se immediate spiritualiterque cum divina mente, cum Deo scilicet adunetur et conversetur. Ipsa igitur operatio est, et motus per circuitum est reditus mentis ad seipsam et conversio et unio, atque ejusdem mentis per se cum Deo adunatio; quæ sola est absque errore et inconstantia, cum non sit impedita, immediata vero, et supra cogitationem unio, et supra visum visio. » Et dicit magnus Dionysius : « Animæ motus est circularis quidem, nempe ad seipsam ab externis introitus; et spiritualium ejus potentiarum simplex involutio, tanquam in quodam circulo, quæ ipsi non errare præstat, eamque a plerisque externis rebus ad se convertit ac colligit; deinde eam tanquam unius speciei effectam potentiis firmiter adunatis adunat et ita ad pulchrum bonumque manu ducit, quod est super omnia et unum et idem et ingenitum et immortale ac æternum. Per circuitum autem anima movetur, in quantum proprie se divina scientia illustrat; non mentaliter et unitive, sed logice et periodice et tanquam commistis et transitivis facultatibus. Recta autem via est, quando non ad seipsam ingreditur, et uno intellectu movetur; (id enim posterius est, ut dixi, motus per circuitum), sed ad ea quæ sunt circum se procedens, ab externis, tanquam a variis symbolis et abundantibus ad simplicem et unam contemplationem inducitur. » Et sanctus Maximus : « Immediatam cum Deo unionem mens accipiens; cogitare et cogitari omnino vacua et libera potest. Quando igitur eam facultatem solvit, aliquid eorum quæ post Deum sunt, cogitans, arguitur unionem quæ supra cogitationem est, rumpere, per quam quamdiu cum Deo est, tanquam supernaturalis et ipsa participatione Deus effecta, et suæ naturæ legem, tanquam immotum finem, transponit. » Et rursum : « Mens pura, per suam cum principio unionem habitum qui supra cogitationem est, induit, secundum quem varios motus et habitus ad ea quæ extra ipsius principium sunt, deponit, et soli principio adhæret, per ineffabilem requiem hujus quod supra cogitationem est, silentii effecta; quod ostendere sermo non potest neque cogitatio, sed sola per participationem experientia, eorum qui hac supra cogitationem fruitione digni habiti sunt, cujus signum visu facile et omnibus manifestum, est omninoda per dispositionem ad hoc præsens sæculum animæ insensibilitas et requies. » Ad id igitur mens ex anima minime cooperans, neque seipsam ad Deum movens neque suum ad se reditum efficiens, neque ad Dei cogitationem ascendens, imo vero id ex neutra parte adimplens, sed cum phantasia se conjungens, jam vario modo se habet, et a Deo longe distat.

νει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει. » Καὶ οὕτω γοῦν καὶ τὸ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν αὐτοῦ ὁ νοῦς ἀναλαμβάνει, καὶ ἀποσώζει, νοῦς ὤν, καὶ δι' ἑαυτοῦ ἀμέσως νοερῶς, τῷ θείῳ νῷ, δηλαδὴ τῷ Θεῷ, ἑνούμενός τε καὶ συγγινόμενος. Αὕτη δέ ἐστιν ἡ ἐργασία, ἡ κατὰ κύκλον κίνησις, δηλονότι, ἡ πρὸς αὐτὸν τὸν νοῦν ἑαυτοῦ ἐπάνοδος, καὶ στροφὴ, καὶ ἕνωσις, καὶ ἡ δι' ἑαυτοῦ, πρὸς τὸν Θεὸν, ἥτις καὶ μόνῃ τῷ ὄντι πέφυκεν ἁπλανὴς, καὶ ἄπταιστος, ὡς ἄσχετος οὖσα, καὶ ἄμεσος, καὶ ὑπὲρ νόησιν ἕνωσις, καὶ ὑπὲρ ὅρασιν ὅρασις. Καὶ λέγει ὁ μέγας Διονύσιος· « Ψυχῆς κίνησίς ἐστι, κυκλικὴ μὲν, ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω, καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων ἡ ἑνοειδὴς συνέλιξις, ὥσπερ ἔν τινι κύκλῳ, τὸ ἀπλανὲς αὐτῇ δωρουμένη, καὶ ἀπὸ τῶν πολλῶν τῶν ἔξωθεν αὐτὴν· ἐπιστρέφουσα, καὶ συνάγουσα πρῶτον εἰς ἑαυτὴν, εἶτα ὡς ἑνοειδῆ γενομένην, ἑνοῦσα ταῖς ἐνιαίως ἡνωμέναις δυνάμεσι, καὶ οὕτως ἐπὶ τὸ καλὸν, καὶ ἀγαθὸν χειραγωγοῦσα, τὸ ὑπὲρ πάντα τὰ ὄντα, καὶ ἓν καὶ ταυτὸν, καὶ ἄναρχον, καὶ ἀτελεύτητον. Ἑλικοειδῶς δὲ ψυχὴ κινεῖται, καθ' ὅσον οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεται γνώσεις· οὐ νοερῶς, καὶ ἑνιαίως, ἀλλὰ λογικῶς, καὶ διεξοδικῶς, καὶ οἷον συμμίκτοις, καὶ μεταβατικαῖς ἐνεργείαις. Τὴν κατ' εὐθείαν δὲ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα, καὶ ἑνικῇ νοερότητι κινουμένη· τοῦτο γὰρ, ὡς ἔφην, ἐστὶ τὸ κατὰ κύκλον. Ἀλλὰ πρὸς τὰ περὶ αὐτὴν πρωϊοῦσα, καὶ ἀπὸ τῶν ἔξωθεν, ὥσπερ ἀπό τινων συμβόλων πεποικιλμένων καὶ πεπληθυσμένων ἐπὶ τὰς ἁπλᾶς καὶ ἡνωμένας ἀνάγηται θεωρίας. » Καὶ ὁ ἅγιος Μάξιμος· « Τὴν ἄμεσον λαβὼν ἕνωσιν πρὸς τὸν Θεὸν ὁ νοῦς, τὴν τοῦ νοεῖν, καὶ νοεῖσθαι κατὰ φύσιν παντελῶς δύναμιν ἔχει σχολάζουσαν· ὁπηνίκα γοῦν ταύτην λύσῃ, νοήσας τι τῶν μετὰ Θεὸν, διακρίθη, τεμὼν τὴν ὑπὲρ νόησιν ἕνωσιν, καθ' ἣν ἕως ἐστὶ τῷ Θεῷ συνημμένος, ὡς ὑπὲρ φύσιν, καὶ τῇ μεθέξει θεὸς γεγενημένος, καθάπερ ὅρος ἀκίνητον, ἑαυτοῦ τὸν τῆς φύσεως μετατίθησι νόμον. » Καὶ αὖθις· « Νοῦς καθαρὸς, τῇ περὶ τὴν αἰτίαν ἑνώσει σχέσιν ἔλαβεν ὑπὲρ νόησιν, καθ' ἣν ἀποπαύσας τὴν πολυποίκιλον πρὸς τὰ μετὰ τὴν αἰτίαν αὐτοῦ φυσικὴν κίνησίν τε καὶ σχέσιν, μόνης ἀγνώστως ἀντέχεται, κατὰ τὴν ἀφθεγκτον λῆξιν γεγενημένος, τῆς ὑπὲρ νόησιν παμμακαρίστου σιγῆς, ἣν δηλῶσαι παντελῶς οὐ δύναται λόγος, ἡ νόησις, ἀλλὰ μόνη κατὰ μέθεξιν ἡ πεῖρα, τῶν ἀξιωθέντων τῆς ὑπὲρ νόησιν ἀπολαύσεως, ἧς σημεῖόν ἐστιν εὔγνωστόν τε καὶ πᾶσι κατάδηλον, ἡ κατὰ διάθεσιν πρὸς τὸν αἰῶνα τοῦτον παντελὴς ἀναισθησία τῆς ψυχῆς καὶ διάστασις. » Πρὸς τοῦτο τοίνυν μὴ συνεργούμενος ὁ νοῦς παρὰ τῆς ψυχῆς, ἤτοι τὸ πρὸς Θεὸν ἀεὶ κινεῖσθαι, μήτε ἀφ' ἑαυτοῦ κατορθῶν, καὶ διενεργῶν τὸ οἰκεῖον, ἤγουν, τὸ πρὸς ἑαυτὸν ἐπανέρχεσθαι, καὶ οὕτως ἀσχέτως εἰς τὴν περὶ Θεοῦ ἔννοιαν ἀναβαίνειν, μᾶλλον δὲ μὴ παρ' ἑκατέρων τοῦτο καρπούμενος, ἀλλὰ τῇ φαντασίᾳ ἑνούμενος, ἤδη λοιπὸν καὶ ποικίλλεται, καὶ μακρὰν ἀπέχει τοῦ Θεοῦ.

A

Ἔτι περὶ καθαρᾶς προσευχῆς.

οα'. Καὶ λέγει ὁ ἅγιος Νεῖλος· « Ἀγωνίζου στῆσαι τὸν νοῦν σου κατὰ τὸν καιρὸν τῆς προσευχῆς, κωφὸν καὶ ἄλαλον, καὶ οὕτω δυνήσῃ προσεύξασθαι· ἔτι ἐγὼ τὸ ἐμὸν λέξω, ὃ καὶ νεωτέροις εἶρηκα· μακάριός ἐστιν ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς προσευχῆς τελείαν ἀμορφίαν ἐκτήσατο. » Καὶ ὁ ἅγιος Φιλόθεος· « Σπάνιόν ἐστιν εὑρεῖν, τοὺς τῷ λογικῷ ἡσυχάζοντας, κἀκείνων μόνων ἐστὶν, οἵτινες τὴν θείαν χαρὰν καὶ παράκλησιν, διὰ τοῦδε τοῦ πράγματος ἐν ἑαυτοῖς ἔχειν διαπαντὸς μηχανῶνται. » Καὶ ὁ μέγας δὲ Βασίλειος· « Εὐχὴ καλή, ἡ ἐνεργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ· καὶ τοῦτό ἐστι τοῦ Θεοῦ ἐνοίκησις, B τὸ διὰ τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεὸν, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται, ἀλλὰ πάντα ἀποφεύγων ὁ φιλόθεος ἐπὶ Θεὸν ἀναχωρῇ. »

Ὅτι ἄλλο ἀπάθεια νοὸς, καὶ ἕτερον προσευχὴ ἀληθὴς, ὃ καὶ μεῖζον.

οβ'. Ἰστέον τοίνυν καὶ τοῦτο, ὡς, εἴπερ καὶ κατὰ τὸν ἅγιον Μάξιμον, « Οὐ δύναται ὁ νοῦς ἐκ μόνης τῆς πράξεως ἀπαθὴς γενέσθαι, ἐὰν μὴ διαδέχωνται αὐτὸν πολλαὶ καὶ ποικίλαι θεωρίαι, ἀλλ' οὖν πάλιν, κατά γε τὸν θειότατον Νεῖλον, ἔνεστι καὶ ἀπαθῆ γεγενημένον, καὶ μὴ προσεύχεσθαι ἀληθῶς, ἀλλὰ ποικίλλεσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ. » Φησὶ γὰρ οὗτος ὁ Πατὴρ περὶ τοῦ τοιούτου οὕτω· « Κἂν C ὑπὲρ τὴν σωματικὴν θεωρίαν ὁ νοῦς γένηται, οὔπω τέλειον τὸν τοῦ Θεοῦ τόπον ἐθεάσατο· δύναται γὰρ ἐν τῇ τῶν νοημάτων εἶναι γνώσει, καὶ ποικίλλεσθαι πρὸς αὐτήν. » Ἔτι· « Οὐχὸ ἀπαθείας τετυχηκὼς, ἤδη καὶ προσεύχεται ἀληθῶς· δύναται γὰρ ἐν τοῖς ψιλοῖς νοήμασιν εἶναι, καὶ ἐν ταῖς ἱστορίαις αὐτῶν περισπᾶσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ. » Ἔτι· « Οὐκ ἂν ὅτι μὴ ἐγχρονίζῃ ὁ νοῦς ἐν τοῖς ψιλοῖς νοήμασι τῶν πραγμάτων, ἤδη καὶ προσευχῆς κατεῖληφε τόπον· δύναται γὰρ ἐν τῇ θεωρίᾳ εἶναι τῶν πραγμάτων, καὶ ἐν τοῖς λόγοις αὐτῶν ἀδολεσχεῖν· ἅπερ εἰ καὶ ψιλὰ ῥήματά εἰσιν, ἀλλ' ὡς πραγμάτων ὄντα θεωρήματα, τυποῦσι τὸν νοῦν, καὶ μακρὰν ἀπάγουσιν ἀπὸ Θεοῦ. » Λέγει δὲ καὶ ὁ τῆς Κλίμακος· « Ὧν ὁ νοῦς D μεμάθηκεν ἀληθῶς εὔχεσθαι, οὗτοι Κυρίῳ κυρίως ἐνώπιοι ἐνωπίῳ λαλοῦσιν, ὡς οἱ πρὸς τὸ οὖς τοῦ βασιλέως· ἐκ δὲ τούτων καὶ τῶν τοιούτων, δύνασαι ἀκριβῶς συνιδεῖν, τὴν τῶν ἑκατέρων πολιτειῶν διαφορὰν, καὶ ἀσύγκριτον σύγκρισιν, τῆς κατὰ παράδοχὴν, φαμὲν, καὶ τῆς κατ' ἐπιβολήν. Τῆς μὲν γὰρ ἔργον, μελέται· καὶ πολλαὶ, καὶ ποικίλαι θεωρίαι. Τῆς δὲ ἐργασία, ἡ ἀληθὴς προσευχή. Πρὸς δὲ, καὶ ὅτι ἄλλο νοὸς ἀπάθεια, καὶ ἕτερον προσευχὴ ἀληθής. » Ἔτι τε ὡς ὁ ἔχων τὴν ἀληθῆ προσευχὴν κατὰ τοὺς ἁγίους, κατὰ πᾶσαν ἀνάγκην καὶ τὸν νοῦν ἀπαθῆ κεκτῆσθαι πέφυκεν, οὐ μὴν δὲ, καὶ ὁ ἔχων μόνον τὸν νοῦν ἀπαθῆ, δεδύνηται κεκτῆσθαι καὶ τὴν ἀληθῆ προσευχήν. Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ λόγος ἐπανερχέσθω πρὸς τὰ προκείμενα. Ἐπεὶ οὖν οὐ μόνον παρὰ τὰ

Adhuc de munda oratione.

71. Et dicit sanctus Nilus : « Enitere ut mentem tuam orationis tempore tacitam ac silentem teneas, et sic orare poteris. « Ego adhuc quod meum est dicam et quod junioribus dixi : « Beata est mens quæ tempore orandi perfecte formis vacua est. » Et sanctus Philotheus : « Raro inveniuntur qui ratione pacem agant ; et eorum tantum est qui divinam lætitiam consolationemque per id in se habere perpetuo student. » Et Magnus Basilius : « Oratio bona, ea est quæ efficacem Dei cogitationem in anima efformat ; et ea est Dei inhabitatio, nempe in se Deum per memoriam tenere, quando nullis terrestribus cogitationibus memoriæ continuitas perrumpitur, neque obviis quibusque cupiditatibus mens perturbatur, sed omnia hæc fugiens qui Deum diligit, ad Deum accedit. »

Quod aliud est mentis apathia, et aliud oratio vera quæ adhuc major est.

72. Sciendum quoque et illud ; secundum sanctum Maximum : « Non potest mens ex sola actione absque cupiditate fieri ; nisi eam multæ ac variæ cogitationes suscipiant, sed, ex divinissimo Nilo, fieri potest ut qui cupiditatibus liber effectus est, non vere oret, sed inconstans sit et longe a Deo distet. « Ita enim ille Pater de illa re : « Etiamsi mens supra corporalem contemplationem ascenderit, nondum perfectum Dei locum contemplata est. Potest enim in cogitationis scientia esse, et circa eam variare. » Et adhuc : « Qui apathiam assecutus est nondum vere orat ; potest enim in tenuibus cogitatis versari, et in suis notionibus distrahi, et a Deo longe distare. » Et adhuc : « Non eo quod mens in tenuibus rerum cogitatis immoretur, jam orationis locum assecuta est ; potest enim in rerum contemplatione versari et in suis rationibus vana esse ; quæ, etsi tenuia sint verba, sed quoniam rerum signa sunt, mentem informant, eamque a Deo separant. » Dicit autem et Climacicus : « Quorum mens didicit vere orare, ii Domino dominanter et facie ad faciem loquuntur, tanquam ii qui ad aurem regis verba faciunt. Ex iis autem ac talibus potes apprime intelligere utriusque rationis differentiam et ex comparatione dissimilitudinem, cum una sit per acceptionem, et altera per conatum. Unius enim opus cura et multæ ac variæ contemplationes. Alterius autem, vera oratio. Ad hæc, aliud est mentis apathia, aliud oratio vera. » Imo qui veram orationem possidet, secundum sanctos, necessario quoque mentem absque cupiditate habet. Qui vero tantum mentem absque cupiditate possidet, non semper potuit veram orationem habere. Et hæc quidem ita se habent. Sed redeat sermo ad ea quæ nobis proposita sunt. Cum non modo ea quæ diximus, sed et ipsa bonorum ac malorum memoria, frequenter mentem informare ac ad phantasiam ducere soleant;

ται τὸν Κύριον. » Καὶ μετὰ βραχέα· « Ταῦτα τὰ τρία, A ἀκαταμάχητα ὅπλα κατὰ τοῦ διαβόλου, ἅπερ ἡ ἁγία Τριὰς ἡμῖν ἐδωρήσατο, ταπείνωσιν λέγω, ἀγάπην, καὶ ἔλεος, εἰς ἅπερ οὐδὲ ἀντιβλέψαι δύναται πᾶς ὁ τῶν δαιμόνων ἐσμός. Οὐκ ἔστι γὰρ παρὰ τούτοις ταπεινώσεως ἴχνος, οἵ γε διὰ τὴν ὑπαρσιν ἐξοφώθησαν, καὶ πῦρ αὐτοῖς ἡτοιμάσθη αἰώνιον. Ποῦ παρὰ τούτοις ἀγάπη, ἢ ἐλέους σκιά, οἳ πρὸς τὸ γένος τῶν ἀνθρώπων, ἄσπονδον τὴν ἔχθραν ἐκτήσαντο, καὶ διηνεκῶς πολεμεῖν οὐ παύονται; Τούτοις λοιπὸν τοῖς ὅπλοις θωρακισθῶμεν, ἅπερ ὁ περιφέρων, ἀνάλωτος τοῖς πολεμίοις καθέστηκε. » Καὶ μετ' ὀλίγα· « Ταύτην τὴν τρίπλοκον σειρὰν, ἣν ἡ ἁγία Τριὰς ἐξύφανε καὶ συνέπλεξεν, ὁρῶμεν καὶ τρία οὖσαν, καὶ ἕν. Τρία μὲν τοῖς ὀνόμασιν, εἰ δὲ βούλει, καὶ ταῖς ὑποστάσεσιν· ἓν δὲ, τῇ δυνάμει καὶ ἐνεργείᾳ, καὶ τῇ πρὸς Θεὸν B ἐγγύτητι, καὶ νεύσει, καὶ οἰκειότητι. » Περὶ τούτων εἴρηκεν ὁ Δεσπότης, ὅτι « Ὁ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν· » καὶ ὁ ἠγαπημένος· « Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί. » Καὶ μετά τινα· « Τούτου ἕνεκα ψυχὴ ἡ ἀνακραθεῖσα Θεῷ διὰ βίου καθαρότητα, καὶ τῆς τῶν ἐντολῶν φυλακῆς, καὶ τῶν τριῶν τούτων ὅπλων, ἅπερ εἰσὶν αὐτὸς ὁ Θεὸς, τὸν Θεὸν αὐτὸν ἐνεδύσατο, καὶ γέγονε θέσει Θεὸς, διὰ ταπεινώσεως, ἐλέους τε καὶ ἀγάπης, καὶ τὴν ὑλικὴν δυάδα περάσας, καὶ ὑπεραναβὰς τὸ τοῦ νόμου κεφάλαιον, τὴν ἀγάπην λέγω, τῇ ὑπερουσίῳ καὶ ζωαρχικῇ Τριάδι συνήφθη, ἐντυγχάνων ἀμέσως, φωτὶ φῶς προσλαμβάνων, καὶ εὐφραινόμενος χαρᾷ ἀδιάδοχον καὶ αἰώνιον. » Ἀλλ' ἀπόχρη καὶ περὶ τούτων· εἰκὸς δὲ ὥσπερ ἄρα περὶ τῶν τῆς πλάνης C καὶ τῆς ἀληθείας διεμνημονεύσαμεν ὡς ἀπὸ μέρους γνωρισμάτων καὶ καρπῶν (ὅθεν καὶ ἐξ αὐτῶν, ἤτοι τῶν καρπῶν, κατὰ τὸν θεῖον Παῦλον ἐπιγνωσόμεθά πως τοὺς ἐνεργουμένους, οἵου πνεύματός εἰσιν), οὕτω καὶ περὶ τῆς ἐξ ἑκατέρων παρακλήσεως, τῆς θείας, φαμὲν, καὶ ἀληθοῦς χάριτος, καὶ τῆς ἐπιπλάστου, καὶ ἐναντίας, χρήσεσι Πατρικαῖς δέον μικρόν τι διασημῆναι. Λέγει τοίνυν περὶ ταύτης οὕτως ὁ θεῖος Διάδοχος·

τοῦ λογισμοῦ βιαιότερον, κἂν τέως μὴ ἁμαρτάνῃ ἐκτός. Ἡδυπαθὴς δὲ, ὁ τὴν ἐνέργειαν τῆς ἁμαρτίας ἔχων ἀσθενεστέραν τοῦ λογισμοῦ, κἂν πάσχῃ ἐκτός [*ἐν ἄλλ.* ἐντός]. Προσπαθὴς δὲ, ὁ τῇ ἐλευθερίᾳ μᾶλλον, ἢ τῇ δουλείᾳ τῶν μέσων προσκείμενος. Ἀπαθὴς δ' ἂν εἴη, ὁ τούτων πάντων τὴν διαφορὰν ἀγνοῶν. Ὡσαύτως μέντοι καὶ περὶ τῆς ἀμφοτέρων θεραπείας, τάδε διασαφεῖ· ἀπόλλυται ἐκ ψυχῆς, ἐμπάθεια μὲν, διὰ νηστείας καὶ προσευχῆς· ἡδυπάθεια δὲ, δι' ἀγρυπνίας, καὶ σιωπῆς· ἡ δὲ προσπάθεια, διὰ ἡσυχίας, καὶ προσοχῆς· ἀπάθεια δὲ συνίσταται, ἐκ μνήμης Θεοῦ. »

A lentiorem sentit quam cogitationem. Dulce afficitur qui peccati efficaciam cogitatione infirmiorem habet, etsi extra patiatur; vehementer autem, qui libertati magis quam servituti intermediorum subjacet. Nullum autem affectum experitur, qui omnium horum differentiam ignorat. Similiter porro de eorum curatione hæc exponit. « Ex anima rejicitur corporeus affectus per jejunium et orationem; dulcis affectus, per vigiliam et silentium; vehemens per tranquillitatem et attentionem; formatur vero affectuum carentia ex Dei memoria

Περὶ πίστεως, ἐλπίδος, καὶ ἀγάπης.

De fide, spe et charitate.

ιγ'. Ἀλλ' ἐπεὶ πάντων ἀγαθῶν ἀρχὴ, καὶ μεσότης, καὶ τέλος, εἰ βούλοιο δὲ εἰπεῖν· καὶ χορηγὸς, καὶ πρύτανις, πίστις, ἐλπὶς, ἀγάπη· τὸ τριπλοκον σπαρτίον, καὶ θεοῦφαντον, καὶ μᾶλλον πάντων ἡ ἀγάπη, ὅτι ὁ Θεὸς ἀγάπη ἐστί τε καὶ λέγεται, οὐ δίκαιον, μὴ καὶ διὰ τούτων το τοῦ παρόντος συγγράμματος ἐλλεῖπον ἀναπληρῶσαι « Μᾶλλον δὲ, ἐπειδήπερ καὶ κατὰ τὸν ἅγιον Ἰσαὰκ τὴν τελειότητα τῶν πολλῶν καρπων τοῦ πνεύματος, τότε τις δέχεται, ὅταν ἀξιωθῇ τῆς τελείας ἀγάπης. »

90. Sed quoniam omnium bonorum principium et medium et finis; si autem id velis dicere, dux et princeps est, fides, spes, charitas; triplex ille funis et a Deo ipso contextus, et optima ex ils est charitas, cum Deus charitas sit et dicatur, non justum esset non per eas virtutes quod huic operi desit adimplere. « Eo magis, quod, juxta sanctum Isaac multorum Spiritus sancti fructuum perfectionem aliquis accipit, cum perfecta charitate dignus habitus est.

Φέρε καὶ περὶ αὐτῆς μικρὸν διαμνημονεύσωμεν. Καὶ γοῦν γράφει ὁ τῆς Κλίμακος· « Νυνὶ δὲ λοιπὸν μετὰ πάντα τὰ προειρημένα, μένει τὰ τρία ταῦτα τὸν σύνδεσμον πάντων ἐπισφίγγοντα, καὶ κρατοῦντα, πίστις, ἐλπὶς, ἀγάπη· μείζων δὲ τούτων, ἡ ἀγάπη· ὁ Θεὸς γὰρ ὀνομάζεται. Πλὴν ἔγωγε, τὴν μὲν, ἀκτῖνα ὁρῶ, τὴν δὲ, φῶς, τὴν δὲ, κύκλον, πάντα δὲ, ἓν ἀπαύγασμα, καὶ μίαν λαμπρότητα. Ἡ μὲν γὰρ πάντα δύναται ποιεῖν καὶ δημιουργεῖν, τὴν δὲ ἔλεος Θεοῦ περικυκλοῖ, καὶ ἀκαταίσχυντον ποιεῖ, ἡ δὲ οὐ πίπτει, οὐδὲ στήκει τοῦ θέειν, οὐδὲ τὸν τρωθέντα λοιπὸν ἠρεμεῖν τῆς μακαρίας μανίας ἐᾷ. » Ἔτι· « Ὁ περὶ ἀγάπης λόγος, ἀγγέλοις γνώριμος, κἀκείνοις, κατὰ τὴν ἐνέργειαν τῆς ἐλλάμψεως, ἀγάπη ὁ Θεός ἐστιν. Ὁ ὅρον δὲ τούτου λέγειν βουλόμενος, ἐν ἀβύσσῳ τυφλώττων τὴν ψάμμον μετρεῖ. Ἀγάπη, κατὰ μὲν τὴν ποιότητα, ὁμοίωσις Θεοῦ, καθόσον ἐφικτὸν βροτοῖς· κατὰ δὲ ἐνέργειαν, μέθη ψυχῆς· κατὰ δὲ τὴν ἰδιότητα, πηγὴ πίστεως, ἄβυσσος μακροθυμίας, θάλασσα ταπεινώσεως. Ἀγάπη ἐστὶ κυρίως ἀπόθεσις παντοίας ἐναντίας ἐννοίας, εἴπερ ἡ ἀγάπη, οὐ λογίζεται τὸ κακόν. Ἀγάπη, καὶ ἀπάθεια, καὶ υἱοθεσία, τοῖς ὀνόμασι διακρίνεται μόνοις, ὡς φῶς, καὶ πῦρ, καὶ φλὸξ, εἰς μίαν συντρέχουσιν ἐνέργειαν, οὕτω καὶ περὶ τούτων μοι νόει. » Καὶ ὁ ἅγιος Διάδοχος· « Πάσης πνευματικῆς, ἀδελφοὶ, ἡγείσθω θεωρίας, πίστις, ἐλπὶς, ἀγάπη· πλέον δὲ ἡ ἀγάπη. Αἱ μὲν γὰρ, καταφρονεῖν τῶν ὁρωμένων ἐκδιδάσκουσι καλῶν, ἡ δὲ ἀγάπη, αὐτὴν συνάπτει τὴν ψυχὴν ταῖς ἀρεταῖς τοῦ Θεοῦ, αἰσθήσει νοερᾷ, τὸν ἀόρατον Θεὸν ἐξιχνεύουσα. » Ἔτι· « Ἄλλη ἐστὶν ἡ ἀγάπη τῆς ψυχῆς ἡ φυσικὴ, καὶ ἄλλη, ἡ ἐκ τοῦ ἁγίου Πνεύματος αὐτῇ προσγινομένη. Ἡ μὲν γὰρ, ἐκ τῆς ἡμετέρας, ὅτε θέλομεν, συμμέτρως κινεῖται θελήσεως, διόπερ καὶ εὐχερῶς ὑπὸ τῶν πονηρῶν πνευμάτων ἡνίκα μὴ βίᾳ κρατῶμεν τῆς ἑαυτῶν προαιρέσεως, διαρπά-

Pauca igitur et de ea memoremus. Scribit Climax: « Nunc post omnia quæ diximus remanent tria hæc omnium vinculum constringentia et dominantia, fides nempe, spes et charitas; major autem horum, charitas; charitas enim Deus nominatur. Ego tamen, unam quidem, ut radium video, alteram, lumen, tertiam autem circulum, omnes vero, unum fulgorem et splendorem. Una quidem omnia potest facere et operari; secundam misericordia Dei circumdat et non confundi sinit; tertia nunquam deficit, neque currere desinit, neque eum quem vulneraverit, a beato illo ardore quiescere sinit. » Et adhuc: « Sermo de charitate, angelis notus, et illis per illuminationis virtutem, charitas Deus est. Qui illius terminum vult dicere, cæcus est in abysso arenam metiens. Charitas, pro ejus qualitate, similitudo cum Deo est, quantum mortalibus accedere ad eum licet; pro virtute, animæ est ebrietas; secundum proprietatem, fons est fiduciæ, longanimitatis abyssus, humilitatis mare. Charitas est vere cujusvis contrariæ cogitationis repulsio, si-quidem charitas non cogitat malum. Charitas, et tranquillitas ab affectibus, et adoptio, nominibus solis discernuntur, ut lumen, et ignis, et flamma, in unam concurrunt efficaciam. Ita mihi de iis videtur. » Et sanctus Diadochus: « Omnem spiritualem, fratres, contemplationem dirigant fides, spes, charitas, maxime autem charitas. Prieres quidem visibilia bona despicere docent; charitas vero virtutibus Dei animam adaptat, spirituali sensu invisibilem Deum investigans. » Et adhuc: « Alia est charitas animæ naturalis, et alia quæ ea sancto Spiritu in ipsa efficitur. Alia enim, nostra, cum volumus, voluntate moderate excitatur, et idcirco facile a malis spiritibus, quando non violenter nostram voluntatem vincimus, abripitur. Alia autem

adeo animam incendit ad Dei amorem, ut omnes animæ partes ineffabili divini desiderii excellentiæ adunentur in immensa quadam simplicitatis dispositione. Referta enim spirituali virtute mens, quemdam charitatis ac lætitiæ fontem emittit. » Et sanctus Isaac: « Charitas quæ ex quibusdam rebus efficitur, est tanquam parva lucerna oleo nutrita, et sic alitur ejus lumen, aut tanquam torrens ex pluvia ruens, cujus fluctus cessant, ubi deficit quæ eos producit materia. Charitas vero quæ Deum auctorem habet, est tanquam fons saliens, et nunquam fluctus ejus interrumpuntur: ipse enim solus est fons charitatis et ejus indeficiens materia. » Et rursum interrogatus quænam sit multorum spiritus fructuum perfectio, respondit: «Quando quis dignus perfecta Dei charitate habitus est. » Et denuo interrogatus unde aliquis sciat se ad hanc virtutem processisse, dixit: « Cum memoria Dei in ejus cogitatione excitata fuerit, statim cor ejus Dei charitate excitatur, et ejus oculi multas effundunt lacrymas. Hanc enim consuetudinem habet charitas, ex memoria hujus quem amat lacrymas eliciendi; et qui charitatem habet, nunquam a lacrymis deficit. Nunquam enim illi deest materia quæ ipsum ad Dei ferat memoriam, ita ut vel in somno suo cum Deo conversetur. Consuetudo enim charitatis est talia agere et ipsa est hominum in hujuscemodi vita perfectio. » Et adhuc: « Charitas Dei natura ardet, et quando vehementer in aliquem incidit, hanc animam extra se esse facit. Ideo cor non potest eam a charitate quam percepit, sejungere, aut eam temperare, sed pro ejus qualitatis modo et in eam superveniente charitate, in ea apparet insolita conversio. Et hæc sunt sensibilia ejus signa: fit hominis vultus igneus, lætus, et corpus ejus calefit, ab eo timor recedit; ut amens efficitur, mortem quæ tam horrenda est, ut lætitiam habet, et nunquam mentis ejus contemplatio a cœlestiu n cogitatione defectionem patitur; et absens tanquam præsens, conversatur, a nemine visus. Scientia ejus ac visio naturalis prætereunt, neque sensibiliter motum suum animadvertit quo in rebus movetur. Et si quid agat, non id omnino sentit, mentem habens in hac contemplatione fluctuantem, et hujus cogitatio semper cum alio aliquo colloquitur. Hac spirituali ebrietate ebrii fuerunt olim apostoli et martyres; et alii quidem mundum universum percurrentes, laborantes, injuriis onerati; alii vero, laceratis membris, sanguinem suum effuderunt tanquam aquam, et horrenda patientes, non deciderunt, sed generose sustinuerunt. Et cum essent sapientes, ut insipientes habiti sunt, et alii in desertis erraverunt et montibus, et in speluncis et in cavernis terræ, et in ea tumultuatione non perturbati fuerunt. Det nobis Deus ad hanc amentiam pervenire.

ζεται· ἡ δὲ, τοσοῦτον ἐκκαίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε πάντα τὰ τῆς ψυχῆς τότε μέρη, τῇ τοῦ θείου πόθου ἀλαλήτῳ ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπείρῳ τινὶ ἁπλότητι διαθέσεως· ἐγκύμων γὰρ ὥσπερ ὁ νοῦς τότε ὑπὸ τῆς πνευματικῆς ἐνεργείας γινόμενος, πηγήν τινα ἀγάπης ἀναβλύζει καὶ χαρᾶς. » Καὶ ὁ ἅγιος Ἰσαάκ· « Ἡ ἀγάπη, ἡ ἐκ τινων γινομένη πραγμάτων, ὡς λαμπὰς ἐστι μικρὰ, ἐκ τοῦ ἐλαίου τρεφομένη, καὶ οὕτω συνίσταται τὸ φῶς αὐτῆς· ἢ καὶ ὡς χείμαρρος ῥέων ἐκ τοῦ ὑετοῦ, οὗπερ ἡ ῥεῦσις καταπαύεται, τῆς συνιστώσης αὐτὸν ὕλης, λεῖψιν παθούσης. Ἡ ἀγάπη δὲ, ἡ τὸν Θεὸν αἴτιον ἔχουσα, ὡς πηγή ἐστι βρύουσα, καὶ οὐδέ ποτε τὰ ῥεύματα αὐτῆς ἀνακόπτεται· αὐτὸς γὰρ μόνος ἐστὶ τῆς ἀγάπης πηγὴ, καὶ ἀνελλιπὴς ἡ ὕλη αὐτῆς. » Καὶ αὖθις ἐρωτηθεὶς, ποία ἐστὶν ἡ τελειότης τῶν πολλῶν καρπῶν τοῦ πνεύματος, ἀπεκρίθη· « Ὅταν τις ἀξιωθῇ τῆς τελείας ἀγάπης τοῦ Θεοῦ. » Καὶ αὖθις ἐρωτηθεὶς, καὶ πόθεν γινώσκει τις, ὅτι ἔφθασεν εἰς ταύτην, ἔφη· « Ὅταν κινηθῇ ἡ μνήμη τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ, εὐθέως ἡ καρδία αὐτοῦ, κινεῖται ἐν τῇ ἀγάπῃ αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ καταφέρουσι δάκρυα δαψιλῶς· ἔθος γὰρ ἔχει ἡ ἀγάπη, ἐκ τῆς μνήμης τῶν ἀγαπητῶν, ἐξάγειν δάκρυα, καὶ τοιοῦτος ὢν, οὐδέποτε ὑστερεῖται ἐκ τῶν δακρύων. Διότι οὐ λείπει αὐτῷ ἀεὶ ὕλη φέρουσα αὐτὸν εἰς μνήμην τοῦ Θεοῦ, ὥστε καὶ ἐν τῷ ὕπνῳ αὐτοῦ, συνομιλεῖ τῷ Θεῷ· ἔθος γὰρ τῇ ἀγάπῃ, πράξει τὰ τοιαῦτα, καὶ αὕτη ἐστὶν ἡ τελειότης τῶν ἀνθρώπων ἐν τῇ ζωῇ αὐτῶν ταύτῃ. » Ἔτι· « Ἡ ἀγάπη τοῦ Θεοῦ, θερμή ἐστι τῇ φύσει, καὶ ὅταν ἀμέτρως ἐπιπέσῃ τινὶ, ποιεῖ ἐκείνην τὴν ψυχὴν, ἐκστατικήν. Διὰ τοῦτο οὐ δύναται ἡ καρδία τοῦ αἰσθηθέντος αὐτῆς, χωρῆσαι αὐτὴν, καὶ καρτερῆσαι, ἀλλὰ κατὰ τὸ μέτρον τῆς ποιότητος καὶ τῆς ἐπιθούσης αὐτῷ ἀγάπης, ὁρᾶται ἐν αὐτῷ ἀλλοίωσις ἀνάλογος. Καὶ ταῦτα τὰ σημεῖα αὐτῆς τὰ αἰσθητά· γίνεται τὸ πρόσωπον τοῦ ἀνθρώπου, πυῤῥὸν, περιχαρὲς, καὶ τὸ σῶμα αὐτοῦ θερμαίνεται, ἀφίσταται ἀπ' αὐτοῦ ὁ φόβος, καὶ ἡ αἰδὼς, καὶ γίνεται ὡς ἐκστατικὸς, καὶ ἡ δύναμις ἡ συνάγουσα τὸν νοῦν φεύγει ἐξ αὐτοῦ· καὶ ὡς ἔκφρων γίνεται, τὸν φοβερὸν θάνατον ἡγεῖται χαρὰν, καὶ οὐδέποτε ἡ θεωρία τοῦ νοὸς αὐτοῦ, διακοπήν τινα πάσχῃ, ἐκ τῆς τῶν οὐρανίων διανοήσεως. Καὶ ἀπὼν, ὡς παρὼν ὁμιλεῖ, μὴ ὁρώμενος ὑπό τινος. Ἡ γνῶσις, καὶ ἡ ὅρασις αὐτοῦ· παρέρχεται, ἡ φυσικὴ, καὶ οὐκ αἰσθάνεται αἰσθητῶς τῆς κινήσεως αὐτοῦ, ἧς ἐν τοῖς πράγμασι κινεῖται. Κἂν γὰρ πράττῃ τι, οὐ τελείως αὐτοῦ αἰσθάνεται, ὡς τὸν νοῦν ἔχων ἐν τῇ θεωρίᾳ μετέωρον, καὶ ἡ διάνοια αὐτοῦ, ἀεὶ ὡς μετὰ ἄλλου ἀδολεσχεῖ. Ταύτην τὴν πνευματικὴν μέθην, ἐμεθύσθησάν ποτε οἱ ἀπόστολοι, καὶ οἱ μάρτυρες, καὶ οἱ μὲν, ὅλον τὸν κόσμον διελθόντες, κοπιῶντες, καὶ ὀνειδιζόμενοι, οἱ δὲ, τὰ μέλη κατακοπτόμενοι, ἐξέχεαν τὰ αἵματα αὐτῶν, ὡσεὶ ὕδωρ, καὶ τὰ δεινότατα πάσχοντες, οὐκ ὠλιγώρησαν, ἀλλὰ γενναίως ὑπήνεγκαν· καὶ ὄντες σοφοὶ, ὡς ἄφρονες ἐνομίσθησαν, καὶ ἄλλοι ἐν ἐρημίαις ἐπλανήθησαν, καὶ ὄρεσι, καὶ ἐν σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἐν ἀταξίαις, εὐσχετοι ὄντες. Ταύτην τὴν ἄνοιαν, ἀξιώσαι ἡμᾶς ὁ Θεὸς φθάσαι. »

Περὶ τῆς ἁγίας κοινωνίας, καὶ τοῦ, ὅσων ἀγαθῶν A *ἡμῖν πρόξενος, ἡ συνεχῶς μετὰ καθαροῦ τοῦ συνειδότος ταύτης μετάληψις, καὶ κοινωνία.*

De sancta communione; et quod bona nobis præbet, continua hujus cum pura conscientia receptio et communio.

ΚΑ'. Οὐδὲν δὲ οὕτω πρός τε ψυχῆς κάθαρσιν, καὶ φωτισμὸν νοὸς, καὶ σώματος ἁγιασμὸν, καὶ ἀμφοτέρων πρὸς τὸ θειότερον μεταστοιχείωσιν καὶ ἀθανασίαν· ναὶ μὴν, καὶ πρὸς ἀποτροπὴν παθῶν καὶ δαιμόνων, ἢ μᾶλλον οἰκειοτέρως εἰπεῖν, πρὸς ἕνωσιν, καὶ Θεοῦ θείαν ὑπερφυᾶτε συνάφειαν καὶ ἀνάκρασιν, συνεργεῖ καὶ συμβάλλεται ἡμῖν, ὡς ἡ ἐξ εἰλικρινοῦς καρδίας τε καὶ διαθέσεως, κατ' ἐφικτὸν ἀνθρώπῳ, συνεχὴς μετάληψις καὶ κοινωνία, τῶν ἁγίων, ἀχράντων, καὶ ἀθανάτων, καὶ ζωοποιῶν μυστηρίων· αὐτοῦ φαμεν τοῦ τιμίου σώματος, καὶ αἵματος τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Διά τοι B τοῦτο ἀναγκαῖον ὡς μάλιστα καὶ περὶ τούτου ἀπὸ σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ. Οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· καὶ ὁ τρώγων μου τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα. » Καὶ ὁ Χριστοφόρος δὲ Παῦλος, τοιάδε φησίν· « Ἀδελφοὶ, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε· Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν, ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε C ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο μέρους διαλαβεῖν, καὶ τῷ τοιῷδε συντάξαι πονήματι, καὶ οὕτω πέρας δοῦναι τῷ λόγῳ. Καὶ τοῦτο γοῦν δῆλον, οὐ μόνον ἐξ ὧν φθέγγονται οἱ ἅγιοι, ἀλλά γε πολλῷ πλέον, ἐξ αὐτῶν τῶν τῆς αὐτοζωῆς, καὶ αὐτοαληθείας ῥημάτων, ἐκδηλότερον. » Λέγει καὶ γάρ· D « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. » Καὶ οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐγὼ δώσω, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. » Καί· « Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. » Ἔτι· « Ἡ γὰρ σάρξ μου, ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου, ἀληθής ἐστι πόσις· ὁ τρώγων μου τὴν

91. Nihil utique ad animæ purgationem et mentis illuminationem et corporis sanctificationem et amborum ad Deum translationem immortalitatemque ita confert; imo vero et ad cupiditatum dæmonumque repulsionem, aut, ut aptius dicam, ad unionem et supernaturalem cum Deo conjunctionem et immistionem, nihil ita in nobis cooperatur et auxiliatur, ut continua sanctorum, mundissimorum, immortalium, vivificorum mysteriorum receptio ac communio, cum puro corde ac recta dispositione, quantum homini possibile est, ipsius, dicimus, venerandi corporis et sanguinis Domini et Dei et Salvatoris nostri Jesu-Christi. Ideoque necessarium est ut et de eo nonnulla exponamus, et huic curæ tempus impendamus, sicque terminum nostro sermoni imponamus.

Atque id igitur manifestum est, non modo ex his quæ sancti dicunt, sed multo magis ex ipsis vitæ ac veritatis auctoris vocibus, manifestius. Dicit enim : « Ego sum panis vitæ [66]; » et, « Iste est panis de cœlo descendens, ut si quis ex ipso manducaverit, non moriatur. Ego sum panis vivus qui de cœlo descendit; si quis manducaverit ex hoc pane, vivet in æternum. Et panis quem ego dabo caro mea est pro mundi vita [67]. » Et, « Nisi manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis; qui manducat meam carnem et bibit meum sanguinem, habet vitam æternam [68]. » Et adhuc : « Caro mea vere est cibus, et sanguis meus vere est potus; qui manducat meam carnem et bibit meum sanguinem, in me manet, et ego in illo. Quemadmodum misit me vivens Pater, et ego vivo propter Patrem; et qui manducat me, et ille vivet propter me. Hic est panis qui de cœlo descendit : et qui manducat hunc panem, vivet in æternum [69]. » Et Christi discipulus Paulus hæc ait : « Fratres, ego accepi a Domino Jesu quod et tradidi vobis, quoniam Dominus Jesus in qua nocte tradebatur, accepit panem et gratias agens, fregit ac dixit : Accipite et manducate : hoc est corpus meum, quod pro vobis tradetur : hoc facite in meam commemorationem. Similiter et calicem, postquam cœnavit, dicens : Hic calix novum Testamentum est in meo sanguine; hoc facite, quotiescunque bibetis, in meam commemorationem. Quotiescunque enim manducabitis panem hunc, et calicem illum bibetis, mortem Domini annuntiabitis, donec veniat. Qui manducaverit panem hunc, vel biberit calicem Domini indigne, reus erit corporis et sanguinis Domini. Probet igitur seipsum homo, et sic de pane illo comedat et de calice bibat. Qui manducat et bibit indigne, judicium sibi manducat et bibit, non dijudicans corpus Domini. Ideo inter vos multi infirmi et imbe-

[66] Joan. VI, 35. [67] ibid. 50-52. [68] ibid. 54-55. [69] ibid. 56-59.

ματος ἡμῖν τοῦ ἑαυτοῦ μετέδωκε, καὶ οὐδὲν τούτων ἡμᾶς ἀποτρέπει τῶν κακῶν. Ὦ τῆς ἀναλγησίας! ὦ τῆς ἀναισθησίας! » Καὶ αὖθις· « Πρεσβύτης τις θαυμαστὸς, ἐμοὶ διηγήσατο, τοιοῦτόν τι ἀξιωθεὶς ἰδεῖν, καὶ ἀκοῦσαι, ὅτι τοὺς μέλλοντας ἐνθένδε ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες, ἐν συνειδήσει καθαρᾷ, ὅταν ἀποθανεῖν μέλλωσι, δορυφοροῦντες οἱ ἄγγελοι δι' ἐκεῖνο τὸ μεταληφθὲν, ἐνθένδε ἀπάγουσι. » Καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός· « Ἐπειδὴ διπλοῖ τινές ἐσμεν, καὶ συνθετοι, δεῖ καὶ τὴν γέννησιν διπλῆν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν, σύνθετον. Ἡ μὲν οὖν γέννησις, δι' ὕδατος ἡμῖν, καὶ πνεύματος δίδοται, ἡ δὲ βρῶσις αὐτός ἐστιν ὁ ἄρτος τῆς ζωῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἐξ οὐρανοῦ καταβάς, καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ ἔθος τοῖς ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι, συνέζευξε τῷ ἐλαίῳ καὶ τῷ ὕδατι, τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως, οὕτως ἐπειδὴ ἔθος ἡμῖν ἄρτον ἐσθίειν, ὕδωρ δὲ καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν ἑαυτοῦ θεότητα· καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων, καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα. Σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς ἁγίας Παρθένου σῶμα, οὐχ ὅτι αὐτὸ τὸ σῶμα, τὸ ἀναληφθὲν, ἐξ οὐρανῶν κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος, καὶ ὁ οἶνος, μεταποιεῖται εἰς σῶμα, καὶ αἷμα Θεοῦ. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ Πνεύματος ἁγίου, ὥσπερ ἐκ τῆς ἁγίας Θεοτόκου διὰ Πνεύματος ἁγίου, ἑαυτῷ, καὶ ἐν αὐτῷ ὁ Κύριος σάρκα ὑπεστήσατο, καὶ πλέον οὐδὲν γινώσκομεν. Ἀλλ' ὅτι ὁ Λόγος τοῦ Θεοῦ, ἀληθὴς, καὶ ἐνεργής ἐστι, καὶ παντοδύναμος, ὁ δὲ τρόπος, ἀνεξερεύνητος, γίνεται τοίνυν τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος, τοῖς δὲ ἐν ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κρῖμα, καὶ τιμωρίαν, καθάπερ καὶ ὁ τοῦ Κυρίου θάνατος. Καὶ οὐκ ἔστι τύπος ὁ ἄρτος, καὶ ὁ οἶνος τοῦ σώματος, καὶ αἵματος τοῦ Χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ, τεθεωμένον· καὶ αὐτὸ τὸ αἷμα· Ἡ γὰρ σάρξ μου, φησὶν, ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις. Σῶμά ἐστι καὶ αἷμα Χριστοῦ, εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς, καὶ τοῦ σώματος χωροῦν, οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν, ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν τε καὶ συντήρησιν, ῥύπου παντὸς καθαρτήριον· κἂν χρυσὸν λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυρώσεως καθαίρει, ἵνα μὴ ἐν τῷ μέλλοντι, σὺν τῷ κόσμῳ κατακριθῶμεν. Δι' αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα τῷ σώματι Χριστοῦ, καὶ τῷ Πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα Χριστοῦ. Οὗτος ὁ ἄρτος ἐστὶν, ἡ ἀπαρχὴ τοῦ μέλλοντος ἄρτου, ὃς ἐστιν ὁ ἐπιούσιος· τὸ γὰρ ἐπιούσιον δηλοῖ, ἢ τὸν μέλλοντα, τουτέστι τὸν τοῦ μέλλοντος αἰῶνος, ἢ τὸν πρὸς συντήρησιν τῆς οὐσίας ἡμῶν λαμβανόμενον. Πνεῦμα ζωοποιόν ἐστιν, ἡ σὰρξ τοῦ Κυρίου, διότι ἐκ τοῦ ζωοποιοῦ Πνεύματος συνελήφθη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. Τοῦτο

o impudentiam! » Et rursum : « Mirandus quidam senex mihi narravit sibi tale aliquid videre et audire contigisse : scilicet, eos qui inde migrare debent, si mysteriorum participes effecti sint in munda conscientia, ab angelis, quando moriuntur, propter illud acceptum corpus, inde abduci. » Et divus Joannes Damascenus : « Quoniam duplices sumus ac compositi, oportet et generationem nostram ac similiter nutritionem duplicem esse et compositam. Generatio igitur nobis per aquam ac spiritum data est, cibus autem noster est panis vitæ, Dominus noster Jesus Christus qui de cœlo descendit. Et quemadmodum in baptismo, quoniam hominibus consuetudo est aqua lavari et oleo inungi, et aquæ virtutem Spiritus sancti conjunxit, eamque regenerationis balneum effecit, ita quoniam solemus pane vesci, aquam vero et vinum bibere, iis conjunxit suam Deitatem; eaque corpus et sanguinem suum effecit, ut per consueta et naturalia alimenta ad ea quæ supernaturalia sunt, perveniamus. Corpus est vere divinitati conjunctum, corpus ex sancta Virgine natum, non quod illud corpus quod accipimus e cœlo descendat, sed quod panis et vinum in corpus ac sanguinem Dei mutetur. Si quo modo id fiat inquiris, tibi sufficit audire, quod per Spiritum sanctum, quemadmodum ex sancta Deipara per Spiritum sanctum, sibi et in hoc pane Dominus carnem assumpsit; et nihil amplius novimus. Sed quia Verbum Dei verax est et efficax et omnipotens, modus autem inscrutabilis, fit igitur his qui, ut fidem decet, illud accipiunt, in remissionem peccatorum et vitam æternam, et in custodiam animæ et corporis : his autem qui in incredulitate et indigne illud participant, in pœnam suppliciumque, ut ipsa mors Domini. Non est panis figura corporis, nec vinum figura sanguinis : absit! sed ipsum Christi corpus divinitati unitum; et ipse Christi sanguis : « Caro enim mea, inquit, vere est cibus, et sanguis meus vere est potus. » Corpus est et sanguis Christi, in nostræ animæ et corporis substantiam descendens, non impensum, non corruptum, non in latrinam deductum, sed in nostram substantiam et custodiam, omnes sordes abstergens. Etiamsi aurum scoria mistum inveniat, per purificantem ignem illud mundat; ne in futuro, cum hoc mundo damnemur. Per id corpus mundati, Christi corpori unimur et ejus Spiritui, et corpus Christi efficimur. Iste panis est principium futuri panis, qui est supernaturalis : supernaturalem enim ostendit aut futurum panem, id est panem futuri sæculi, aut eum quem in nostræ substantiæ conservationem accipimus. Spiritus vivificus est caro Domini, eo quod a vivifico Spiritu compacta est; quod enim natum est ex spiritu, spiritus est. Id autem dico, non corporis naturam de medio tollens, sed id quod vivificum habet ac divinum, manifestare volens. Hæc autem futurorum figuræ dicuntur, non quod non vere corpus et san-

τὴν τῶν ἁγίων μυστηρίων ὑποδοχήν· ἐπεὶ καὶ ἀφ- A interrogavit qui in quibusdam puellis furentibus
ἑσεως ἁμαρτιῶν, οὕτω καταξιούμεθα. » Λέγει δὲ καὶ et ab ipsis male multatis erant, dicens : « Quid
ὁ τῆς Κλίμακος· « Εἰ σῶμα σώματι προσψαύων, a Christianis timetis ? » Qui respondere : « Vere tria
ἀλλοιοῦται τῇ ἐνεργείᾳ, πῶς οὐκ ἀλλοιωθήσεται, ὁ habetis magna ; unum quidem, quod in collo ve-
Θεοῦ σώματι προσψαύων ἀθῴοις χερσί ; » Γέγρα- stro portatis, et alterum, quod in Ecclesia ablui-
πται δὲ καὶ ἐν τῷ Γεροντικῷ· « Ἰωάννης ὁ Βοστρη- mini, et tertium, quod in conventu vestro come-
νὸς, ἀνὴρ ἅγιος, καὶ ἐξουσίαν ἔχων κατὰ πνευμάτων ditis. Cum rursum interrogati essent, ex his tribus
ἀκαθάρτων, ἠρώτησε δαίμονας, οἵ ἦσαν κατοικοῦντες quodnam magis formidarent, responderunt : « Si
εἰς κόρας τινὰς μαινομένας καὶ ἐνεργουμένας ὑπ' bene custodiatis quod accepistis, nemo nostrum
αὐτῶν πονηρῶς, εἰπών· ποῖα πράγματα φοβεῖσθε valet Christianis injuriam inferre. Sunt autem
ἀπὸ τῶν Χριστιανῶν ; οἱ λέγουσιν· Ἔχετε ὄντως τρία quæ hostes nostri formidant plus quam cætera,
πράγματα μεγάλα, ἓν μὲν, ὅπερ φορεῖτε, εἰς τὸν crux, baptismus et communio. »
τράχελον ὑμῶν, καὶ ἕν, ὅπερ λούεσθε εἰς τὴν Ἐκκλησίαν, καὶ ἕν, ὅπερ τρώγετε εἰς τὴν σύναξιν. Ἐρο-
μένου δὲ πάλιν, ἐκ τούτων τῶν τριῶν, ποῖον φοβεῖσθε πλέον ; ἀπεκρίθησαν, εἰ ἐφυλάσσετε καλῶς ὅπερ με-
ταλαμβάνετε, οὐκ ἴσχυσεν οὐδεὶς ἐξ ἡμῶν ἀδικῆσαι Χριστιανόν· εἰσὶ δὲ ἃ δυσμενεῖς φοβοῦνται τῶν
ἄλλων πλέον, ὁ σταυρὸς, ἡ βάπτισις, καὶ ἡ κοινωνία. »

Τέλος τῶν κατὰ πλάτος πασῶν ὑποθέσεων, καὶ μερικὴ παραίνεσις πρὸς τὸν ἐπερωτήσαντα.

Finis omnium secundum latitudinem quæsitorum et specialis exhortatio ad eum qui interrogavit.

ιγ'. Ἰδοὺ δὴ, τέκνον φίλτατον, τετέλεσταί σου ἡ αἴ- 93. Ecce igitur, o fili dilectissime, adimpleta est,
τησις, σὺν Θεῷ· εἰ μὲν κατὰ γνώμην τὴν σὴν καὶ τὴν cum Deo, tua interrogatio ; an secundum tuum
πρόθεσιν, ἀκριβῶς οὐκ οἴδαμεν, μέντοι γε κατὰ τὴν propositum ac desiderium, non apprime novimus,
ἡμετέραν δύναμιν, καὶ Θεῷ δὲ φίλον, τὸ κατὰ δύνα- sed tamen pro nostris viribus ; et gratum Deo est,
μιν. Ὅρα τοίνυν, ἵνα μὴ μέχρι τούτου στῇ τὸ σὸν si quis agat pro viribus. Vide igitur, ne usque ad
φιλομαθὲς, καὶ ἐπίπονον, ἀλλ' ἵνα καὶ ἔργοις ὀφθῇς id tantum consistat tua discendi aviditas tuusque
φιλομαθὴς, καὶ σπουδαῖος. Φησὶ καὶ γὰρ ὁ κλεινὸς ardor ; sed ut et operibus appareas discendi cu-
ἀδελφόθεος· « Ἀδελφοί μου ἀγαπητοὶ, γίνεσθε ποιη- pidus et fervens. Dicit enim illustris ille frater
ταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, παραλογιζόμενοι Domini : « Fratres mei dilectissimi, estote factores
ἑαυτοὺς, ὅτι, εἴ τις ἀκροατὴς νόμου ἐστὶ, καὶ οὐ verbi, et non auditores tantum, vosmetipsos con-
ποιητὴς, οὗτος ἔοικεν ἀνδρὶ, κατανοοῦντι τὸ πρόσ- siderantes, quia, si quis auditor est legis et non
ωπον τῆς γενέσεως αὐτοῦ, ἐν ἐσόπτρῳ· κατενόησε C factor, similis est homini consideranti vultum nati-
γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθεν, καὶ ἐπελάθετο ὁποῖος vitatis suæ in speculo ; consideravit enim se, et
ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τῆς ἐλευθερίας, abiit ; et oblitus est qualis esset ; qui autem se
καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς inclinavit in legem libertatis perfectam, ac per-
γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν mansit, hic non auditor obliviosus factus, sed factor
τῇ ποιήσει αὐτοῦ ἔσται. » operis, beatus in ejus adimpletione erit. »

Ὅπως δεῖ ἀκούειν καὶ ἐκλαμβάνειν τὰ τῶν Πατέρων πνευματικὰ ῥήματα.

Quomodo oportet audire et excipere spiritualia Patrum verba.

ιδ'. Καὶ πρό γε τούτων, ἵνα πιστῶς, καὶ μετὰ 94. Et ante hæc omnia, fideliter et cum decenti
τῆς προσηκούσης εὐλαβείας, ἐκλαμβάνῃς καὶ δι- pietate, excipias et audias divina ac spiritualia
ακούῃς, τὰ τῶν Πατέρων θεῖα, καὶ πνευματικὰ θεσπί- Patrum oracula. Dicit enim sanctus Macarius :
σματα· φησὶ γὰρ ὁ ἅγιος Μακάριος· « Ἄψαυστά « Intractabilia sunt inexpertis spiritualia ; animam
ἐστι τοῖς ἀπείροις, τὰ πνευματικά· ψυχῇ δὲ ἁγίᾳ, vero sanctam ac fidelem comprehendit sancti Spi-
καὶ πιστῇ, πρὸς κατάληψιν ἔρχεται ἡ τοῦ ἁγίου ritus communio, et cœlestes Spiritus thesauri, ei
Πνεύματος κοινωνία, καὶ οἱ ἐπουράνιοι τοῦ Πνεύ- soli qui eos expertus est, superveniunt manifesti ;
ματος θησαυροὶ, τῷ πείρᾳ λαβόντι μόνῳ γίνονται D non initiato autem, neque eos cogitare possibile
καταφανεῖς, ἀμυήτῳ δὲ, οὐδὲ ἐννοῆσαι δυνατὸν το- est. De iis igitur Patres audi religiose, donec tibi
παράπαν. Εὐλαβῶς τοίνυν περὶ αὐτῶν ἄκουε, μέχρις credenti contingat dignum esse qui eos obtineas.
ἂν, καὶ σοὶ γένοιτο πιστεύοντι, καταξιωθῆναι τού- Tunc enim scies ipsa oculorum animæ experientia,
των τυχεῖν· τότε γὰρ εἴσῃ αὐτῇ πείρᾳ τῶν τῆς ψυ- quantis bonis ac mysteriis Christianorum animæ
χῆς ὀφθαλμῶν, οἷων ἀγαθῶν, καὶ μυστηρίων, ψυχαὶ tunc communicare possint. » Sic teipsum habens
Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται. » Οὕτω quam citissime eorum qua scripta sint vel audieris,
γὰρ ἔχων, τάχιστα καὶ τὴν τῶν γεγραμμένων καὶ fructus et commoda colliges ; et postquam didiceris
ἀκουτισθέντων ἐπισυλλέξεις ἐπικαρπίαν τε καὶ et egeris, proficies ita ut et alios hortari ac ipsa
ὠφέλειαν, καὶ ἀπὸ τοῦ μανθάνειν, καὶ πράττειν, προ- experientia dirigere possis ad res divinas et ple-
κόψεις, εἰς τὸ καὶ ἄλλους παραινεῖν καὶ ὁδηγεῖν risque ignotas. Quod utinam tibi contingat Domini
αὐτῇ πείρᾳ, πρὸς τὰ θειότερα, καὶ τοῖς πολλοῖς Jesu Christi manu fortissima freto ac directo !
ἀμύητα· ὃ καὶ γένοιτό σοι, τῇ τοῦ Κυρίου Ἰησοῦ Amen. Quoniam autem orationis satietas auribus
Χριστοῦ παναλκεστάτῃ παλάμῃ ἐπερειδομένῳ, καὶ inimica est, quemadmodum corpori nimius cibus,
κατευθυνομένῳ· Ἀμήν. Ἐπεὶ δὲ κόρος λόγου, πολέμιος omnis vero mensura optima est, oportet nos satie-

καὶ τίμια σώματα, γῆθεν ὡς ὑπόπτερα ὑπερήροντο· τῷ ἀναλωτικῷ, καὶ ἐνθέῳ, καὶ ἀΰλῳ πυρὶ τῷ τῆς χάριτος, τὸ σωματικὸν πάχος, ναὶ μὴν καὶ τὸ βάρος, ἀποτεφρούμενοι, κούφως τε αἴρεσθαι ἐνεργούμενοι. Ὦ τοῦ θαύματος! μεταστοιχειούμενοι, καὶ μεταχαλκευόμενοι πρὸς τὸ θειότερον, τῇ θεουργῷ παλάμῃ τῆς ἐνσκηνούσης αὐτοῖς ἰσχύος, καὶ χάριτος. Καὶ μετὰ τέλος δὲ, ἐνίων καὶ τὰ σεβάσμια σώματα, τὸ ἀδιάλυτον φέρουσι, προδήλως τὴν ἐνοικοῦσαν αὐτοῖς, καὶ πᾶσι τοῖς βεβαιοπίστοις ὑπὲρ φύσιν χάριν καὶ δύναμιν πιστούμενα. Καὶ μετὰ τὴν κοινὴν μέντοι γε, καὶ παγκόσμιον ἐξανάστασιν, δι' αὐτῆς τῆς ἐν πνεύματι φωτιστικῆς δύναμεως, οἷόν πως πτεροφυήσαντες, ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα, ὥς φησιν ὁ τῶν ἀῤῥήτων μύστης θειότατος Παῦλος· « Καὶ οὕτω πάντοτε σὺν τῷ Κυρίῳ ἐσονται. » Πρὸς δὴ ταῦτα, καὶ ὁ πνευματοφθόγγος ψάλλει Δαβίδ· « Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, δηλαδὴ τὴν αἰώνιον, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται, ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. » Καὶ, « Ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. » Καὶ αὖθις· « Οἱ τοῦ Θεοῦ κραταιοὶ, τῆς γῆς σφόδρα ἐπήρθησαν. » Καὶ ὁ μεγαλοφωνότατος δὲ Ἡσαΐας οὕτω διαγορεύει· « Οἱ ὑπομένοντες τὸν Κύριον, πτεροφυήσουσιν· ἀλλάξουσιν ἰσχὺν αὐτῶν. » Καὶ ὁ ἅγιος Μακάριος, « Πᾶσα ψυχὴ ἡ διὰ πίστεως, καὶ πασῶν τῶν ἀρετῶν σπουδῆς, τελείως τὸν Χριστὸν ἐνδύσασθαι ἐντεῦθεν ἐν δυνάμει, καὶ πληροφορίᾳ καταξιωθεῖσα, καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἐνωθεῖσα, μυστηρίων οὐρανίων γνῶσιν ἐν ὑποστάσει λαμβάνειν πάντοτε καταξιοῦται. Ἐν δὲ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι, τὸ σῶμα τῇ ψυχῇ συνδοξασθὲν, καὶ εἰς οὐρανοὺς ὑπὸ τοῦ πνεύματος, κατὰ τὸ γεγραμμένον, ἁρπαγὲν εἰς ἀπάντησιν τοῦ Κυρίου, εἰς ἀέρα· καὶ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ γενέσθαι καταξιωθὲν, εἰς αἰῶνας ἅμα ψυχῇ καὶ σώματι συνβασιλεύσουσιν. »

A riali gratiæ igne, corporali crassitudine ac pondere exonerati, seque leviter sustollendi habiles effecti. O rem mirandam! reformati ac reficti ad aliquid divinius, potenti virtutis ac gratiæ apud ipsos habitantis dextra. Et post mortem quorumdam et sancta corpora indissolubilia visa sunt, manifeste eam, quæ apud ipsos habitabat et apud omnes sincere fideles, supernaturalem gratiam virtutemque testantia. Est post communem et universalem resurrectionem, per eamdem illam in spiritu splendentem virtutem, tanquam alas acquisivissent, rapientur in nubibus in occursum Domini, ut ait arcanorum doctor, divinissimus Paulus : « Et sic semper cum Domino erunt [76]. » Ad hæc, et inspiratus David psallit : « Domine, in lumine vultus tui ambulabunt, et in nomine tuo exsultabunt tota die, nempe B in æternum, et in justitia tua exaltabuntur, quoniam gloria virtutis eorum tu es [77]. » Et : « In bona voluntate tua exaltabitur cornu eorum [78]. » Et rursum : « Fortes Dei e terra elevabuntur [79]. » Et sublimis ille Isaias ita loquitur : « Qui sustinent Dominum, pennas producent : permutabunt virtutem suam [80]. » Et sanctus Macarius : « Omnis anima quæ per fidem et omnium virtutum ardorem perfecte Christum induere in virtute ac fide digna est effecta, et cœlesti incorruptibilis imaginis lumini unita est, cœlestium mysteriorum scientiam substantialiter accipere meretur, in illa resurrectionis die, cœlesti illa gloriæ imagine cum anima conglorificatum corpus, et in cœlos a sancto Spiritu, ut scriptum est, raptum in occursum Domini, C in aera, et dignum effectum ut conformetur corpori gloriæ ejus, in sæcula cum anima conregnabit. »

Ἑτέρα ἀνακεφαλαίωσις.

ϛ'. Τούτων τῶν καινῶν, καὶ ὑπὲρ λόγον λόγων, ἀρχὴ, καὶ γεννήτρια, ἡ προμνημονευθεῖσα ἐν ἀμεριμνίᾳ ὁλικῇ, ἡσυχία, προσοχή τε καὶ προσευχὴ, βάθρον οἷόν πως βεβηκὸς, καὶ ἔπαλξιν ἀπόρθητον πλουτοῦσαι· τὴν κατὰ δύναμιν πασῶν τῶν θεοποιῶν ἐντολῶν ἐκπλήρωσιν. Ἐκ δὲ τῆς ἀμεριμνίας φαμὲν, D ἡσυχίας, προσοχῆς τε, καὶ προσευχῆς, ἡ ἐν καρδίᾳ κίνησις καὶ θέρμη, ἡ τὰ πάθη, καὶ τοὺς δαίμονας φλέγουσα, καὶ τὴν καρδίαν ὡς ἐν χωνείᾳ καθαίρουσα· καὶ ἐκ ταύτης, ὁ πρὸς τὸν Κύριον Ἰησοῦν Χριστὸν πόθος, καὶ ἄληκτος ἔρως. Ἐκ δὴ τούτου, ἡ γλυκερὰ τῶν καρδιακῶν δακρύων ἐπιῤῥοὴ κρουνηδὸν, δι' ὧν ἡ ψυχὴ, καὶ τὸ σῶμα, ὡς ὑσσώπῳ, τῇ μετανοίᾳ, τῇ ἀγάπῃ τε καὶ εὐχαριστίᾳ, καὶ ἐξομολογήσει, καθαίρεται καὶ παίνεται. Ἐκ δὲ τούτων, ἡ γαλήνη· ἥ τε εἰρήνη τῶν λογισμῶν, ἧς οὐδὲν ὅριον, ὡς πάντα νοῦν ὑπερέχουσα. Ἐκ δὲ τούτων, ἡ χιονοφεγγόφωτος ἔλλαμψις· καὶ τέλος, ἡ κατὰ ἄνθρωπον ἀπάθεια· ἥ τε τῆς ψυχῆς πρὸ τοῦ σώματος ἐξανάστασις, καὶ ἡ πρὸς

Alia recapitulatio.

96. Harum novarum et supra rationem rationum principium ac generatio est prius memorata in omni securitate tranquillitas et attentio et oratio, fundamentum solidum et munimentum, omnium divinorum mandatorum pro viribus adimpletionem possidentes. Ex hac porro securitate, tranquillitate, attentione, oratione, fit in corde motus et fervor qui affectus et dæmones aduri, et cor, tanquam in fornace, purificat. Et ex hoc ardore sequitur ad Dominum Jesum Christum desiderium et indefessus amor : ex quo dulces cordis lacrymæ abundanter fluunt, per quas anima et corpus, ex pœnitentia tanquam ex hyssopo, charitate et gratiarum actione et confessione mundatur et saginatur. Ex his, quies et pax cogitationum, cujus non est terminus ; quippe quæ mentem omnem superat. Ex his vero, niveo splendore illuminatio, ac demum, quantum in homine potest fieri, apathia, et animæ resurrectio, ante corporis resurrectionem, ad hujus

[76] I Thess. IV, 16. [77] Psal. LXXXVIII, 17, 18. [78] Ibid. [79] Psal. XLVI, 10. [80] Isa. XL, 31.

πνεύματος εἰσῳκισθέντος ἐν αὐτῷ, προφήτου, ἀποστόλου, ἀγγέλου, Θεοῦ· ὧν πρὸ τοῦ γῆ καὶ σποδός.

A ipso habitantis, prophetæ, apostoli, angeli, Dei, cum antea terra et cinis esset.

Ὅτι διὰ τὸ ὑψηλὸν τῆς ἐργασίας, καὶ πολυώνυμός ἐστιν αὕτη ἡ πολιτεία.

Quod propter operationis excellentiam multa nomina habet hæc agendi ratio.

ϟθ'. Διατοι τοῦτο, καὶ πολλαῖς, καὶ ποικίλαις αὐτὴν, καὶ ἐνδόξοις κλήσεσιν, οἱ θεῖοι Πατέρες ἀποσεμνύνουσιν. Ὁδὸν γὰρ γνωστικὴν προσηγορεύκασι, πρᾶξιν ἐπαινουμένην καὶ θεωρίαν εὔστοχον, προσευχὴν ἐπάνω παντὸς πλάτους, νῆψιν νοὸς, νοερὰν ἐργασίαν, ἔργον τοῦ μέλλοντος αἰῶνος· ἀγγελικὴν πολιτείαν· οὐράνιον βιοτὴν, ἔνθεον διαγωγὴν, χώραν ζώντων, μυστικὴν ἐποψίαν, πνευματικὴν πανδαισίαν, Παράδεισον θεουργὸν, οὐρανὸν, οὐράνιον βασιλείαν, Θεοῦ βασιλείαν, γνόφον ὑπέρφωτον, ἐν Χριστῷ, κεκρυμμένην ζωὴν, θεοπτίαν καὶ θέωσιν τὸ ὑπερφυέστατον, καὶ τὰ τούτοις παραπλήσια· οἷσπερ B θείοις Πατράσι, καὶ ἡμεῖς οἱ τῷ πηλῷ, καὶ τῇ πλινθείᾳ, τοῖς πονηροῖς καὶ ἀκαθάρτοις λογισμοῖς, καὶ λόγοις, καὶ ἔργοις, συζῶντες, ἑπόμενοι, τὴν σὴν αἴτησιν, ἀγαπητὲ, ἐκπληρῶσαι διὰ σπουδῆς ἐθέμεθα· ναὶ μὴν καὶ καθὼς ᾔτησας, καὶ ὑπὲρ τὸ μέτρον ἡμῶν εἰπεῖν οὐκ ὀκνήσαμεν, χάριν, ὡς καὶ ἐν προοιμίοις τοῖς τοῦ λόγου εἴπομεν τῆς σῆς ἀγάπης, καὶ τῆς Πατρικῆς ἐντολῆς· ταύτης δὲ καὶ [*ἰσ. περιττὸν τὸ καὶ*] τῆς ἰσαγγέλου βιωτῆς πρύτανις, ἡ τοῦ Λόγου καὶ Υἱοῦ τοῦ Θεοῦ, καινὴ καὶ ἀπόῤῥητος οἰκονομία καὶ ἐνανθρώπησις, εὐδοκία τοῦ ἀνάρχου Πατρὸς, καὶ συνεργεία τοῦ ἁγίου Πνεύματος.

99. Propterea multis et variis et gloriosis nominibus eam celebraverunt divini Patres. Viam doctam appellaverunt, laude dignam actionem et ingeniosam contemplationem, orationem omni latitudini præstantem, mentis vigilantiam, spirituale opus, futuri sæculi opus; angelicam vitam, cœlestem agendi rationem, divinam conversationem, regionem viventium, mysticam intuitionem, spiritualem mensam, divinum paradisum, cœlum, cœlestem regiam, Dei regnum, tenebras supra lumen, vitam in Christo absconditam, Dei supernaturalem visionem, et his similia nomina; quos divinos Patres, nos qui luto ac terra formati, cum malis et impuris cogitationibus verbisque et operibus vivimus, sequentes, tuas preces, dilectissime, adimplere ardenter statuimus; sane quidem, ut postulasti, et supra nostram mensuram dicere non dubitavimus, propter tui dilectionem, et propter Patrum mandatum. Hujus angelicæ vitæ dux, ipsa est Verbi ac Filii Dei nova et ineffabilis providentia et incarnatio, ingeniti Patris beneplacitum, et cooperatio sancti Spiritus.

ΗΘΙΚΟΝ

Ὅτι μετὰ τῆς τοῦ Θεοῦ βοηθείας, καὶ χάριτος, χρὴ καὶ ἡμᾶς ὡς δυνατὸν σπουδάζειν, καὶ C ἀγωνίζεσθαι, ἵνα καταξιωθῶμεν ἀπὸ τοῦ νῦν ὡς ἐν ἀῤῥαβῶνος μέρει, τῶν τοιούτων ὑπερφυῶν, καὶ μεγίστων δωρεῶν· καὶ ἵνα μὴ διὰ μικρὰν ῥᾳθυμίαν, τούτων, φεῦ! ἀποτύχωμεν, ὃ μὴ γένοιτο!

ETHICON.

Quod cum Dei auxilio et gratia oportet nos pro viribus festinare et pugnare, ut digni habeamur jam nunc tanquam ex pignore his supernaturalibus et maximis donis, neque propter parvam indolentiam hæc, eheu! amittamus; quod utinam non accidat.

ρ'. Τοιούτων τοίνυν καὶ τηλικούτων ἀγαθῶν ἡμῖν προκειμένων, ἀγαπητοὶ, οὐ μόνον ἐν ἐλπίσι, καὶ ταῖς εἰς τὸ μέλλον ἐπαγγελίαις, ἀλλ' ἀληθείᾳ ἀπάρτι καὶ πράγματι, σπεύσωμεν, ἀντιβολοῦμεν, ἕως καιρὸν ἔχωμεν· δράμωμεν, ἀγωνισώμεθα, ἵνα τούτων καὶ ἡμεῖς, διὰ μικρᾶς καὶ προσκαίρου σπουδῆς, καὶ πόνου βραχέος, τὸ δὲ πλεῖστον, Θεοῦ δωρεᾷ καὶ χάριτι, καταξιωθῶμεν. « Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, » Παύλου τοῦ θείου κήρυκος λέγοντος· ἀκουσώμεθα· μᾶλλον δὲ καὶ ἀπὸ τοῦ D νῦν σπουδάζοντες εὑρήσομεν κατ' αὐτὸν, ὡς ἐν ἀπαρχῆς καὶ ἀῤῥαβῶνος μέρει. Εἰ γὰρ οἱ εἰς βασιλικὰς συγγενείας, καὶ κοινωνίας ἐκ τῆς κάτω τύχης μετακαλούμενοι, πάντα πράττουσι, καὶ ἔργοις, καὶ λόγοις, καὶ ἐπινοίαις, καὶ αὐτῶν δὴ τῶν ἀνεφίκτων ἁπτόμενοι, μέντοι γε καὶ αὐτῆς τῆς ζωῆς πολλάκις καταφρονοῦντες, ὑπὲρ τῆς τοιαύτης δόξης τε καὶ τιμῆς, τῆς ῥευστῆς, καὶ προσκαίρου, τῆς ἐνίοτε καὶ εἰς ὄλεθρον παντελῆ, οὐκ εἰς τὸ χρήσιμον καταντώσης, πόσον ἄρα ἡμᾶς εἰκὸς διαπράξασθαι, καὶ σπουδάσαι εἰς κοινωνίαν, καὶ γάμους καὶ συνάφειαν, προσκαλουμένους Θεοῦ, τοῦ πάντων βασιλέων Βασιλέως,

100. Quoniam igitur, dilectissimi, tot ac tanta nobis bona proponuntur, non modo in spe et promissionibus futuro tempore adimplendis, sed re ac veritate, festinemus, resistamus, dum tempus habemus, curramus, pugnemus, ut his et nos, parva et opportuna cura ac brevi labore, maximam autem partem Dei gratia, digni efficiamur. « Non enim sunt condignæ passiones hujus temporis ad futuram gloriam quæ revelabitur in nobis[81], » ut ait divinus ille præco Paulus, quem audire debemus. Imo vero jam inde festinantes inveniemus, ex hoc tempore, tanquam primitias ac pignus. Si enim qui in regias cognationes et in regium consortium ex humili fortuna adoptantur nihil non faciunt et opere et voce et cogitatione, et postquam id fastigium assecuti sunt, vitam ipsam sæpius contemnunt pro istiusmodi gloria et honore, tam caduco ac temporaneo, ad perniciem interdum omnino, non ad utilitatem vergente, quanto magis oportet nos eniti et festinare, qui ad communionem ac nuptias et conjunctionem Dei invitamur, omnium regum regis et Creatoris, et solius incorruptibilis ac in æternum permanentis, suisque gloriam et ho-

[81] Rom. VIII, 18.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΚΕΦΑΛΑΙΑ ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ.

—

BEATI CALLISTI

PATRIARCHÆ

CAPITULA DE PRECATIONE.

—

α'. Εἰ βούλει μαθεῖν τὴν ἀλήθειαν, μίμησαι ὡς ἐκ παραδείγματος τὸν κιθαρῳδόν. Κάτωθεν μὲν γὰρ ἐκεῖνος ὑποκλίνει τὴν κεφαλήν, καὶ τὴν ἀκοὴν προσερείδων τῷ ᾄσματι, ὑποσείει τὸ πλῆκτρον διὰ τῆς χειρὸς, καὶ ἅμα τῶν χορδῶν τεχνικῶς συγκρουομένων ἀλλήλοις, ἡ κιθάρα τὸ μέλος ἐκπέμπει, καὶ ὁ κιθαρῳδὸς ἅλλεται τῇ τοῦ μέλιτος γλυκύτητι.

β'. Ἔστω σοι, ὦ φιλοπονώτατε τοῦ ἀμπελῶνος ἐργάτα, σαφὲς τὸ παράδειγμα, καὶ μὴ ἀπίστει· νήφων γὰρ ἐκεῖθεν ὡς ὁ κιθαρῳδὸς, πρὸς τὸ βάθος δηλονότι τῆς καρδίας, ῥᾳδίως ἕξεις τὸ ζητούμενον. Ψυχὴ γὰρ ἔρωτι θείῳ ἁλοῦσα κατάκρας, στραφῆναι εἰς τὰ ὀπίσω οὐ δύναται. « Ἐκολλήθη γάρ, φησὶν ὁ θεῖος Δαβὶδ, ἡ ψυχή μου ὀπίσω σου. »

γ'. Κιθάραν νόει μοι τὴν καρδίαν, ἀγαπητέ· χορδὰς δὲ τὰς αἰσθήσεις· πλῆκτρον δὲ τὴν διάνοιαν, ἥτις διὰ τοῦ λογικοῦ κινεῖ τὸ πλῆκτρον ἐνδελεχῶς· ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ μνήμη, ἐξ ἧς ἡδονή τις ἄῤῥητος τῇ ψυχῇ ἐπιγίνεται, καὶ τῷ καθαρῷ νοῒ τὰς θείας αὐγὰς ἐνοπτρίζεται.

δ'. Ἐὰν μὴ τὰς αἰσθήσεις τοῦ σώματος μύσωμεν, οὐκ ἂν τὸ ἁλλόμενον ὕδωρ ἐν ἡμῖν ἀναβλύσοι, ὃ ὁ Κύριος τῇ Σαμαρείτηδι ἐκείνῃ ἐχαρίσατο. Ζητοῦσα γὰρ τὸ αἰσθητὸν τοῦτο ὕδωρ, τὸ τῆς ζωῆς εὗρεν εἰς ἑαυτὴν ἔνδον ἁλλόμενον. Ὡς γὰρ ἡ γῆ κατὰ φύσιν ἔχει τὸ ὕδωρ, καὶ ἅμα προχέει· οὕτω καὶ ἡ γῆ τῆς καρδίας, κατὰ φύσιν, ἔχει τοῦτο ἁλλόμενον καὶ πηγάζον, οἱονεὶ τὸ πατρικὸν φῶς, ὅπερ ὁ Ἀδὰμ ἐκεῖνος διὰ τῆς παρακοῆς προσαπώλεσε.

ε'. Καθάπερ ἐκ πηγῆς ἀεννάου, τὸ ὕδωρ οὕτω καὶ τὸ ζῶν καὶ ἁλλόμενον ὕδωρ ἀπὸ τῆς ψυχῆς ἀναβλύζει· ὅπερ δὴ καὶ ἐν τῇ τοῦ θεοφόρου ἀνδρὸς Ἰγνατίου ψυχῇ ἐνοικῆσαν, παρεσκεύαζε λέγειν αὐτόν· Οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόὕλον· ἀλλ' ὕδωρ ἐστὶν ἐνεργοῦν καὶ λαλοῦν.

ς'. Ἔοικεν αὕτη ἡ μακαρία, καὶ τρισολβία δὲ μᾶλλον, ἡ νοερά φημι νῆψις τῆς ψυχῆς, ὕδατι ἁλλομένῳ καὶ πηγάζοντι ἐκ τοῦ βυθοῦ τῆς καρδίας, καὶ τὸ μὲν ἐκ τῆς πηγῆς ὕδωρ ἀναδιδόμενον, τὴν πηγὴν

1. Si vis veritatem discere, citharœdi exemplum imitare. Inferius enim ille caput inclinat, et cantui aurem præstat, plectrum manu movet et, chordis perite sibi invicem respondentibus, cithara melodiam reddit, et exsultat citharœdus, tanquam mollis dulcedine captus.

2. Sit tibi, o studiosissime vitis cultor, evidens exemplum, et ne diffidas. Si enim vigiles inde, ut citharœdus, ad cordis nempe profundum, facile quod inquiris, poteris habere. Anima enim divino amore capta, ad ea quæ retro sunt, converti non potest. « Conglutinata est, inquit divinus David, anima mea post te [84]. »

3. Cor tuum citharam esse cogita, dilectissime ; chordas autem sensus, plectrum vero cogitationem quæ per rationem plectrum continuo movet ; quod quidem est Dei memoria, ex qua ineffabilis lætitia animæ supervenit et puræmenti divinos splendores tanquam in speculo ostendit.

4. Nisi corporis sensus debilitemus, non saliet in nobis viva illa aqua, quam Dominus mulieri illi Samaritanæ largius est. Quærens enim aquam hanc sensibilem, aquam vitæ invenit in seipsam intus salientem. Quemadmodum enim terra naturaliter aquam habet et simul diffundit, ita et cordis nostri terra aquam salientem, illud nempe paternum lumen, quod Adamus ille per suam inobedientiam amisit.

5. Quemadmodum ex perenni fonte, aqua illa viva et saliens ex anima scaturit ; quæ in divini viri Ignatii anima habitans, has voces ipsi præbebat : « Non est in me ignis materiæ amans, sed aqua efficax et loquens. »

6. Similis est beata et felicissima et spiritualis animæ vigilantia aquæ salienti et ex profundo corde scaturienti ; et quæ ex fonte egreditur aqua, redieus fontem implet ; et quæ inde ex corde scaturit, et

[84] I Reg. XVIII, 1.

ut ita dicam, semper movetur per Spiritum sanctum, totum interiorem hominem implet rore divino ac spiritu ; exteriorem vero ardentem efficit.

7. Ab externis mundata mens, et quæ sensus omnino per generosam virtutem subegit, manet immobilis, tanquam cœlorum axis, cordis profundum semper aspectans, ut quoddam centrum, et caput dirigens, illud ad cœlum vertit, coruscationes habens cogitationis radios, inde cœlestia cogitata trahentes, et omnes corporis sensus submittens.

8. Nemo, quandiu inter initiatos aut lacte indigentes agit, ea quæ prohibentur tangat, quando non est opportunum. Eos enim qui ante tempus ea quæ hujus temporis sunt quærunt et quodammodo ad apathiæ portum intrare festinant, non ea habentes quæ oportet habere, sancti Patres quodam mentis errore laborare crediderunt. Et nihil amplius. Fieri enim nequit, ut qui nescit litteras in tabula legat

9. Quod ex certamine in anima a divino Spiritu movetur, tranquillam efficit mentem quæ clamat : Abba, Pater ; sed illud est absque forma et figura ; nos autem divini Spiritus fulgore transformat, et refingit, ut decet, divini Spiritus ardore, sed et immutat, et divina potestate, ut solus ipse nos potest efficere, diversos facit.

10. Mens per vigilantiam purificata, facile tenebris obscuratur, nisi continua Jesu memoria, ab externis omnino recedat. Quæ autem actum sociat contemplationi, id est, mentis custodiæ, tumultum non rejicit : tumultum nempe confusum vel etiam non confusum non expellit. Anima enim quæ divino Christi ardore vulnerata est, eum ut cognatum sequitur.

11. Carnis cupiditates reprimere et earum insultus oportet eos qui in mundo versantur, aut cum ratione requiescere, juxta illud : « Vacate et videte rationabile esse id fieri ; » abolere autem aut dissipare impossibile est. Vita autem eremitica solet cupiditates exstirpare.

12. Ex aquis salientibus altera quidem violentiorem habet motum ; altera vero tranquillum et lentiorem. Prior autem turbari fere nequit ob motus rapiditatem ; quod si paululum turbetur, facile rursum mundatur, quippe quæ talem habeat motum. Postquam vero mutatus est aquæ cursus et parvus effectus est, non modo turbatur, sed et fere immotus manet : indiget enim quadam nova mundatione, ut ita dicam, et novo motu.

13. Iis qui ingrediuntur et mores informant suos, et agunt, per tumultum confusum vel etiam non confusum, dæmon ingreditur. Iis vero qui contemplantur, quasdam phantasias objicit, ita ut iis videatur aerem, tanquam lumen, colore esse vestitum ; alias ut ignem, eas profert, ut per contra-

A πλήρη ποιεῖ· τὸ δὲ ἀλλόμενον ἐκεῖθεν ἐκ τῆς καρδίας, καὶ ὡς εἰπεῖν ἀεικινήτως κινούμενον διὰ τοῦ Πνεύματος, ὅλον τὸν ἔσω ἄνθρωπον πλήρη ποιεῖ δρόσου θείας καὶ πνεύματος· τὸν δὲ ἔξω, πύρινον ἀπεργάζεται.

ζ'. Νοῦς καθαρθεὶς ἐκ τῶν ἔξωθεν, καὶ τὰς αἰσθήσεις ὡλικῶς ὑποτάξας διὰ τῆς πατρικῆς ἀρετῆς, ἀκίνητος μένει, καθάπερ ὁ οὐράνιος ἄξων, ὡς πρὸς κέντρον ἀφορῶν τὸ τῆς καρδίας βάθος, καὶ ἡγεμονεύων τῆς κεφαλῆς, ἀποβλέπει ἐκεῖσε, βολίδας ἔχων οἱονεὶ τὰς τῆς διανοίας αὐγάς, ἀφυομένας ἐκεῖθεν τὰ θεῖα νοήματα, καὶ ὑποτάσσων τὰς αἰσθήσεις ἁπάσας τοῦ σώματος.

η'. Μηδεὶς, ἀκούων τῶν ἀμυήτων, ἢ δεομένων γάλακτος, ἅψηται τῶν τοιούτων ἀπηγορευμένων, ἐν B οὐ καιρῷ. Τοὺς γὰρ τοιούτους οἱ θεῖοι Πατέρες πρὸ τοῦ καιροῦ τὰ τοῦ καιροῦ ζητήσαντας, καὶ οἱονεὶ πρὸς τὸν τῆς ἀπαθείας λιμένα σπουδάζοντας εἰσελθεῖν, οὐ μετὰ τοῦ προσήκοντος, ἕκστασιν φρενῶν ἐνόμισαν τὸ τοιοῦτον· καὶ πλέον οὐδέν. Ἀδύνατον γὰρ τὸν μὴ εἰδότα γράμματα ἐν δέλτῳ μελετᾷν.

θ'. Τὸ κινηθὲν ἐξ ἀγῶνος ἐν τῇ ψυχῇ ὑπὸ τοῦ θείου Πνεύματος, γαληνὴν ἐκτελεῖ τὴν καρδίαν, κράζον, Ἀββᾶ, ὁ Πατήρ· ἀλλ' ἐκεῖνο μὲν ἀσχημάτιστον ἦ καὶ ἄμορφον· ἡμᾶς δὲ μετασχηματίζει τῇ αἴγλῃ τοῦ θείου φωτὸς, καὶ μορφοποιεῖ ὡς εἰκὼ, ἅμα τῇ πυρώσει τοῦ θείου Πνεύματος, ἀλλὰ καὶ ἀλλοιοῖ, καὶ μεταμείβει, ὡς μόνος οἶδεν αὐτὸς, τῇ C θείᾳ ἐξουσίᾳ.

ι'. Νοῦς καθαρθεὶς διὰ τῆς νήψεως, ῥᾳδίως σκοτίζεται, εἰ μὴ τῇ συνεχεῖ μνήμῃ τοῦ Ἰησοῦ, ἀποσχολεῖται πάντη τῶν ἔξωθεν. Ὁ δὲ τὴν πρακτικὴν συναρμόσας τῇ θεωρίᾳ, οἱονεὶ τῇ τοῦ νοὸς τηρήσει, ψόφους οὐκ ἀπαναίνεται· κτύπους ἀνάρθρους, ἢ καὶ ἐνάρθρους οὐκ ἀποσείεται. Τρωθεῖσα γὰρ ἡ ψυχὴ τῷ θείῳ ἔρωτι τοῦ Χριστοῦ, ὡς ἀδελφιδῷ τούτῳ γε κατακολουθεῖ.

ια'. Στῆσαι μὲν τὰ τῆς σαρκὸς πάθη, καὶ τὰ σκιρτήματα τοὺς ἐν κόσμῳ διατρίβοντας· ἢ καὶ σὺν λόγῳ σχολάζειν, κατὰ τό· « Σχολάσατε, καὶ γνῶτε, εἰκὸς εἶναι γενέσθαι. » Ἐξαλεῖψαι δὲ ἢ ἀφανίσαι ἀδύνατον. Ὁ δὲ ἐρημικὸς βίος σαφῶς ἐκριζοῦν οἶδε D αὐτά.

ιβ'. Ἐπὶ τοῦ ἁλλομένου ὕδατος τὸ μὲν ὀξυτέραν ἔχει τὴν κίνησιν· τὸ δὲ, γαληνὴν καὶ βραδυτέραν. Τὸ μὲν οὖν πρότερον, οὐδὲ θολωθῆναι ῥᾳδίως δύναται διὰ τὸ τῆς κινήσεως τάχος. Εἰ δὲ καὶ πρὸς μικρὸν θολωθείη, ῥᾷον αὖθις καθαίρεται· ἅτε δὴ τοιαύτην ἔχον τὴν κίνησιν. Ἐπειδὰν δὲ τὸ ῥεῦμα τοῦ ὕδατος ἀλαττωθὲν, σμικρότατον γένηται· οὐ μόνον θολοῦται, ἀλλὰ σχεδὸν καὶ ἀκίνητον μένει· δεῖται γάρ τινος ἀνακαθάρσεως, ὡς εἰπεῖν, καὶ κινήσεως.

ιγ'. Τοῖς μὲν εἰσαγωγικοῖς, καὶ ἠθικοῖς, καὶ πρακτικοῖς ὁ δαίμων διὰ ψόφων ἀνάρθρων, ἢ καὶ ἐνάρθρων ἐπεισέρχεται. Τοὺς δὲ περὶ τὴν θεωρίαν, φαντασίας τινὰς εἰδωλοποιεῖ· ὡς δοκεῖν χρωματίζειν τὸν ἀέρα, δίκην φωτός· ποτὲ δὲ καὶ ὡς πῦρ ταύτας προφέρει, ἵνα διὰ τῆς ἐναντίας μοίρας ἀποπλανήσῃ

τὸν τοῦ Χριστοῦ ἀθλητήν.

ιδ'. Εἰ βούλει μαθεῖν πῶς δεῖ προσεύχεσθαι, σκόπει τὸ τέλος τῆς προσοχῆς, ἢ καὶ τῆς προσευχῆς, καὶ μὴ ἁπατῶ. Ταύτης γὰρ τὸ τέλος. ἀγαπητέ, κατάνυξίς ἐστι διηνεκὴς, συντριβὴ καρδίας, ἀγάπη πρὸς τὸν πλησίον· τὸ δὲ ἐναντίον πρόδηλον, ἐπιθυμίας λογισμὸς, καταλαλιᾶς ψιθυρισμὸς, μῖσος πρὸς τὸν πλησίον, καὶ ὅσα τούτοις παρόμοια.

A ram sortem cum Christi athletam in errorem inducat.

14. Si vis discere quomodo orare oporteat, intuere attentionis finem aut etiam orationis, et noli errare. Hujus enim finis, dilectissime, est indesinens compunctio, cordis contritio, in proximum charitas. Contrarium autem manifestum est, cupiditatis cogitatio, calumniæ murmur, odium in proximum, et alia istiusmodi.

ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΤΗΛΙΚΟΥΔΗ

ΠΕΡΙ ΗΣΥΧΑΣΤΙΚΗΣ ΤΡΙΒΗΣ.

—

DOMINI CALLISTI

TELICOUDÆ

DE QUIETA CONVERSATIONE *

—

Οὐκ ἔστι μετανοῆσαι, χωρὶς ἡσυχίας· οὐδὲ ἔστι καὶ ὁπωσοῦν καθαρότητος ἅψασθαι, ἀναχωρήσεως ἄνευ· οὐδὲ μετὰ τῆς ὁμιλίας καὶ ὁράσεως τῶν ἀνθρώπων, δυνατὸν τῆς ὁμιλίας καὶ θεωρίας ἀξιωθῆναι τοῦ Θεοῦ. Διὰ τοῦτο οἷς ἐγένετο διὰ φροντίδος, μεταγνῶναι ἕνεκα τῶν ἑαυτῶν ἐσφαλμένων, καὶ τῶν παθῶν καθαρθῆναι, καὶ τυχεῖν, καὶ ἀπολαῦσαι ὁμιλίας, καὶ θεωρίας Θεοῦ, ὅπερ ἐστὶ καὶ σκοπὸς τῶν κατὰ Θεὸν πολιτευομένων, καὶ ἀρραβών, ἵν' εἴπω, τῆς αἰωνίου κληρονομίας καὶ τοῦ Θεοῦ, ὅση μηχανῇ ἡσυχίαν μεταδιώκουσι· καὶ ἀναχωρεῖν καὶ φεύγειν τοὺς ἀνθρώπους προῦργου ποιοῦνται, μετὰ καθήκοντος τοῦ τῆς ψυχῆς διακειμένου παντὸς, ἐντεῦθεν δῆτα τούτοις ἀρχὴ, ἐν ἡσυχίᾳ τὸ πένθος· ἡ αὐτομεμψία, ἡ ἑαυτῶν κατάγνωσις, δι' ἃ ἵνα καθαρώτερον γένηται· ἀγρυπνίαι, καὶ στάσεις, καὶ ἐγκράτεια, καὶ κόπος σωματικὸς, ὧν τὸ πέρας συλλήβδην, ἡ τῶν δακρύων ῥοὴ, προϊοῦσα ἐξ ὀφθαλμῶν φρονούντων ταπεινὰ, ἐν κατανύξει δήπω καρδίας. Καὶ πρὸς κάθαρσιν οὕτω προσέχουσιν, οὕτω ταύτης ἐπιτυγχάνουσιν διὰ πράξεως. Ἐν τούτοις αὖθις πέρας ἡ εἰρήνη τῶν λογισμῶν, ὥσπερ ἐν ἐκείνοις ἡ τῶν δακρύων, ὡς ἔφημεν, ἐπιῤῥοή. Κἀντεῦθεν ἄρχεται ὁ νοῦς, πεφυκότα τρόπον, τὰς φύσεις τῶν ὄντων ἀνασκοπεῖν, καὶ τὴν τέχνην καταστοχάζεσθαι τοῦ Θεοῦ, καὶ θείαν ἔννοιαν συλλαμβάνειν, καὶ τῆς δυνάμεως, καὶ σοφίας, καὶ δόξης, καὶ ἀγαθότητος, καὶ τῶν ἄλλων ὅσα περὶ Θεὸν θεωρεῖσθαι, ἔργον γί-

